43

Printed in Greece
Athens 1971

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΤΕΣΣΑΡΑΚΟΣΤΟΣ ΤΡΙΤΟΣ

ΣΑΡΑΠΙΩΝ ΘΜΟΥΕΩΣ
ΔΙΔΥΜΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

Ἐπιμελείᾳ
ΚΩΝΣΤΑΝΤΙΝΟΥ Γ. ΜΠΟΝΗ Δ. Θ. καὶ Φ.
Ὁμοτίμου Καθηγητοῦ τοῦ Παν/μίου Ἀθηνῶν



ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 1971

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΣΑΡΑΠΙΩΝ ΘΜΟΥΕΩΣ

Σελ.

ΔΙΔΥΜΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

ΣΑΡΑΠΙΩΝ ΘΜΟΥΕΩΣ

ΣΑΡΑΠΙΩΝ ΘΜΟΥΕΩΣ

(† μετὰ τὸ 362)

1. Βιογραφικά: Α΄. Πηγαί: Ποσοτικῶς εὐάριθμοι, ἀλλ' εἰς περιεχόμενον σπουδαιόταται. Περιληπτικὴν περιγραφὴν τῆς προσωπικότητος τοῦ ἀνδρὸς δίδει ὁ ἅγιος Ἱερώνυμος, De vir. ill. 99, ed. Richardson, TU 14, 1, Leipzig 1896, 47, 24-26: «S. Thmueos episcopus qui ob elegantiam ingenii cognomen Scholastici meruit, carus Antonii monachi, edidit adversum Manichaeum egregium librum, et de psalmorum titulis alium, et ad diversos utiles epistolas, et sub Constantio principe etiam in confessione inclytus fuit». Αἱ περαιτέρω πηγαί, ἐξ ὧν καρπούμεθα ἀξιολόγους εἰδήσεις περὶ Σαραπίωνος, εἶναι κατὰ σειρὰν αἱ ἀκόλουθοι: 1) Μ. Ἀθανασίου, Βίος Ἀντωνίου 82, Migne, PG 26, 957A/B (Β.Ε.Π. 33, 51, 5-9) καὶ κ. 91, αὐτόθι 26,971B (Β.Ε.Π. 33, 40). 2) Μ. Ἀθανασίου, Ἐπιστ. πρὸς Δρακόντιον, Migne, PG 25, 524/33, στλ. 532A (Β.Ε.Π. 33, 174,21). Τοῦ αὐτοῦ, Ἐπιστ. πρὸς Σαραπίωνα, ἔκδ. H. G. Opitz, Athanasius Werke, Berlin-Leipzig 1934 τ. II, 178/80 (Β.Ε.Π. 33, 177/9: «Ἀθανάσιος Σεραπίωνι ἀδελφῷ καὶ συλλειτουργῷ, ἐν Κυρίῳ»). Λατινιστὶ μόνον ἐν Migne, PG 26, 1412. 3) Μ. Ἀθανασίου, Ἀπολογητικὸς δεύτερος, πληρεστέρα ἔκδ. H. G. Opitz, Athan. Werke, Berlin-Leipzig 1934, II, 87-168 (Β.Ε.Π. 31,50-123. Ἐν σ. 89 καὶ ἐν στχ. 23 καὶ 32 καὶ ἐν τῷ Καταλόγῳ τῶν ὀνομάτων, τῶν μετασχόντων εἰς τὴν ἐν Σαρδικῇ σύνοδον (τὸ 343) ἀναφέρονται δύο Σαραπίωνες, ἐξ ὧν ὁ πρῶτος ὑπ' ἀριθ. 205 εἶναι ἀσφαλῶς ὁ ἡμέτερος. 4) Σωζομενοῦ, Ἐκκλ. Ἱστ. 4,9. Ἱερωνύμου, Ἐπιστ. ad Magnum 70, 4, 4. Ἐπιφανίου, Κατὰ αἱρέσ., παρὰ Migne, PG 73, 26,7. — Πρόκειται περὶ πρεσβευτικῆς ἀποστολῆς τοῦ Σαραπίωνος ἐκ πέντε ἐπισκόπων καὶ τριῶν πρεσβυτέρων πρὸς τὸν αὐτοκράτορα Κωνστάντιον (337/61) τὸ 355. Ἀλλ' ὁ ἡμιαρειανὸς βασιλεὺς ἐτιμώρησε δι' ἐξορίας τὸν ἀρχηγὸν τῆς ἀποστολῆς Σαραπίωνα, ἐξ οὗ καὶ προσωνομάσθη «ὁμολογητής» ὑπὸ τοῦ Ἐπιφανίου. Εἰς τὴν ἐν Σελευκείᾳ σύνοδον τὸ 359 ἀντ' αὐτοῦ παρίστατο ὁ ἀρειανόφρων Πτολεμαῖος. 5) Αἱ ἐπιστολαὶ τοῦ Μ. Ἀθαναοίου πρὸς τὸν Σαραπίωνα, ἤτοι: α΄) «Κατὰ τῶν βλασφημούντων καὶ λεγόντων κτίσμα εἶναι τὸ Πνεῦμα τὸ ἅγιον» (Migne, PG 26, 530/76 καὶ Β.Ε.Π. 33, 90-121) β΄) «Κατὰ τῶν λεγόντων κτίσμα τὸν Υἱὸν» (Β.Ε.Π. 33, 121-133) γ΄) «Περὶ τοῦ

Ἁγίου Πνεύματος» (Β.Ε.Π. 33, 133-149) δ') «Ἀθανάσιος Σαραπίωνι ἀδελφῷ καὶ συλλειτουργῷ ἐν Κυρίῳ χαίρειν» (Κατὰ τὴν ἔκδ. Opitz, ἔνθ' ἀν. καὶ Β.Ε.Π. 33, 177/9). 6) Ὁ ἱστορικὸς Σωκράτης (Ἐκκλ. Ἱστ. 4,23: Migne, PG 67, 520C) ἀναφέρει ἐν Ἀπόφθεγμα τοῦ ἡμετέρου Σαραπίωνος. — «Μέγαν» καλεῖ τὸν Σαραπίωνα ὁ ἱστορικὸς Σωζομενὸς (Ἐκκλ. Ἱστ. 3,14, παρὰ Migne, PG 67, 1069B). Ἐπίσης ὁ μέγας Φώτιος ἐν τῷ Κατὰ Μανιχαίων ἔργῳ του ἀναφέρει τὸν Σαραπίωνα (Migne, PG 102, 32/3, κῶδιξ 85 τῆς Βιβλιοθήκης του). — Τέλος λεχθήτω, ὅτι καὶ ὁ Ἐπιφάνιος ἀναφέρει τὸ ὄνομα Σαραπίωνος, ἀλλὰ δὲν πρόκειται ἴσως περὶ τοῦ ἡμετέρου (Κατὰ αἱρέσ., παρὰ Migne, PG 41, 155-1200, κεφ. 69,2).

Β'. Βίος: Ἐπὶ τῇ βάσει τῶν ἀνωτέρω μνημονευθεισῶν πηγῶν θὰ ἠδυνάμεθα νὰ συνθέσωμεν τὰ περιληπτικῶς διδόμενα ἱστορικὰ σημεῖα τοῦ πράγματι ἀξιολόγου τούτου Πατρὸς τῆς Ἐκκλησίας ἐπισκόπου Θμούεως Σαραπίωνος. Ἐγεννήθη πιθανῶς τὰ τέλη τοῦ γ' ἢ τὰς ἀρχὰς τοῦ δ' αἰῶνος, πιθανώτατα ἐν Αἰγύπτῳ, ἄγνωστον πάντως εἰς ποίαν πόλιν. Ὑπῆρξε φίλος καὶ συνασκητὴς τοῦ Μ. Ἀντωνίου, φίλος δ' ἐπίσης καὶ συναθλητὴς τοῦ Μ. Ἀθανασίου. Σημειωτέον δ' ὅτι ἐκ τῶν δέκα καὶ ἑπτὰ ὁμωνύμων προσωπικοτήτων τῆς περιόδου ταύτης, τῶν ἀναφερομένων ὑπὸ τοῦ Dictionary of Christian Biography ὑπὸ Schmith and Wace (τ. 4, 612/5. Πρβ. Herzog-Hauck, Realencykl. f. protest. Theol. und Kirche, Leipzig 1896-1913, τ. 18, 219,16), ἰδιαιτέραν ἐντελῶς θεσιν καταλαμβάνει ἐν τῇ Ἱστορίᾳ τῆς Ἐκκλησίας καὶ τῶν χριστιανικῶν Γραμμάτων ὁ Σαραπίων, ἐπίσκοπος Θμούεως ἐν τῇ Κάτω Αἰγύπτῳ. Σημειοῦμεν ἐκ προοιμίου, ὅτι ὀρθοτέρα εἶναι ἡ Ἑλληνικὴ γραφὴ τοῦ ὀνόματος «Σαραπίων» τῆς διὰ τῶν λατινικῶν χφφ. παραδιδομένης παραλλαγῆς εἰς «Σεραπίων». Ἐντελῶς ἀπίθανος φαίνεται ἡ εἴδησις τοῦ εἰς πολλὰς συγχύσεις ὁδηγήσαντος ἱστορικοῦ Φιλίππου Σιδίτου εἰς τὰ ἐλάχιστα διασωθέντα ἀποσπάσματα, περὶ διευθύνσεως τῆς Κατηχητικῆς Σχολῆς τῆς Ἀλεξανδρείας ὑπὸ τοῦ Σαραπίωνος καὶ μάλιστα ὡς διαδόχου τοῦ πρεσβυτέρου Θεογνώστου καὶ προκατόχου τοῦ Πατριάρχου Πέτρου Β' Ἀλεξανδρείας (Πρβ. Χρυσοστόμου Παπαδοπούλου, Ἱστορ. τ. Ἐκκλ. Ἀλεξ. Ἀλεξάνδρεια 1935, σ. 254).

2. Τὸ ὅτι ἐγένετο ἀσκητὴς καὶ δὴ καὶ ἡγούμενος πολλῶν μοναχῶν, πληροφορούμεθα ἐκ τῆς Ἐπιστολῆς τοῦ Μ. Ἀθανασίου «Πρὸς Δρακόντιον» (Ἔνθ' ἀν. καὶ Β.Ε.Π. 33, 174,19: «Οὐ γὰρ σὺ μόνος ἐκ μοναχῶν κατεστάθης, οὐδὲ σὺ μόνος προέστης μοναστηρίου, ἢ μόνος ὑπὸ μοναχῶν ἠγαπήθης· ἀλλ' οἶδας, ὅτι καὶ Σε-

ραπίων μοναχός ἐστι, καὶ τόσων μοναχῶν προέστη»). Ὁ χρόνος τῆς εἰς ἐπίσκοπον ἀνυψώσεώς του εἶναι ἄγνωστος. Πάντως πρέπει νὰ ἐχειροτονήθη πρὸ τοῦ 339, ἐφ' ὅσον ἤδη ἐπιστολὴ τοῦ ἔτους τούτου πρόκειται ὑπὸ τοῦ Μ. Ἀθανασίου τῷ Σαραπίωνι ἐπισταλεῖσα. (Ἐν τῇ Συλλογῇ τῶν Ἑορταστικῶν Ἐπιστολῶν τοῦ Μ. Ἀθανασίου, ἔνθ' ἀν. καὶ ἐν Migne, PG 26, 1412). Ἡ πρώτη μνεία ὡς ἐπισκόπου γίνεται ὑπὸ τοῦ Μ. Ἀθανασίου ἐν τῇ «Πρὸς Δρακόντιον» ἐπιστολῇ του. Ἡ ἐπισκοπὴ Θμούεως ἔκειτο ἐν τῇ ἐπαρχίᾳ Πηλουσίου τῆς Κάτω Αἰγύπτου. Τὴν ἐπισκοπὴν ἐκόσμησαν ὁ Φιλέας, ὃν διεδέχθη ὁ Δονᾶτος καὶ ὁ ἐν τῇ Α' Οἰκουμ. Συνόδῳ τῆς Νικαίας συμμετασχὼν Γάιος, ὃν καὶ διεδέχθη πιθανώτατα ὁ Σαραπίων (Χρυσ. Παπαδοπούλου, ἔνθ' ἀν., σ. 255). Ὡς ἐπίσκοπος ὁ Σαραπίων συμμετέσχε τῶν ἐργασιῶν τῆς ἐν Σαρδικῇ συνόδου τοῦ ἔτους 343 μεθ' ἑτέρου ὁμωνύμου αὐτῷ ἐπισκόπου (Opitz, μν. ἔ. καὶ Β.Ε.Π. 31, 89, 23 καὶ 32, ὑπ' ἀριθ. 205 καὶ 224 καὶ δὴ καὶ ὡς ὑπερασπιστὴς καὶ ὑπέρμαχος τοῦ Μ. Ἀθανασίου (Πρβ. καὶ Μ. Ἀθανασίου, Ἀπολογητικὸν δεύτερον, παρὰ Β.Ε.Π. 31, 81, 34-86,30 κ.ἀ.—Ἡ ἐν Σαρδικῇ σύνοδος συνῆλθε πιθανώτατα τὰ τέλη τοῦ 343 μέχρι τῶν ἀρχῶν τοῦ 344. Πρβ. Hefele, Conciliengeschichte. Freiburg i. Br. I, 533 ἑ.).

3. Ὁ Μ. Ἀθανάσιος, ὡς καὶ οἱ ὁμόφρονες αὐτῷ τῆς ὅλης Αἰγύπτου ἐτίμων ἰδιαζόντως τὸν Σαραπίωνα. Ὁ Μ. Ἀντώνιος ἐτίμα τόσον πολὺ τὸν ἄνδρα καὶ διέκειτο τόσον φιλικῶς πρὸς αὐτόν, ὥστε εἰς αὐτὸν καὶ μόνον ἐνεπιστεύετο καὶ ἀνεκοίνου τὰς ὁράσεις καὶ τοὺς πειρασμοὺς αὐτοῦ, εἰς αὐτὸν δ' ἐπίσης θνήσκων κατέλιπε τὴν ἑτέραν τῶν δύο «μηλωτῶν» του, ἐνῷ τὴν ἄλλην ἐκληροδότει τῷ Μ. Ἀθανασίῳ (Ἀθαν., Βίος Μ. Ἀντωνίου 82,91, παρὰ Β.Ε.Π. 33,51,5 «Καὶ αὐτὸς μὲν μεθ' ὥρας ὡμίλει τὰ ἀκόλουθα τοῖς συνοῦσιν ἀδελφοῖς αὐτῷ· οἱ δὲ συνόντες ᾐσθάνοντό τινα θεωρίαν αὐτὸν βλέπειν. Καὶ γὰρ καὶ τὰ ἐν Αἰγύπτῳ γινόμενα πολλάκις, ἐν τῷ ὄρει τυγχάνων, ἔβλεπε καὶ διηγήσατο Σαραπίωνι τῷ ἐπισκόπῳ, ἔνδον ὄντι καὶ βλέποντι τὸν Ἀντώνιον ἀσχοληθέντα τῇ ὀπτασίᾳ...». Ἐπίσης αὐτόθι 33,55,38: «Διέλετε δέ μου τὰ ἐνδύματα· καὶ Ἀθανασίῳ μὲν τῷ ἐπισκόπῳ τότε τὴν μίαν μηλωτήν, καὶ ὃ ὑπεστρωννυόμην ἱμάτιον, ὅπερ αὐτὸς μέν μοι καινὸν δέδωκε, παρ' ἐμοὶ δὲ πεπαλαίωται· καὶ Σαραπίωνι δὲ τῷ ἐπισκόπῳ δότε τὴν ἑτέραν μηλωτήν»).

4. Τὴν ἰδιαιτέραν ἐκτίμησιν, ἣν ἔτρεφεν ὁ Μ. Ἀθανάσιος πρὸς τὸν «συνετὸν» Σαραπίωνα, ἀντιλαμβάνεταί τις ἀναγινώσκων τὴν πρώτην πρὸς αὐτὸν ἐπιστολὴν τοῦ Μ. Ἀθανασίου, ἐν ᾗ μεταξὺ ἄλλων λέγει: «διὰ δὲ τὴν προτροπὴν τῆς σῆς ὁσιότητος, ἕνεκά τε τῆς ἐκείνων ἀλλοδοξίας καὶ σατανικῆς προπετείας, δι' ὀλί-

γων ἔγραψα τὴν ἐπιστολήν, μόλις καὶ ταῦτα δυνηθείς, ἵνα μόνον καὶ σύ, πρόφασιν ἐκ τούτων λαβών, κατὰ τὴν προσοῦσάν σοι σύνεσιν τὰ λείποντα προσθῇς, καὶ πλήρης ὁ κατὰ τῆς δυσσεβοῦς αἱρέσεως ἔλεγχος γένηται» (Β.Ε.Π. 33,90-121, ἰδίᾳ σ. 90,30-91,3). Ἐν δὲ τῷ τελευταίῳ κεφαλαίῳ 33 τῆς ἐπιστολῆς καὶ ταῦτα προστίθησιν ὁ μέγας Πατήρ, ἐνδεικτικὰ τῆς μεγάλης ἐκτιμήσεως τούτου πρὸς τὸν Σαραπίωνα, ἀλλὰ καὶ τῆς ἀναγνωρίσεως τῆς ἐξαιρέτου θεολογικῆς του γνώσεως καὶ τῆς διαλεκτικῆς του δεινότητος: «Ἐγὼ μὲν οὖν καίπερ ἐν ἐρημίᾳ διάγων, διὰ γοῦν τὴν ἀναίδειαν τῶν ἐκτραπέντων ἀπὸ τῆς ἀληθείας... δι' ὀλίγων γράψας, ἀπέστειλα τῇ σῇ εὐλαβείᾳ, πολλὰ παρακαλῶν, ἵνα, ἐντυγχάνων τούτοις, τὰ μὲν διορθώσῃς, ἐπὶ δὲ τοῖς ἀσθενῶς εἰρημένοις συγγινώσκῃς» (Αὐτόθι 33,120, 23-28). Ὁ ἅγιος Ἱερώνυμος διαδηλοῖ τὴν πρὸς τὸν Σαραπίωνα βαθεῖαν ἐκτίμησίν του, ἐν οἷς λέγει: «ἐν τοῖς συγγράμμασιν αὐτοῦ τοιαύτην εὐρυτάτην γνῶσιν τῶν διδασκαλιῶν καὶ γνωμῶν εἶχεν, ὥστε ἀγνοεῖς τί πρῶτον ἐν αὐτοῖς νὰ θαυμάσῃς, τὴν μάθησιν τοῦ αἰῶνος ἢ τὴν βαθεῖαν γνῶσιν τῆς Ἁγίας Γραφῆς». Διὰ τὴν βαθεῖαν θεολογικήν του κατάρτισιν, τὴν πολυμάθειαν, τὴν ἀγχίνοιαν καὶ τὴν γλαφυρότητα ἐκλήθη ὑπὸ τοῦ Ἱερωνύμου «σχολαστικὸς» ὁ Σαραπίων· «ob elegantiam ingenii congnomen scholastici meruit» (Ἱερωνύμου, Ἐπιστ. ad Magnum, παρὰ Migne, PL 22, 657/8. Τοῦ αὐτοῦ, De vir. ill. 99). Ὁ Σωζομενὸς ὀνομάζει τὸν Σαραπίωνα «μέγαν» (Ἐκκλ. Ἱστ. 3,14, Migne, PG 67, 1069B), κατατάσσει δὲ τοῦτον μεταξὺ τῶν «ἐπισημοτάτων» ἐκκλησιαστικῶν ἀνδρῶν τῆς ἐποχῆς του (Αὐτόθι 3,1081C: «Ἀνδρῶν μὲν οὖν πέρι, οἳ τότε ἐν εὐσεβείᾳ καὶ ἐκκλησιαστικῷ θεσμῷ ἐφιλοσόφουν, τάδε ἔγνων ὡς συνέγραψα. Ὑπερφυῶς δὲ πολλοὶ καὶ μάλα ἐλλόγιμοι κατὰ τὸν αὐτὸν χρόνον ἐν ταῖς Ἐκκλησίαις διέπρεπον. Ἐπισημότατοι δὲ ἐν τούτοις ἐγένοντο, Εὐσέβιος ὁ τὴν Ἐμέσης ἱερωσύνην ἐπιτροπεύσας καὶ Τίτος ὁ Βόστρης καὶ Σαραπίων ὁ Θμουαῖος, Βασίλειός τε ὁ Ἀγκύρας καὶ Εὐδόξιος ὁ Γερμανικίας καὶ Ἀκάκιος ὁ Καισαρείας καὶ Κύριλλος ὃς τὸν Ἱεροσολύμων θρόνον ἐπετρόπευσε. Σύμβολον τῆς αὐτῶν παιδείας, ἃ συνεγράψαντο καὶ καταλελοίπασι, πολλά τε καὶ λόγου ἄξια». Δίδει δὲ ἐπ' εὐκαιρίᾳ καὶ τὸν ἀκόλουθον χαρακτηρισμὸν τοῦ Σαραπίωνος: «Σαραπίων ὁ Θμουαῖος ἀνὴρ ἐς τὰ μάλιστα τὸν βίον θεσπέσιος, καὶ λέγειν δεινὸς» (Αὐτόθι 4,9, Migne, PG 67, 1129B).— Τέλος καὶ ὁ ἱστορικὸς Σωκράτης, ὡς εἴπομεν, διέσωσεν Ἀπόφθεγμα τοῦ Σαραπίωνος μετὰ τοῦ χαρακτηρισμοῦ τούτου ὡς «ἀγγέλου» τῆς Ἐκκλησίας: «Ἔλεγε δὲ ὁ τῆς Θμουΐτῶν Ἐκκλησίας ἄγγελος Σαραπίων, ὅτι ὁ νοῦς μὲν πεπωκὼς

πνευματικὴν γνῶσιν τελείως καθαίρεται· ἀγάπη δὲ τὰ φλεγμαίνοντα μόρια τοῦ θυμοῦ θεραπεύει· πονηρὰς δὲ ἐπιθυμίας ἐπιρρεούσας ἵστησιν ἐγκράτεια» (κ. 4,23, Migne, PG 67, 520C).

5. Ἐν ἔτει 356 συμμετέσχεν ὡς ἀρχηγὸς πολυμελοῦς πρεσβείας Αἰγυπτίων ἐπισκόπων καὶ πρεσβυτέρων (ἐκ πέντε ἐπισκόπων καὶ τριῶν πρεσβυτέρων) πρὸς τὸν ἐν τῇ Δύσει εὑρισκόμενον αὐτοκράτορα Κωνστάντιον πρὸς διασκέδασιν καὶ ἀναίρεσιν τῶν κατὰ τοῦ Μ. Ἀθανασίου κατηγοριῶν τῶν περὶ τὸν Εὐσέβιον Νικομηδείας († 341/2) Ἀρειανῶν (Σωζομενοῦ, Ἐκκλ. Ἱστ. 4,9, παρὰ Migne, PG 67, 1129: «Ἀθανάσιος δὲ πειθόμενος ἐπιβουλεύεσθαι ἐν τοῖς βασιλείοις, αὐτὸς μὲν πρὸς βασιλέα ἐλθεῖν οὔτε ἐθάρρησεν, οὔτε λυσιτελεῖν ἐδοκίμασεν. Ἐπιλεξάμενος δὲ τῶν ἐν Αἰγύπτῳ ἐπισκόπων πέντε, ὧν ἦν Σεραπίων ὁ Θμουαῖος, ἀνὴρ ἐς τὰ μάλιστα τὸν βίον θεσπέσιος, καὶ λέγειν δεινός, πέμπει εἰς βασιλέα, πρὸς Δύσιν τότε τῆς ἀρχομένης (δηλ. μονοκρατορίας τοῦ Κωνσταντίου, μετὰ τὴν δολοφονίαν τοῦ συμβασιλεύοντος ἀδελφοῦ του Κώνσταντος περὶ τὸ 350) διάγοντα. Συμπέμπει δὲ αὐτοῖς καὶ τῆς ὑπ' αὐτὸν ἐκκλησίας πρεσβυτέρους τρεῖς, καταλλάξοντας αὐτῷ τὸν κρατοῦντα καί, ἢν δέοι, πρὸς τὰς διαβολὰς τῶν ἐναντίων ἀπολογησομένους, καὶ τὰ ἄλλα πράξοντας, ὅπῃ ἂν τῇ ἐκκλησίᾳ καὶ αὐτῷ ἄριστα γινώσκωσιν. Ἀποπλευσάντων δὲ αὐτῶν, μετ' οὐ πολὺ γράμματα τοῦ βασιλέως ἐδέξατο, καλοῦντα αὐτὸν εἰς τὰ βασίλεια. Ἐπὶ δὲ τούτῳ αὐτὸς Ἀθανάσιος καὶ ὁ λαὸς τῆς ἐκκλησίας ἐταράχθησαν, καὶ ἐναγώνιοι ἦσαν, οὔτε πείθεσθαι τῷ βασιλεῖ, ἑτεροδόξῳ ὄντι, ἀσφαλὲς νομίζοντες, οὔτε ἀπειθεῖν ἀκίνδυνον. Ἐκράτει δὲ ὅμως μένειν· καὶ ὁ τὰ γράμματα κομίσας, ἄπρακτος ἀνέστρεφε».(Πρβ. Χρυσ. Παπαδοπούλου, μν. ἔ. σ. 191/2). Αἱ πηγαὶ σιωπῶσι περὶ τῆς ἐκβάσεως τῆς ἐν λόγῳ πρεσβευτικῆς ἀποστολῆς τοῦ Σαραπίωνος. Οἱ νεώτεροι ἱστορικοὶ δέχονται πλήρη ἀποτυχίαν τῆς ἀποστολῆς τοῦ Σαραπίωνος. Στηρίζουσι δὲ τὴν γνώμην των ταύτην εἰς τὸ ὅτι ὁ Ἱερώνυμος ἀναφέρει (Ἐπιστ. ad Magnum 70,4, ἔνθ' ἀν.), ὅτι ὁ Σαραπίων, διωχθεὶς ἐπὶ Κωνσταντίου αὐτοκράτορος, ἐγένετο «ὁμολογητὴς» τῆς ἐν Χριστῷ πίστεως. Ὡς «ὁμολογητὴς» ὁ Σαραπίων ἀσφαλῶς καὶ θὰ ἀπεμακρύνθη τῆς ἐπισκοπῆς του καὶ θὰ ἐξωρίσθη. Ἀλλ' ἡ εὔλογος αὕτη ὑπόθεσις δὲν ἐπιμαρτυρεῖται καὶ ὑπὸ τῶν πηγῶν. Στηρίζεται ἁπλῶς εἰς τὸν χαρακτηρισμὸν τοῦ Ἱερωνύμου ὡς «ὁμολογητοῦ» γενομένου τοῦ Σαραπίωνος.

6. Ἡ μόνη ἴσως ἐπιβεβαίωσις τῆς ἀπομακρύνσεως ἐκ τῆς ἐπισκοπῆς τοῦ Σαραπίωνος καὶ τῆς ἐξορίας τούτου ὑπὸ τοῦ ἀρειανόφρονος αὐτοκράτορος Κωνσταντίου εἶναι ὅτι ἐν τῇ συνόδῳ τῆς Σελευκείας τοῦ 359 (Ἐπιφανίου, Κατὰ αἱρέσεων 73,26, παρὰ Migne, PG 42, 453) μετέσχεν ὡς ἐπίσκοπος Θμούεως ὁ Πτο-

λεμαῖος, ἀρειανόφρων καὶ ἀσφαλῶς ἅρπαξ καὶ ἐπιβήτωρ τοῦ θρόνου. Ὅτι δὲ ὁ Σαραπίων εὑρίσκετο ἐν ζωῇ καὶ μετὰ τὸ 359, ἀποδεικνύεται ἐκ τῶν πέντε ἐπιστολῶν, τὰς ὁποίας ἐπεστείλατο αὐτῷ ὁ Μ. Ἀθανάσιος μεταξὺ τῶν ἐτῶν 356 καὶ 362 (Migne, PG 25,685/90. 26,529/76. Β.Ε.Π. 33,90-121. 121/7. 128/33. 133/49. 177/9). Ὁ Λεόντιος ἐν τῷ ἔργῳ του «Περὶ Ἀπολλιναρίου ψευδῶς ἐπιγεγραμμένων» (Migne, PG 86, 1947/76, ἰδίᾳ 1948) ἐμφανίζει τὸν Σαραπίωνα γνωρίζοντα τὴν πρὸς Ἐπίκτητον Κορίνθου ἐπιστολὴν τοῦ Μ. Ἀθανασίου, γραφεῖσαν πιθανώτατα μετὰ τὸ 360 (Migne, PG 26, 1049/69 καὶ Β.Ε.Π. 33, 151/9), ἐφ᾽ ὅσον μνημονεύει ἀποσπάσματός τινος ἐπιστολῆς τοῦ Ἀπολλιναρίου πρὸς τὸν Σαραπίωνα, ἐν ᾧ γίνεται σαφὴς ὑπαινιγμὸς τῆς πρὸς Ἐπίκτητον ἐπιστολῆς τοῦ Μ. Ἀθανασίου, ὡς εἴπομεν. Ἑπομένως ἡ πρὸς τὸν Σαραπίωνα ἐπιστολὴ τοῦ Ἀπολλιναρίου πρέπει νὰ ἐγράφη μετὰ τὴν ἐπιστολὴν τοῦ Μ. Ἀθανασίου πρὸς τὸν Ἐπίκτητον Κορίνθου. Σημειωτέον δὲ καὶ τοῦτο. Ὁ H. Lietzmann ἐν τῷ ἔργῳ του περὶ Ἀπολλιναρίου (Apollinaris von Laodicea und seine Schule, TU 1, Tübingen 1904 σ. 279) ἐσφαλμένως προσδιώρισε τὴν σύνταξιν τῆς πρὸς Ἐπίκτητον ἐπιστολῆς τοῦ Μ. Ἀθανασίου περὶ τὸ 370· ἐν τούτοις καὶ διὰ τῆς ἁπλῆς ταύτης ὑποθέσεως ἰσχυροποιεῖται ἡ γνώμη τῶν νεωτέρων ἐπιστημόνων, ὅτι ὁ Σαραπίων ἀπέθανεν ὁπωσδήποτε μετὰ τὸ 362. Ἀλλὰ τοῦτο ὑποδηλοῖ ὅτι ἀποκατεστάθη εἰς τὴν ἐπισκοπήν του ὑπὸ τοῦ αὐτοκράτορος Ἰουλιανοῦ τοῦ παραβάτου (361/3). Πάντως τὸ ἀκριβὲς ἔτος τοῦ θανάτου τοῦ Σαραπίωνος εἶναι ἄγνωστον.

Γ'. Ἡ μνήμη αὐτοῦ ὡς ἁγίου. Ἡ Κοπτικὴ Ἐκκλησία ἐπιτελεῖ τὰ ἑόρτια τῆς μνήμης τοῦ ἁγίου Σαραπίωνος τῇ 7 Μαρτίου. Ἡ ἡμετέρα καὶ ἡ Ρωμαιοκαθολικὴ Ἐκκλησία ἐπιτελοῦν τὸν πανηγυρισμὸν τοῦ ἁγίου Σαραπίωνος τὴν 21 Μαρτίου. Ἴσως ἡ διαφορὰ ἔγκειται εἰς τὴν διαφορὰν τῶν 13 ἡμερῶν τοῦ Ἰουλιανοῦ ἡμερολογίου, ἐν ᾧ πρόκειται κατ᾽ οὐσίαν περὶ τῆς αὐτῆς ἡμέρας. Σημειωτέον, ὅτι ἐν τοῖς παλαιοτέροις Μαρτυρολογίοις καὶ Ἑορτολογίοις δὲν ἀπαντᾷ τὸ ὄνομα τοῦ ἁγίου Σαραπίωνος. Ἐν τῷ Ρωμαϊκῷ Μαρτυρολογίῳ τοῦ Μεσαίωνος μνημονεύεται Σαραπίων ὁ ἀναχωρητής. Θεωρεῖται ὅτι πρόκειται περὶ τοῦ Σινδονίου Σαραπίωνος (Ἐπετ. Ἑτ. Βυζ. Σπ. 11,175. Migne, PG 34, 1180/8, Δουκάκη-Ματθαίου, Μέγας Συναξαριστὴς τ. 3, μνήμη 21 Μαρτίου. Halkin, Bibl. Hagiogr. Graeca II, 235/6. Παλλαδίου, Λαυσαϊκὸν κ. 37, παρὰ Migne, PG 34, 995-1262). Πρῶτος ὁ Baronius συμφώνως πρὸς τὰ Acta SS. τῆς 21 Μαρτίου (III, 259), ἐταύτισε τὸν ἀναχωρητὴν Σαραπίωνα μετὰ τοῦ

ἐπισκόπου Θμούεως, τοῦθ' ὅπερ ἀπεδέχθησαν καὶ οἱ νεώτεροι ἐκδόται τοῦ Ῥωμαϊκοῦ Μαρτυρολογίου (Propylaeum Act. SS. Decembr.).

Δ') Συγγράμματα. 1. Κατὰ Μανιχαίων. Τὸ κείμενον τοῦ ἔργου ἔχει μακρὰν ἱστορίαν. Ἐνεφανίσθη τὸ πρῶτον εἰς λατινικὴν μετάφρασιν τοῦ Ἱσπανοῦ Ἰησουΐτου Francisco de Torres ἐν τῷ ἔργῳ τοῦ Canisius, Lectiones Antiquae. Ingolstadt 1608, vol. 5. Ἡ πρώτη ἐλλιπὴς ἔκδοσις τοῦ ἑλληνικοῦ κειμένου ἐγένετο ὑπὸ τοῦ J. Basnage ἐν Antwerpen 1725, ἐξ ἧς καὶ ἀνετυπώθη παρὰ Migne, PG 40, 899-923. Ἡ ἔκδοσις αὕτη ἐβασίσθη εἰς χφ. τοῦ 17ου αἰ. τῆς Βιβλιοθήκης τοῦ Ἀμβούργου. Ἐκ τοῦ ἰδίου χφ. ἐξέδωκεν ὁ P. de Lagarde (Berlin 1859) τὸ ἔργον τοῦ Τίτου Βόστρων. Ὁ ἐκδοὺς τὸ ἔργον ἀνεγνώρισεν, ὅτι ἓν σημαντικὸν μέρος ἐκ τοῦ κειμένου ἔδει νὰ ὀβελισθῇ, ἐπειδὴ παρενεβλήθη ἐσφαλμένως κατὰ τὴν ἐξ ἀναμείξεως μετάθεσιν πλειόνων τετραφύλλων. Ὁ A. Brinkmann πρῶτος ἀνεκάλυψεν, ὅτι τὸ ἀδέσποτον τοῦτο μέρος τοῦ ἔργου τοῦ Τίτου Βόστρων ἀνήκει εἰς τὸ «Κατὰ Μανιχαίων» ἔργον τοῦ Σαραπίωνος (Die Streitschrift des S. von Thmuis gegen die Manichaeer, Ber. Ak., Berlin 1894, 479 ἑ.). Ἡ γνώμη τοῦ Brinkmann ἐπεβεβαιώθη διὰ τῆς ἀνακαλύψεως ἐν τῷ μεταξὺ ὑπὸ τοῦ Καρδιναλίου Pitra τοῦ χφ. τῆς Γενούης (G) τοῦ 11 αἰ. (Genua miss. urb. 27), ἐν ᾧ ἐμφανίζεται ἡ ἀπώλεια τοῦ ἑνὸς φύλλου, καθ' ἃ ὁ P. de Lagarde διέγνω, ὁ δὲ Brinkmann ἀνεγνώρισεν, ὡς ἀνῆκον εἰς τὸ ἔργον τοῦ Σαραπίωνος «Κατὰ Μανιχαίων». Τὸ πλῆρες κείμενον ἀνεκάλυψαν οἱ R. P. Casey καὶ Kirsopp Lake ἐν ἔτει 1925 ἐν τῷ ὑπ' ἀριθ. 236 χφ. τῆς Μονῆς Βατοπεδίου ἐν Ἄθωνι τοῦ 12 αἰ. (V). Ἀμφότεροι οἱ κώδικες G καὶ V ὁμοιάζουσιν. Εἰς ἀμφοτέρους ἀκολουθεῖ μετὰ τὸ ἔργον τοῦ Σαραπίωνος τὸ τοῦ Τίτου Βόστρων (R. P. Casey, The text of the Antimanichean writings of Titus of Bostra and S. of Thmuis, ἐν Harv. Theol. Rev. XXI (1928) 97-111. Τὴν πλήρη ἔκδοσιν τοῦ κειμένου ἐδημοσίευσεν ὁ αὐτὸς Casey ἐν: Harv. Theol. Stud. XV, Cambridge (Mass., USA) 1931.

Τὸ «Κατὰ Μανιχαίων» ἔργον τοῦ Σαραπίωνος εἶναι σπουδαιότατον καὶ μόνον τοῦτο θὰ ἤξιζε ν' ἀπαθανατίσῃ τὴν μνήμην τοῦ συντάκτου αὐτοῦ. Ἡ κατὰ τοῦ Μανιχαϊσμοῦ ἀντίρρησις, μὴ ἐπαγωγικῶς καὶ συστηματικῶς ἐκτιθεμένη, ἐν τούτοις γίνεται μετὰ καταπλησσούσης ὀξυνοίας. Ἡ ἀντιρρητικὴ τοῦ Σαραπίωνος ὡς κέντρον, ἐξ οὗ ἐκινεῖτο καὶ περὶ ὃ ἐστρέφετο, εἶχε τὴν δυαρχίαν τῶν Μανιχαίων, καθ' ἣν τὸ ἀπόλυτον ἀγαθὸν καὶ τὸ ἀπόλυτον κακὸν εὑρίσκοντο εἰς πλήρη ἀντίθεσιν μεταξύ των («φῶς» τὸ ἀγαθόν, «σκότος» τὸ κακόν). Κατέληγε δὲ ὁ Μανιχαϊσμὸς εἰς ἄρνησιν

καὶ αὐτῆς τῆς ἐλευθέρας βουλήσεως τοῦ ἀνθρώπου. Ἡ ἐπιχειρηματολογία τοῦ Σ α ρ α π ί ω ν ο ς ἐστηρίζετο κυρίως εἰς τὴν ἀπόδειξιν τοῦ ἑνιαίου τῆς τε ψυχῆς καὶ τοῦ σώματος καὶ οὐχὶ κατὰ τὸν ἰσχυρισμὸν τοῦ Μανιχαϊσμοῦ, ὅτι ἀμφότερα ἦσαν μεῖξις ἀγαθοῦ καὶ κακοῦ: «Ὅτι δὲ οὐκ ἔστι καθ' ἑαυτὴν ἰδεῖν ψυχὴν οὐσιώδη καλήν, οὕτω πεφυκυῖαν καὶ οὖσαν, οὔτε σῶμα καθ' ἑαυτὸ οὐσιῶδες κακόν, μαρτυροῦσιν οἱ λόγοι καὶ αἱ πράξεις» (ἰδὲ κατωτέρω σ. 29,4-6). Ἡ ἐπιχειρηματολογία τοῦ Σ α ρ α π ί ω ν ο ς στηρίζεται ἐπὶ τῆς πλατωνικῆς φιλοσοφίας. Καὶ ἡ θεολογικὴ ἐπιχειρηματολογία καὶ αἱ ἐκ τῆς ἁγίας Γραφῆς ἀποδείξεις πλούσιαι καὶ ἐπιτυχεῖς, ἀποβλέπουν εἰς τὸν ν' ἀναιρέσουν πᾶσαν ἀντιλογίαν τῶν ὀπαδῶν τοῦ Μανιχαϊσμοῦ. Οἱ Μανιχαῖοι ἰσχυρίζοντο, λέγοντες: «Τὸ σῶμα ἐφορέσαμεν τοῦ Σατανᾶ, ἡ δὲ ψυχὴ τοῦ Θεοῦ· καὶ τὸ μὲν σῶμα οὕτω πέφυκε κακόν, ἐκ κακοῦ προελθόν, ἡ δὲ ψυχὴ πέφυκε καλή, ἐκ καλοῦ ἔχουσα τὴν ἀρχήν· οὐκοῦν δύο ἀρχαὶ καὶ δύο οὐσίαι· καὶ ἀρχαὶ δύο γεγόνασιν αἰτίαι, καὶ ἡ μὲν σώματος κακοῦ, ἡ δὲ ψυχὴ ἀγαθῆς. Ἀγαθὴ οὖν ἡ ψυχή, πονηρὸν δὲ τὸ σῶμα» (ἰδὲ κατωτέρω σσ. 31,39-32,2). Ὁ Σ α ρ α π ί ω ν ἀπαντᾷ: «Καὶ πῶς σῶμα μὲν σωφρονεῖ, πολλάκις δὲ ψυχὴ ῥᾳθυμεῖ; Καὶ πῶς ἑκάτερον ἐν τῇ ἰδίᾳ τάξει οὐ μένει... καὶ γέγονε τὸ ἀνάπαλιν, τὸ μὲν τοῦ διαβόλου τοῦ Θεοῦ, τὸ δὲ τοῦ Θεοῦ τοῦ διαβόλου· καὶ λέλυται ἡ θρυλουμένη ἔχθρα· καὶ φιλία γέγονε καὶ σπονδή, τοῦ μὲν Θεοῦ τὴν ψυχὴν ἀποπέμποντος τῷ διαβόλῳ, τοῦ δὲ διαβόλου τὸ σῶμα ἀντιπαραπέμποντος τῷ Θεῷ ὑπηρετεῖν; ὑπηρετεῖ γὰρ σωφρονοῦν· τὸ δὲ τοῦ Θεοῦ τῷ διαβόλῳ διακονεῖν· διακονεῖ γὰρ ἀπιστοῦσα, καὶ βλάσφημα φθεγγομένη» (αὐτόθι 32,2-11). Διαυγὴς καὶ καθαρὰ καὶ ἀγχίνους καὶ εὔστροφος ἡ ἀντίρρησις τοῦ ἁγίου Πατρός. Ὁ Σ α ρ α π ί ω ν πολλάκις ἐν τῇ λεπτεπιλέπτῳ ἐπιχειρηματολογίᾳ του δὲν ἀρκεῖται εἰς τὴν ἀντίκρουσιν τῶν βασικῶν κακοδοξιῶν τοῦ Μανιχαϊσμοῦ, ἀλλ' ἐκκινεῖ ἔχων a priori τὴν πρόθεσιν, ὅπως ἀναιρέσῃ καὶ πᾶσαν τυχὸν προβληθησομένην ὑπὸ τῶν ἀντιπάλων του αἱρετικῶν ἀντίθεσιν καὶ ἀντίρρησιν. Ὀρθῶς ἐλέχθη, ὅτι ἡ σκέψις τοῦ Σ α ρ α π ί ω ν ο ς ἑδράζεται ἐπὶ τῆς πλατωνικῆς τέχνης τοῦ λόγου, ἤτοι τῆς «διαιρέσεως» εἰς τὰ ἐπὶ μέρους τῶν ἰδεῶν τοῦ ἀντιπάλου καὶ τοῦ «ἐλέγχου» διὰ τῆς λογικῆς καὶ φιλοσοφικῆς — ἐνταῦθα καὶ τῆς θεολογικῆς — ἐπιχειρηματολογίας, ὥστε ν' ἀρθῇ καὶ ἀναιρεθῇ πᾶσα θέσις ἢ ἀντίκρουσις τοῦ ἀντιπάλου. Ἀξιοπαρατήρητον εἶναι, ὅτι ἐλλείπουν ἐκ τοῦ ἔργου οἱ θεολογικοὶ ὅροι καὶ αἱ ἔννοιαι, αἱ χρησιμοποιηθεῖσαι ὑπὸ τῶν ὀπαδῶν τῆς ἐν Νικαίᾳ Α' οἰκουμ. συνόδου καὶ μάλιστα ὑπὸ τοῦ Μ. Ἀ θ α ν α σ ί ο υ. Φέρ' εἰπεῖν, ὁ ὅρος «ὁμοούσιος» οὐδαμοῦ τοῦ ἔργου ἀπαντᾷ. Ἀρειανικαὶ ἀντιλήψεις δὲν ἀναφέρονται. Ἐκ τούτου εἴκασάν τινες οὐχὶ ἀδικαιολογήτως, ὅτι τὸ ἔργον τοῦτο πρέπει νὰ τεθῇ εἰς χρόνον πρὸ τῆς ἐν Νικαίᾳ συνόδου καὶ ὅτι συνετάχθη κατὰ τὰ σφριγηλὰ ἔτη τῆς νεότητος τοῦ Σ α ρ α π ί ω ν ο ς. Ἐὰν τοῦτο εἶναι

ἀκριβές, τότε ἀποδεικνύεται ὅτι ὁ Σαραπίων κατεῖχε μόρφωσιν σπανίαν καὶ ἦτο κάτοχος τῆς Ἑλληνικῆς Σοφιστικῆς ἢ Ῥητορικῆς, μάλιστα ἐν τῇ χρήσει τῶν ἀντιθετικῶν σχημάτων. Ὁ Casey ἐν τῇ εἰσαγωγῇ τῆς μνημονευθείσης μελέτης του (σ. 6-12) παρέσχε συλλογὴν τῶν σχημάτων τούτων. Περὶ τοῦ ὕφους δὲ τοῦ Σαραπίωνος διέλαβεν ὁ Brinkmann (μν. ἔ. σ. 487). Δικαία καὶ ἁρμόζουσα λοιπὸν καὶ ἡ περὶ Σαραπίωνος κρίσις τοῦ ἁγίου Ἱερωνύμου, ὅτι εἶναι «scholasticus», λόγῳ τῆς ἐξαιρέτου μορφώσεώς του («ob elegantiam ingenii», (De vir. ill. 99). Ὁ μέγας Φώτιος δίδει ἐπιτομὴν τοῦ ἔργου ἐν κώδ. 85 τῆς Βιβλιοθήκης αὐτοῦ.

Τὸ ἔργον δύναται νὰ χαρακτηρισθῇ ὡς τὸ ἄριστον κατὰ τοῦ Μανιχαϊσμοῦ, ἐξ ὅσων ἐγράφησαν ἐναντίον τῆς τεραστίαν διάδοσιν εὑρούσης μανιχαϊκῆς αἱρέσεως ἔν τε τῇ Ἀνατολῇ καὶ ἐν τῇ Δύσει, μέχρι καὶ τῆς ἕκτης ἑκατονταετηρίδος! Ἐκ τοῦ ἔργου τοῦ Σαραπίωνος ἤντλησαν πάντες οἱ μετ' αὐτὸν περὶ Μανιχαϊσμοῦ γράψαντες, ἐν οἷς καὶ ὁ Φώτιος.

2. Τὸ ὑπὸ τοῦ Ἱερωνύμου (De vir. ill. 99) «De psalmorum titulis», φαίνεται ἀπολεσθέν.

3. Ἐπιστολαὶ καὶ ἀποσπάσματα. α') Ἐκ τοῦ Cod. Paris. Coislin. 529 ἐξέδωκεν ὁ Καρδινάλιος Pitra δύο ἀποσπάσματα ἑλληνιστί: Analecta sacra II, Paris 1884 σ. XL καὶ Analecta sacra et classica V, Paris 1888, 47 ἑ. Τὸ τελευταῖον ἀπόσπασμα φέρει τὴν ἐπιγραφήν: «Τοῦ ἁγίου Σεραπίωνος ἐκ τῆς κγ' ἐπιστολῆς». Σημαίνει τοῦτο ὅτι ὑπῆρχε συλλογὴ περιλαμβάνουσα τοὐλάχιστον 23 ἐπιστολάς.

β') Ἐκ τοῦ Cod. London. Brit. Mus. addit. 12156 ἐξέδωκεν ὁ P. Martin (παρὰ Pitra, Analecta sacra IV, Paris 1883, 214/5 καὶ 443/4) τρία ἀποσπάσματα εἰς συριακὴν γλῶσσαν, ἤτοι ἓν ἀπόσπασμα ἔκ τινος Ὁμιλίας περὶ παρθενίας, μίαν ἐπιστολὴν πρὸς τοὺς Αἰγυπτίους ἐπισκόπους, «ὁμολογητὰς» καὶ τούτους, ὡς ὁ Σαραπίων καὶ τέλος ἀπόσπασμα ἀορίστου προελεύσεως. Ὁ Bardenhewer (Gesch. d. altkirchl. Lit. III, 101) ἀμφισβητεῖ τὴν γνησιότητα τούτων.

γ') Μετὰ τοῦ Εὐχολογίου, περὶ οὗ κατωτέρω, συνεξέδωκεν ὁ G. Wobbermin καὶ μίαν δογματικοῦ περιεχομένου ἐπιστολὴν «περὶ Πατρὸς καὶ Υἱοῦ» ἐκ τοῦ ἰδίου κώδικος τῆς Μονῆς τῆς Λαύρας ἐν Ἄθωνι 149 καὶ δὴ καὶ μετὰ τὴν ἀρίθμησιν τῶν 30 εὐχῶν ὡς ὑπ' ἀριθ. 31. Ἐν τῇ ἐπιστολῇ ταύτῃ ὁ Σαραπίων ζητεῖ νὰ προσδιορίσῃ τὰς ἐννοίας τῶν ὅρων «Πατὴρ» καὶ «Υἱός». Ἡ θέσις αὐτοῦ εἶναι σαφῶς ἀντιαρειανική. Μετ' ὀξύτητος καταπολεμοῦνται οἱ ἀρνούμενοι νὰ ὁμολογήσουν ὅτι «ἀεὶ Πατὴρ — ἀεὶ Υἱός». Ἡ Θεότης τοῦ Υἱοῦ μετ' ἐμφάσεως ἐξαίρεται. Ἀλλ' ἡ περὶ Ἁγίου Πνεύματος δὲν διασαφεῖται. Βεβαίως ὁ Σαραπίων πόρρω ἀπέχει εἰς τὸ νὰ

ἐγκρίνῃ τὴν ἀρειανικὴν θέσιν περὶ «κτίσματος» τοῦ Ἁγίου Πνεύματος. Ἐν τούτοις ὁ Σαραπίων φαίνεται διστάζων νὰ θέσῃ εἰς ἰσοτιμίαν τὸ Ἅγ. Πνεῦμα μετὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Ἐν τῇ § 2 δηλοῦται ἁπλῶς ὅτι πᾶσαι «αἱ ἀρεταὶ» καὶ «δυνάμεις» τοῦ Πατρὸς ἐνυπάρχουσιν ἐν τῷ Ἁγ. Πνεύματι. Ἐκ τούτου εἴκασάν τινες ὅτι ὁ Σαραπίων δὲν εἶχεν εἰσέτι συνειδητοποιήσει τὸ τριαδικὸν δόγμα, ὡς ὁ Μ. Ἀθανάσιος, οὔτε τὴν περὶ Θεότητος τοῦ Ἁγ. Πνεύματος ἀντίληψιν. Ἐκ τούτου καὶ ἐξηγεῖται διατὶ ὁ Μ. Ἀθανάσιος μετὰ τόσης προθυμίας ἀνέλαβε νὰ συντάξῃ ἐν τέσσαρσιν ἐπιστολαῖς τὸ «ὑπομνηστικὸν» αὐτοῦ ἔργον «Περὶ Ἁγίου Πνεύματος» διὰ νὰ διαφωτίσῃ πληρέστερον τὴν ὀρθόδοξον δογματικὴν τοποθέτησιν τοῦ Σαραπίωνος ὡς πρὸς τὸ τριαδικόν, ἂν καὶ τὸ περιεχόμενον τῶν 4 ἐπιστολῶν ἐστρέφετο κατὰ τῶν Ἀρειανῶν. Διὰ πρώτην φοράν, ἀλλὰ χρονικῶς εἰς τὴν τελευταίαν γνωστὴν ἐπιστολὴν τοῦ Σαραπίωνος «πρὸς τοὺς Αἰγυπτίους μοναχούς», ὁμολογεῖται ἡ «ὁμοουσία» τοῦ Ἁγ. Πνεύματος (Migne, PG 40,936). Ἡ παρατήρησις αὕτη δικαιολογεῖ καὶ τὴν σειρὰν τῆς χρονολογικῆς ἐμφανίσεως τῶν ἔργων τοῦ Σαραπίωνος. Πρῶτον ἔρχεται τὸ «Κατὰ Μανιχαίων», ὕστερον ἡ δογματικὴ ἐπιστολὴ «περὶ Πατρὸς καὶ Υἱοῦ», ἀκολουθοῦν αἱ 4 ἐπιστολαὶ «περὶ Ἁγ. Πνεύματος» τοῦ Μ. Ἀθανασίου πρὸς τὸν Σαραπίωνα καὶ τελευταία ἔρχεται ἡ «πρὸς τοὺς Αἰγυπτίους μοναχοὺς» ἐπιστολὴ τοῦ Σαραπίωνος. Παρατηρητέον, ὅτι ἐν τῷ ἔργῳ «Περὶ Πατρὸς καὶ Υἱοῦ» ὁ Σαραπίων χρησιμοποιεῖ πρὸς ἀπόδειξιν ἐκ τῆς Γραφῆς χωρίον ἐκ τῆς ἐπιστολῆς τοῦ Βαρνάβα (§ 2 ἐν ἀρχῇ), τὴν ὁποίαν ὁ Μ. Ἀθανάσιος εἶχεν ἀποκλείσει τοῦ Κανόνος. Τοῦτο σημαίνει ἢ ὅτι ὁ Σαραπίων ἠγνόει τὴν περὶ τοῦ Κανόνος γνώμην τοῦ Μ. Ἀθανασίου ἢ ὅτι τὸ ἔργον του συνετάχθη ἐνωρίτερον τῆς ἀποφάνσεως τοῦ Μ. Ἀθανασίου περὶ τοῦ Κανόνος, οὐχὶ δ' ὅτι ἡ ἐπίδρασις τοῦ Μ. Ἀθανασίου εἰς τοὺς ἐπισκόπους τῆς Αἰγύπτου ἦτο δῆθεν μικρά, ὥς τινες εἴκασαν (Dörries).

δ') Εὐχάριστον ἔκπληξιν προεκάλεσεν ἡ ἀνακάλυψις μιᾶς ἐπιστολῆς τοῦ Σαραπίωνος ὑπὸ τοῦ R. Draguet (Une lettre de S. de Thmuis aux disciples d' Antoine. Le Muséon, Rev. d' ét. orient. LXIV, Louvain 1951, 1-25). Δύο συριακὰ (6 καὶ 8 αἰ.) καὶ δύο ἀρμενικὰ χφφ. (12 καὶ 13 αἰ.) ἀνεξαρτήτου προελεύσεως ἕκαστον, παραδίδουν τὴν μετάφρασιν μιᾶς ἐπιστολῆς γραφείσης ὑπὸ τοῦ Σαραπίωνος εὐθὺς μετὰ τὸν θάνατον τοῦ Μ. Ἀντωνίου. Ἡ ἐπιστολὴ ἐπιβεβαιοῖ τὸ ἔτος τοῦ θανάτου τοῦ μεγάλου ἀναχωρητοῦ Ἀντωνίου, ἤτοι τὸ 356. Ὁ Draguet ἐκδίδει τὸ κείμενον εἰς ἀμφοτέρας τὰς γλώσσας, συριακὴν καὶ ἀρμενικήν, προστιθεὶς καὶ λατινικὴν μετάφρασιν. Αἱ πρὸς τὸ πρωτότυπον διαφοραὶ ἀμφοτέρων τῶν μεταφράσεων εἶναι μικραί. Ἀμφότεραι αἱ μεταφράσεις ὀνομάζουσι τὸν Σαραπίωνα ὡς συντάκτην τῆς ἐπι-

στολῆς. Ἐν αὐτῇ «θρηνεῖ» ὁ Σαραπίων διὰ τὸν θάνατον τοῦ ἁγίου Πατρός. Διὰ τοῦ θανάτου αὐτοῦ ἅπαξάπαντες οἱ μοναχοὶ ἀπέβησαν «διάδοχοι» αὐτοῦ. Ἐνταῦθα διὰ πρώτην φοράν, μάλιστα καὶ πρὸ τῆς συντάξεως τοῦ «Βίου Ἀντωνίου τοῦ μεγάλου» ὑπὸ τοῦ Μ. Ἀθανασίου, ἀνακηρύσσονται πάντες οἱ μοναχοὶ «μαθηταὶ» τοῦ Μ. Ἀντωνίου: Ὅ,τι ἐκεῖνος «μόνος» ἔπραττε, ὤφειλον νῦν κοινῇ πάντες οἱ μοναχοὶ νὰ πράττωσιν. Ἐν τέλει ὁ Σαραπίων ἐπισημαίνει τὴν δυσχερῆ θέσιν τῆς Ἐκκλησίας τῆς Ἀλεξανδρείας, τὴν ἔναρξιν τῶν διωγμῶν τῶν ὀρθοδόξων ὑπὸ τῶν Ἀρειανῶν καὶ τὴν φυγὴν τούτων εἰς τὴν ἔρημον. Τὸ ὕφος καὶ ἡ ἔκθεσις τῶν ἰδεῶν ὁμοιάζουσι πρὸς τὴν ἔκθεσιν τοῦ «Κατὰ Μανιχαίων» ἔργου τοῦ Σαραπίωνος.

ε΄) Ἔκ τινος χφ. τῆς Μονῆς τῆς Grottaferrata, ἀποκειμένου νῦν ἐν τῇ Βατικανῇ Βιβλιοθήκῃ, ἐδημοσίευσεν ὁ A. Mai (class. auct. V. 364) βραχεῖαν ἐπιστολὴν τοῦ Σαραπίωνος πρὸς ἄγνωστόν τινα «Εὐδόξιον ἐπίσκοπον». Ἡ ἐπιστολὴ αὕτη ἀνετυπώθη ἐν Migne, PG 40, 924/5. Πρόκειται περὶ θαυμασίας παραμυθητικῆς ἐπιστολῆς πρὸς ἀδελφὸν ἀσθενήσαντα καὶ παθόντα (ἆρά γε διωχθέντα καὶ «ὁμολογητὴν» καταστάντα;), ἤτοι τὸν ἐπίσκοπον Εὐδόξιον. Γράφει ὁ Σαραπίων: «Μὴ ἀθύμει πάσχων, ἀλλ' εὐθύμει πιστεύων, καὶ μὴ κατάπιπτε νοσῶν, ἀλλ' εὐτόνει μὴ ἁμαρτάνων»· καὶ κατωτέρω· «τοῦ βίου τὰς συγχύσεις φέρειν δεῖ, καὶ τοὺς θορύβους βαστάζειν προσήκει, καὶ πρὸς τὸ τέλος βλέπειν, καὶ εἰδέναι, ὅτι ὁ Θεὸς ἐπιστατεῖ, καὶ ὀλίγον ἐπανείς, πάλιν ἡγεμονεύει· καὶ ὀλίγον συγχωρῶν, πάλιν προΐσταται, καὶ οὐδέποτε ἡ Ἐκκλησία καταλιμπάνεται· οὐδὲ γὰρ πύλαι ᾅδου κατισχύουσιν αὐτῆς».

ϛ΄) Τὴν ἐκτενεστέραν πασῶν τῶν ἐπιστολῶν τοῦ Σαραπίωνος ἐξέδωκεν ὁ A. Mai (Spicilegium Romanum IV, XLI ἑ.) ἐκ τοῦ κώδικος Vatic. Gr. 439 (11 αἰ.). Ἀνετυπώθη ἐν Migne, PG 40,925/41. Φέρει τὴν ἐπιγραφὴν «Πρὸς μονάζοντας». Θαυμάσιον πράγματι «Ἐγκώμιον» τοῦ μοναχικοῦ βίου καὶ μακαρισμὸς τῶν ἐπιλεξαμένων τοῦτον. Ἐν § 13 (40, 940A/B) μνημονεύεται τὸ ἔργον τοῦ Μ. Ἀθανασίου «Βίος Ἀντωνίου τοῦ μεγάλου». «Ἐξ ὑμῶν ἀββᾶ Ἀντώνιος δι' ἀκρότατον βίον γενόμενος, οὗ καὶ ὁ βίος ἔγγραπτος παρ' ὑμῖν διασῴζεται». Ἀποδεικνύει ἡ φράσις δύο τινά· πρῶτον ὅτι ἡ ἐπιστολὴ αὕτη ἐγράφη μετὰ τὸ περὶ Μ. Ἀντωνίου ἔργον τοῦ Μ. Ἀθανασίου καὶ δεύτερον ὅτι ὁ Μ. Ἀθανάσιος ἀπέστειλε τὸ ἔργον τοῦτο καὶ εἰς τοὺς μοναχοὺς καὶ εἰς τὸν Σαραπίωνα, ἐξ οὗ καὶ πολλὰς ἤντλησεν ἰδέας ὁ Σαραπίων.

4. Ἑρμηνευτικὰ σχόλια εἰς τὴν Γένεσιν (μόνον μέχρι τοῦ κ. 3,16). Εἰς τὰς Σειρὰς τῆς ἑρμηνείας τῆς Ὀκτατεύχου καὶ μάλιστα τοῦ τύπου III (κατὰ τὴν ἔκδοσιν τῶν Karo-Lietz-

mann) ἀναφέρεται τὸ ὄνομα τοῦ Σαραπίωνος ὡς ἑρμηνευτοῦ τῶν τριῶν πρώτων κεφ. τῆς Γενέσεως. (Cod. Vatic. Gr. 746, 747, 748). Ὁ R. Devreesse συντάξας τὸν Κατάλογον τῆς Βατικανῆς Βιβλιοθήκης, ἐδημοσίευσε ἐν Rev. Bibl. XLIV (1935) 181 ἐκ τοῦ κώδ. Barb. Gr. 569 (16 αἰ.) τρία σχόλια ἑρμηνευτικὰ φέροντα τὸ ὄνομα τοῦ Σαραπίωνος, ἀλλ' οὐχὶ ἐν τῇ 6ῃ Ὁμιλίᾳ τοῦ Σεβηριανοῦ Γαβάλων (Migne, PG 56, 491/6), ἀλλ' ἐν τοῖς σχολίοις τοῦ Προκοπίου Γαζαίου εἰς τὴν Γένεσιν (Migne, PG 87, 194-201). Εἶτα ἐγένοντο γνωστὰ ἕτερα πέντε σχόλια ἑρμηνευτικὰ εἰς τὴν Γένεσιν, φέροντα τὸ ὄνομα τοῦ Σαραπίωνος (Πρβλ. τὸ ἄρθρ. Chaînes exégétiques, ἐν Dict. de la Bible, Suppl. I (1928) 1109/11). Ἀλλ' ἡ γνησιότης αὐτῶν ἀμφισβητεῖται, ἐπὶ τῷ λόγῳ τῆς δυνατῆς μεταλλαγῆς τῶν ὀνομάτων «Σεραπίων» καὶ «Σεβηριανός». Ἰδιαιτέρως ἀμφισβητεῖται ἡ γνησιότης τῶν ἑρμην. σχολίων Γεν. 3,6 καὶ 16. Ἀντιθέτως, τρία σχόλια ἀπαντῶντα παρὰ τῷ Προκοπίῳ τῷ Γαζαίῳ θεωροῦνται ὡς προερχόμενα ἐξ ἔργου τοῦ Σαραπίωνος. Ὁ Προκόπιος ἐσφαλμένως ἐσημείωσεν ἓν σχόλιον τοῦ Σεβηριανοῦ, ὡς ἀνῆκον εἰς τὸν Σαραπίωνα (Migne, PG 56, 494) εἰς Γεν. 3,14 (Migne, PG 87, 201B/C). Τρία ἕτερα σχόλια γνήσια τοῦ Σαραπίωνος δὲν εἶναι ἀπίθανον νὰ παρεισέφρυσαν εἰς τὸ κείμενον τοῦ Προκοπίου, ἄνευ τῆς μνείας τοῦ ὀνόματος τοῦ Σαραπίωνος. Ἀλλ' οὐδεμία ἀμφιβολία περὶ τῆς γνησιότητος τῶν ἐν ταῖς Σειραῖς σχολίων εἰς Γεν. 1,1. 1,26 καὶ 3,15 δύναται νὰ ἐγερθῇ. Μάλιστα εἰς τὸ σχόλιον Γεν. 1,26 ἐν κώδ. Barb. Gr. 568, φύλ. 29ν ῥητῶς δηλοῦται: «Σεραπίωνος τοῦ ἐπισκόπου ἐκ τῆς ἑξαημέρου». Ὡς πρὸς τὸ σχόλιον Γεν. 3,16 οὐδεμία μνεία ἐξ ἔργων τοῦ Σαραπίωνος γίνεται. Πάντως δὲν εἶναι δυνατὸν μετὰ βεβαιότητος νὰ λεχθῇ ἂν πρόκειται περὶ ἰδιαιτέρου ἔργου ἑρμηνευτικῶν σχολίων εἰς τὴν Γένεσιν ἢ ἁπλῶς περὶ σχολίων εἰλημμένων εἴτε ἐκ τῶν ἐπιστολῶν εἴτε καὶ ἐξ Ὁμιλιῶν τοῦ Σαραπίωνος ὑπὸ τῶν σχολιαστῶν τοῦ βιβλίου τῆς Γενέσεως ἢ ὑπὸ τῶν συντακτῶν τῆς ἑρμηνευτικῆς Σειρᾶς εἰς τὴν Γένεσιν.

5. Εὐχολόγιον. Τὸ ἀνυπολογίστου σπουδαιότητος τοῦτο ἔργον τοῦ Σαραπίωνος, παρεδόθη εἰς ἡμᾶς διὰ τοῦ μοναδικοῦ χφ. τῆς ἐν Ἄθωνι Μονῆς τῆς Μεγίστης Λαύρας 149 (11 αἰ.) πλῆρες. Τὴν πρώτην, μὴ πλήρη ἔκδοσιν ἐδημοσίευσαν ἀνεξαρτήτως ἀλλήλων οἱ ἑξῆς: α') A. Dimitriewskij, ἐν τοῖς Πρακτικοῖς τῆς Ἀκαδημίας τοῦ Κιέβου τοῦ 1894 (Πρβλ. Ed. Kurtz, Byz. Zeitschr. 8 (1898) 645). β') A. Paulov, ἐν τοῖς «Βυζαντινοῖς Χρονικοῖς» I (1894) 207/13) καὶ γ') G. Wobbermin, Altchristliche liturgische Stücke aus der Kirche Ägyptens nebst einem dogmatischen

Brief des Bischofs Serapion von Thmuis, TU XVII 3b, Leipzig 1898. Ἀλλ' οὐσιώδεις διορθώσεις ἐπήνεγκον αἱ νεώτεραι ἐκδόσεις τοῦ ἔργου ὑπὸ τῶν: α') F. E. B r i g h t m a n, *The Sacramentary of S. of Thmuis*, Journ. of Theol. Stud. I (1899/1900) 88-113 καὶ 247-277. β') F. X. F u n k, *Didask. et constit. apost.* II (1905) 158 ἑ. καὶ γ') J. Q u a s t e n, *Monumenta eucharistica et liturgica vetustissima*, Florilegium patristicum VII 1/2 (1935) 48-57. (Ἔκδοσις μόνον τῶν εὐχῶν 1-6 καὶ 19-30). Ἐκ τῆς πλουσίας βιβλιογραφίας περὶ τοῦ κειμένου μνημονευτέα ἰδιαιτέρως τὰ ἔργα: α') A. B a u m s t a r k, *Die Anaphora von Thmuis und ihre Überarbeitung durch den hl. Sar.*, Röm. Quartalschr. XVIII (1904) 123 ἑ. β') T h. S c h e r m a n n, *Ägyptische Abendmahlsliturgien*, Stud. z. Gesch. und Kultur des Altertums VI 1/2, Paderborn 1912 σ. 100 ἑ. γ') Πλήρη βιβλιογραφίαν ὅρα ἐν: *Dictionnaire d' archéologie chrétienne et de liturgie* ἐν λ. Messe 11, Paris 1933, 606/12 ὑπὸ H. L e c l e r c q. δ') Π α ν. Ν. Τ ρ ε μ π έ λ α, *Λειτουργικοὶ τύποι Αἰγύπτου καὶ Ἀνατολῆς*. Ἐν Ἀθήναις 1961 (Ἔκδοσις τῆς Ἀποστ. Διακον. τῆς Ἐκκλ. τῆς Ἑλλάδος) σσ. 15/7, 24-27, 29-34, 43-45 κ. ἀ. καὶ ε') P a n t. E. R o d o p o u l o s, *The Sacramentary of Serapion*, Thessaloniki 1967 (ἐν τέλει σ. 116-135 τὸ κείμενον).

Θαυμασίαν ἀ ν ά λ υ σ ι ν τ ο ῦ Ε ὐ χ ο λ ο γ ί ο υ τ ο ῦ Σ α ρ α π ί ω ν ο ς μετὰ κριτικῶν παρατηρήσεων περὶ τοῦ χρόνου τῆς συντάξεως, τοῦ συγγραφέως, τοῦ περιεχομένου, τῆς ὀρθῆς κατατάξεως τῶν εὐχῶν κλπ. παρέσχεν ὁ Καθηγητὴς Π α ν. Ν. Τ ρ ε μ π έ λ α ς ἐν σσ. 15-43 τοῦ ἀνωτέρω μνημονευθέντος ἔργου του. Ὁμοίως καὶ ὁ Καθηγητὴς Π α ν τ. Ε. Ρ ο δ ό π ο υ λ ο ς ἐν τῇ εἰδικῇ ἐξαιρέτῳ μελέτῃ αὐτοῦ, τῇ ἀνωτέρω μνημονευθείσῃ. Θὰ ἦτο λοιπὸν πλεονασμὸς νὰ ἐπαναλάβωμεν τὰ ὅσα οἱ ἀνωτέρω ἐπιστήμονες διέλαβον περὶ τοῦ σπουδαιοτάτου τούτου ἔργου τοῦ Σ α ρ α π ί ω ν ο ς, ἤτοι τοῦ «Ε ὐ χ ο λ ο γ ί ο υ», ὅπερ εἰσάγει ἡμᾶς εἰς τὴν λειτουργικὴν καὶ τελετουργικὴν πρᾶξιν τῆς ἀρχαίας Ἐκκλησίας, οὐ μόνον τῆς Αἰγύπτου, ἀλλὰ καὶ τῆς καθόλου Ἐκκλησίας, ἐφ' ὅσον ἐμμέσως ὑποσημαίνει τὰ στάδια τὰ ἐξελικτικὰ ἐν τῇ θείᾳ Λατρείᾳ τῆς χριστιανικῆς Ἐκκλησίας. Λεχθήτωσαν μόνον περιληπτικῶς τὰ ἑξῆς. Τὸ ἔργον περιλαμβάνει 30 Εὐχάς, ἀναφερομένας εἰς τὴν θ. Λειτουργίαν (18 ἐν συνόλῳ), τὸ Βάπτισμα καὶ τὸ Χρῖσμα (7), τὴν Χειροτονίαν (3), τὸ Εὐχέλαιον (1) καὶ τὴν Νεκρώσιμον Ἀκολουθίαν (1). Διίστανται αἱ γνῶμαι ἂν τὸ ἔργον ἐν τῷ συνόλῳ ἀποτελεῖ ἔμπνευσιν τοῦ Σ α ρ α π ί ω ν ο ς ἢ ἐν μέρει μόνον διὰ τῆς προσθήκης ὑπ' αὐτοῦ προγενεστέρων ἐκκλησιαστικῶν Εὐχῶν ἢ εἶναι σύνθεσις μεταγενεστέρου, προστιθέντος πλὴν τῶν Εὐχῶν τοῦ Σ α ρ α π ί ω ν ο ς καὶ ἑτέρας προϋπαρχούσας

Εὐχάς. Ἡ ἀνομοιότης τοῦ ὕφους τῶν Εὐχῶν ἔδωκεν ἀφορμὴν εἰς τὴν ἀμφισβήτησιν τῆς συντάξεως τοῦ «Εὐχολογίου» ὑφ' ἑνὸς καὶ τοῦ αὐτοῦ συγγραφέως. Ὀρθὴ φαίνεται ἡ γνώμη τοῦ Καθηγητοῦ Π. Τρεμπέλα, μν. ἔ. σ. 17, καθ' ἣν «δὲν θὰ ἀφίστατό τις τῆς ἀληθείας δεχόμενος, ὅτι ὁ Σαραπίων δὲν συνέταξεν ἐξ ὁλοκλήρου τὰς ἀποτελούσας τὴν συλλογὴν αὐτοῦ εὐχάς, ἀλλ' εἰργάσθη ἐπὶ προϋπάρχοντος ἐν χρήσει λειτουργικῇ ὑλικοῦ, ἀναθεωρήσας τοῦτο καὶ προσδώσας εἰς αὐτὸ μορφὴν καὶ περιεχόμενον καὶ πρὸς τὴν ἀναπτυχθεῖσαν ἀντιαρειανικὴν διδασκαλίαν σύμφωνον». Ὡς χρόνον συντάξεως τῆς συλλογῆς δεχόμεθα μετὰ τοῦ Καθηγητοῦ Π. Τρεμπέλα, ὡς ὀρθοτέραν τὴν γνώμην τοῦ Dix, ἤτοι πρὸ τοῦ 350. — Περὶ τῆς ἐν τέλει ἐπιστολιμαίας διατριβῆς «Περὶ Πατρὸς καὶ Υἱοῦ» εἴπομεν ἀνωτέρω τὰ δέοντα. Ἐλέχθησαν ἐπίσης ἀνωτέρω καὶ ἐν τῷ οἰκείῳ τόπῳ τὰ ξενίζοντα σημεῖα τῆς περὶ Ἁγίου Πνεύματος διδασκαλίας τοῦ Σαραπίωνος. Ἐπίσης διὰ τὴν μὴ χρῆσιν ὑπ' αὐτοῦ τοῦ ὅρου «ὁμοούσιος» καὶ διὰ τὸ Ἅγιον Πνεῦμα.

Σημεῖα τῆς διδασκαλίας τοῦ Σαραπίωνος ἐπεσημάναμεν ἤδη ἀνωτέρω. Ἐκ τῶν ὀλίγων σχετικῶς ἔργων, ἅτινα διεσώθησαν, θὰ ἦτο ἀκροσφαλὲς νὰ ἐκθέσωμεν πλῆρες σύστημα θεολογικῶν, ἐκκλησιαστικῶν, φιλοσοφικῶν, ἀνθρωπολογικῶν, μοναχικοῦ βίου καὶ κοινωνικῶν ἰδεῶν καὶ ἀντιλήψεων τοῦ Σαραπίωνος. Οὗτος ἔζησεν ἐν τῷ μεταιχμίῳ δύο μεγάλων ἐξελικτικῶν περιόδων διὰ τὴν χριστιανικὴν Ἐκκλησίαν, ἤτοι τὰ τέλη τῆς πρώτης Περιόδου τῆς ἐκκλησ. Ἱστορίας καὶ Γραμματείας, (ἀπὸ τῶν ἀπαρχῶν μέχρι τῆς Α' Οἰκουμ. Συνόδου τὸ 325 καὶ μικρὸν ὕστερον) καὶ τὴν ἀρχὴν τοῦ δευτέρου ἡμίσεος τοῦ Δ' αἰῶνος τοῦ μεστοῦ σφρίγους, δράσεως, ἀλλὰ καὶ ἀγώνων καὶ ἐσωτερικῶν ἰδεολογικῶν καὶ θεολογικοφιλοσοφικῶν ἀντιθέσεων καὶ διαμαχῶν. Εἶναι ἑπομένως καὶ ὁ Σαραπίων τέκνον τῆς ἐποχῆς του. Φέρει ἴχνη ὠριγενιστικῆς σοφιολογίας. Διστάζει νὰ δεχθῇ τὸν ὅρον «ὁμοούσιος» καὶ ἀμφιταλαντεύεται ν' ἀναγνωρίσῃ τὴν ἰσότητα τοῦ Ἁγίου Πνεύματος μετὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Φαίνεται ἀποδεχόμενος τὴν ὠριγενιστικὴν ἀντίληψιν περὶ ᾅδου, ὅτι οὐχὶ τιμωρίας, ἀλλὰ θεραπείας τόπος διὰ τοὺς ἁμαρτωλοὺς εἶναι (Κατὰ Μανιχαίων 30,9). Δὲν παύει πάντως ὁ Σαραπίων ν' ἀποτελῇ μορφὴν ἐξέχουσαν καὶ πεφωτισμένην, μὲ πίστιν βαθεῖαν εἰς τὸν σαρκωθέντα Υἱὸν καὶ Λόγον τοῦ Θεοῦ, μὲ ἰδανικὰ πνευματικῆς τελειώσεως δι' αὐστηροῦ ἀσκητικοῦ βίου καὶ μὲ μυστικίζουσαν διάθεσιν τῆς διὰ τῶν Μυστηρίων τῆς Ἐκκλησίας ἑνώσεως τῆς ψυχῆς μετὰ τοῦ Θείου, ἐν τῷ παρόντι μὲν βίῳ διὰ τῆς πίστεως, ἐλπίδος καὶ ἀγάπης, ἅμα δὲ καὶ τῆς ὑπομονῆς καὶ ἀπαθείας, ἐν δὲ τοῖς ἐσχάτοις διὰ τῆς μεθέξεως καὶ ὀντολογικῆς ἑνώσεως μετὰ τοῦ Χριστοῦ καὶ τῆς δι' αὐτῆς ἐπιτεύξεως τῆς ἀιδίου μακαριότητος.

Ὁ Σαραπίων ὑπῆρξεν ἅγιος ἐν κυριολεξίᾳ. Ἀλλ' ἡ σκοπιμότης τῆς σκληρῶς κατὰ τῶν αἱρέσεων ἀγωνιζομένης Ἐκκλησίας ἠνάγκασεν αὐτὴν νὰ τηρήσῃ στάσιν ἐφεκτικήν, ὥστε ν' ἀποφύγῃ τὴν ἐπίσημον ἀναγνώρισιν αὐτοῦ ὡς ἁγίου, λόγῳ ἴσως τῶν ὠριγενιστικῶν αὐτοῦ ἀντιλήψεων, ἂν καὶ μὴ δεδηλωμένος ὀπαδὸς τούτου. Οἱ ἱστορικοὶ εὐφήμως ὡμίλησαν περὶ Σαραπίωνος. Ἐκλήθη «μέγας» καὶ ἐθεωρήθη «ἄγγελος» τῆς Ἐκκλησίας. Καὶ ὑπῆρξε πράγματι!

ΒΙΒΛΙΟΓΡΑΦΙΑ

Ἀνωτέρω ἐσημειώσαμεν ἐν τῷ οἰκείῳ τόπῳ τήν τε γενικὴν καὶ τὴν εἰδικὴν βιβλιογραφίαν. Συγκεντρωμένην εὑρίσκει τις ταύτην ἐν τοῖς Θεολογικοῖς Λεξικοῖς καὶ ταῖς Πατρολογίαις καὶ ἰδίᾳ ἐν Joh. Quasten, Patrology. Utrecht-Antwerp 1960, III, 82-85. Ὅρα ἐπίσης ἐκτενῆ βιβλιογρ. ἐν τῷ ἀξιολόγῳ ἄρθρῳ τοῦ συναδέλφου Παν. Χρήστου, ἐν Θρησκευτικῇ καὶ Ἠθικῇ Ἐγκυκλοπαιδείᾳ. Ἀθῆναι 1967, ἐκδ. Ἀθ. Μαρτίνου, τόμ. 11, 48-51 ἐν ἄρθρ. «Σεραπίων». — Προστεθήτωσαν καὶ αἱ ἑξῆς μελέται: G. Bardy, Dictionn. de Theol. Cathol. 14 (1941) 1908. H. Dörries, Pauly-Wissowa-Krolls, RE f. Altert. Wiss. 8 (1956) 126/7. — Μετάφρασιν εἰς τὴν ἀγγλικὴν τοῦ Εὐχολογίου ἐδημοσίευσεν ὁ J. Wordsworth, Bishop Serapion's Prayer-book. An Egyptian Sacramentary dated probably about A. D. 350-356, translated from the edition of G. Wobbermin (Society for Promoting Christian Knowledge, London 1899, δευτέρα ἀναθεωρημένη ἔκδ. τὸ 1923). Γερμανικὴ μετάφρ. ὑπὸ R. Storf, Bibliothek der Kirchenväter ἔκδ. 2α 5 (1912) 135-157. P. Batiffol, L' Eucharistie. La présence réelle et la transsubstantiation (Études d' hist. et de théologie positive sér. 2,9e éd. Paris 1930 σ. 311/17). B. Capelle, L' anaphora de Sérapion. Essai d' exégèse. Mus. 49 (1946) 425/43. G. Dix, The Shape of the Liturgy. 4th impr. Westminster 1949 σ. 162-172. Τὸ κακῶς εἰς τὸν Σαραπίωνα ἀποδιδόμενον ἔργον «Βίος Ἰωάννου τοῦ Βαπτιστοῦ» ἐξεδόθη μετ' ἀγγλικῆς μεταφράσεως ὑπὸ τοῦ A. Mingana, Bulletin of the John Rylands Library 11 (1927) 342/9. 438/91. Ἀνετυπώθη ἐν: Woodbrooke Studies I. Cambridge 1927 σ. 234-287, πρβλ. καὶ σ. 138-145. Γερμανικὴ μετάφρ. ὑπὸ R. Boos, Goetheanum 6 (1927) 318/20.

Κωνσταντῖνος Γ. Μπόνης, Δρ. Θ. καὶ Φ.
Ὁμότιμος Καθηγητὴς τοῦ Πανεπιστημίου Ἀθηνῶν

ΣΑΡΑΠΙΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ ΘΜΟΥΕΩΣ

ΚΑΤΑ ΜΑΝΙΧΑΙΩΝ*

29 Α΄. Ἐπιλύει τὴν πλάνην ἡ ἀλήθεια καὶ ἀναιρεῖ τὴν ἀπάτην, καὶ πᾶν ψεῦδος προελθεῖν οὐκ ἐᾷ. Ἱκετεύσωμεν τὸν Κύριον Ἰησοῦν, ἀλήθειαν ὄντα, ἐκλάμψαι τῇ διανοίᾳ ἡμῶν, ἵνα μήτε τὴν διάνοιαν αἱρῆσαι ἀπάτη δυνηθῇ ἢ κρατῆσαι πλάνη ἰσχύσῃ, μήτε ᾑρηκυῖα καὶ κεκρατηκυῖα ἔμμονον τὴν κράτησιν ἔχῃ. Μόνον γὰρ φανεὶς καὶ τὰς ἀκτῖνας τῆς ἀληθείας ἑαυτοῦ ἐκλάμψας ἀποσκεδάσει μὲν τὴν γενομένην ἀπάτην, ἀνεξαπάτητον δὲ διατηρήσει τὴν διάνοιαν. Αὐτὸς γὰρ βοᾷ· «ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή»[1], αὐτὸς παραγγέλλει· «προσέχετε ἑαυτοῖς ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες»[2]. Ἐπειδὴ γὰρ ἐκείνων πεφενακισμένος ἦν ὁ τρόπος καὶ πεπλασμένον τὸ ἦθος, οὐκ ἐσιώπησεν ἡ ἀλήθεια, ἀλλ᾽ ἐγύμνωσε, τὸ ἀφανὲς τῆς διανοίας καλύπτεσθαι ὑπὸ τοῦ πεπλασμένου καὶ ἐσχηματισμένου μὴ ἐπιτρέψασα, ἵνα κατάφωρος γενομένη αὐτῶν ἡ ἀπάτη ἀσθενὴς γένηται ἐν ταῖς ἐπιχειρήσεσι, μηδένα συλλαμβάνειν δυναμένη.

Β΄. Ἔστι μὲν οὖν ἡ κακία πολυειδὴς καὶ πολυσχεδής, κατὰ διαφόρους ἡπλωμένη τὰς ἐπιχειρήσεις, ἔνια τῶν ἑαυτῆς μερῶν βλαπτικώτερα καὶ ἀναιρετικώτερα ἔχουσα. Διὰ τοῦτο οὐδὲ τὰ ἧττονα σιωπητέον οὐδὲ τῶν μειζόνων ἀφεκτέον, εἰδότας τοῦτο, ὅτι τὰ μὲν ἐλάττονα μόρια τῆς κακίας βραχυτέρας ποιεῖται τὰς βλάβας, τὰ δὲ μείζονα μεγάλας. Ὁ γὰρ μείζοσι σφαλεὶς μείζω καὶ τιμωρεῖται, καὶ ὁ ὑπὸ μείζονος ἠπατημένος μείζονα καὶ κολάζεται. Μετροῦνται γὰρ αἱ ἀπάται, μετρεῖται δὲ καὶ τὰ πλημμελήματα καὶ σταθμιζόμενα παρὰ τοῦ δικάζοντος σταθμῷ καὶ τὴν τιμωρίαν ἀπαιτεῖται. Ὁ γὰρ εἰρηκώς· «τίς ἐμέτρησε τὸν οὐρανὸν σπιθαμῇ καὶ τὴν γῆν δρακί, τίς ἔστησε τὰ ὄρη σταθμῷ καὶ τὰς νάπας ζυγῷ»[3]; Οὐδὲν ἀστάθμητον ἐᾷ, ἀλλὰ καὶ τὴν ἑκάστου τοῦ ἠπατηκότος ἀπάτην καὶ τοῦ ἠπατημένου τὴν εὐκολίαν μετρήσας ὁρίζει τὴν τιμωρίαν. Σπουδαστέον οὖν μήτε τῷ βραχυτάτῳ αἱρεῖσθαι· καὶ γὰρ ἡ βραχυτάτη ἀπάτη **30** σπινθῆρος δίκην ὕλην παραλαβοῦσα τὴν συγκατάθεσιν τῆς ψυχῆς ἐξάπτει καὶ μεγάλην τὴν φλόγα κατασκευάζει· πολλοὶ γὰρ ἐξ ὀλίγης ἀπάτης ἀρξάμενοι εἰς πέλαγος ἀπάτης ἐξεχύθησαν.

---

* Κατὰ τὴν ἔκδοσιν R. P. Casey, Serapion of Thmuis against the Manichees. Harvard Theological Studies. Cambridge (Mass.), 1931.

1. Ἰω. 14,6. 2. Ματθ. 7,15. 3. Ἡσ. 40,12.

Γ'. Διὰ τοῦτο φροντιστέον μήτε τῇ βραχυτάτῃ ἀπάτῃ αἱρεῖσθαι τειχίον τῇ ψυχῇ κάλλιστον οἰκοδομοῦντας, ἵνα μήτε τῷ μείζονι αἱρεθῶμεν· ὁ γὰρ περὶ τὰ βραχύτατα σφαλεὶς πταίσει ποτὲ καὶ περὶ τὰ μείζονα, καὶ ὁ μηδενὶ τῶν μικρῶν αἱρεθεὶς ἀναντίρρητον τὴν ἀσφάλειαν καὶ [τὴν] περὶ τὰ μείζονα σχήσει. Ἐπεὶ οὖν προῆλθον λύκοι πολλοὶ κώδια προβάτων ἠμφιεσμένοι[1], ἡ ποιμενικὴ ἐπιστήμη μὴ σιωπάτω, ἀλλ' ἀμύνουσα τοῖς θρέμμασι καὶ ὑπερμαχοῦσα τῆς ἀγέλης τοῦ λόγου τὴν μάχαιραν σειέτω, ἀσφάλειαν μνωμένη τῇ ποίμνῃ, γυμνοῦσα δὲ καὶ τὴν ἐπιχείρησιν τῶν θηρίων. Ἰδοὺ γὰρ πολλοὶ μέν εἰσιν οἱ προελθόντες καὶ ὧδε κἀκεῖ πλάζονται, ἀντὶ κωδίων τὸ ὄνομα τοῦ Χριστοῦ περιβεβλημένοι καὶ λεγόμενοι μὲν ὃ μή εἰσιν, ὄντες δὲ ὃ λέγεσθαι οὐκ ἀνέχονται, ἀλλὰ τὴν οἰκείαν πονηρίαν καλύπτοντες τῷ σχήματι τοῦ ὀνόματος καὶ κοινωνοῦντες μὲν τῷ ὀνόματι, ἄρδην δὲ διαφθεῖραι τὸ ὄνομα τοῦ Χριστοῦ ἐσπουδακότες κατὰ μὲν τοῦ Ἰησοῦ στρατευόμενοι, Ἰησοῦν δὲ ἐπικεκλημένοι. Αὕτη γάρ ἐστιν ἡ χαλεπωτάτη πονηρία, ὅτι λέγονται τὸ ὄνομα τοῦ Χριστοῦ, Χριστὸν πολεμοῦντες· ἐπεὶ γὰρ ἠτόνησεν ἡ πονηρία πολεμεῖν πρὸς τὸν Θεόν, κέχρηται τῷ ὀνόματι, ἵνα τῇ χρήσει τοῦ ὀνόματος οἴησιν ἐμποιήσασα τοῖς ἄφροσιν, ὡς οἰκεία τοῦ Χριστοῦ, ὧδε κἀκεῖ, ὡς βούλεται, λυμήνηται τοὺς τῷ Σωτῆρι πεπιστευκότας. Ὧδε μὲν Οὐαλεντῖνος προῆλθεν, ὧδε δὲ Μαρκίων, ὧδε δὲ Σιτιανός, ἄλλοθεν δὲ καὶ Ὀφάνιος· τελευταῖον δὲ ἔκτρωμα τῆς πονηρίας πάσας τὰς τῶν ἄλλων πονηρίας ἐλαττώσασα καὶ μείζονι πονηρίᾳ τὰς τῶν ἄλλων πονηρίας δευτέρας ἀποδείξασα ἡ τοῦ Μανιχαίου προῆλθε μανία. Καὶ ἐν μὲν τοῖς προφητικοῖς γέγραπται· «διὰ τὸ πάνυ ἠμεληκέναι τὴν Ἱερουσαλὴμ ἐδικαιώθη Σόδομα ἐκ σοῦ»[2] ἄρτι δὲ πολλαὶ μὲν ἄτοποι δόξαι πεπλανημέναι οὖσαι καὶ τῷ μεγέθει τῆς τῶν Μανιχαίων κακοδοξίας συμμεμέτρηνται, πελάγει κακίας κατακεκλυσμέναι.

31 Δ'. Καὶ ἵνα μὴ ὡς ἔτυχεν ἐπιχειρῶμεν τοῖς ἀτόποις μήτε μόνα τὰ ὀνόματα αὐτῶν λέγοντες δόξωμεν δίχα ἀποδείξεως ἐπὶ τὰς αἰτίας αὐτῶν χωρεῖν, φέρε ἐπὶ τὸν ἀποδεικτικὸν χωρήσωμεν λόγον, ἵνα καὶ τὰς ἐκείνων πλάνας λύσωμεν καὶ τὴν ἀλήθειαν εἰς μέσον προαγάγωμεν. Ἔστι μὲν οὖν ἡ κακία ἀνούσιος καὶ ἀνυπόστατος, πρᾶξις μᾶλλον ἢ οὐσία οὖσα, καὶ πρᾶξις ἐκ προαιρέσεως συμβαίνουσα περὶ τοὺς νενοσηκότας τὴν προαίρεσιν, καὶ πρᾶξις συμβεβηκυῖα μέν, ῥᾳδίως δὲ χωριζομένη ἀπὸ τῶν νενοσηκότων. Εἰ δὲ συμβεβήκει μέν, οὐκέτι δ' ἐχωρίζετο, ἦν εἰπεῖν, ὅτι καθ' ἑαυτὴν μὲν οὐκ ἔστι κακία, οὐδέποτε δὲ δύναται οὐσία ἄνευ κακίας εἶναι. Εἰ δὲ ἐκ συμβεβηκότος τὴν προαίρεσιν ἔσχε, ῥᾳδίως δὲ χωρίζεται, ὡς πάλιν τὸ ὑποκείμενον καθαρὸν ἀποδοθῆναι καὶ μήτε σημεῖα κακίας ἔχειν, ἔσται ἡ κακία οὔτε καθ' ἑαυτὴν οὐδὲν οὔτε εἶναι δυναμένη οὔτε ἀεὶ οὖσα,

1. Πρβλ. Ματθ. 7,15. 2. Πρβλ. Ἰεζ. 16,52.

ἀλλ' ἀφανιζομένη καὶ ἐλεγχομένη τῷ ἀφανισμῷ, καὶ μὴ εἶναι δυναμένη, οὐκ οὖσα δέ ποτε, ἀλλ' ἔναγχος ἐκ προαιρέσεως νοσησάσης προελθοῦσα.

Ε'. Ὅτι δὲ οὐκ ἔστι καθ' ἑαυτὴν ἰδεῖν ψυχὴν οὐσιώδη καλήν, οὕτω πεφυκυῖαν καὶ οὖσαν, οὔτε σῶμα καθ' ἑαυτὸ οὐσιῶδες κακόν, μαρτυροῦσιν οἱ λόγοι καὶ αἱ πράξεις. Εἰ γὰρ ἡ σωφροσύνη μὲν ἀρετή ἐστι, τὸ δὲ σῶμα οὐσιῶδες κακόν, οὐκ ἂν οἷόν τε ἦν σῶμα σῶφρον εὑρεθῆναι, ἵνα μὴ σῶμα, οὐσίᾳ ὂν αἰσχρόν, σῶμα ἀρετῆς γένηται. Ὅταν γὰρ σωφρονῇ τὸ σῶμα, σῶμα γέγονεν ἀρετῆς καὶ σῶμά ἐστιν ἀρετῆς καὶ ἐπεὶ σῶμά ἐστιν ἀρετῆς, δύναται εἶναι καὶ ναός. Εἰ μὲν οὖν ἅπαν σῶμα πορνικὸν ἦν καὶ ἀμήχανον ἦν ἐν σώμασιν εὑρεθῆναι σωφροσύνην, τῇ οὐσίᾳ τῶν σωμάτων τὸ οὐσιῶδες κακὸν ἀποδοῦναι ἂν ἠδυνάμεθα. Εἰ δὲ ἐπὶ τοσοῦτον προῆλθε τὰ σώματα καὶ οὕτως τετίμηται καὶ τοσαύτην ἠμφίεσται σωφροσύνην, ὡς οἰκίαν εἶναι τοῦ πεποιηκότος, ὡς ταμεῖον εἶναι τοῦ Κυρίου, ὡς ἐνδημεῖν Πατέρα καὶ Υἱὸν καὶ τὴν οἴκησιν τῶν σωμάτων ἀποδέχεσθαι, πῶς οὐκ ἄτοπος καὶ γελοῖος ὁ ἐκείνων λόγος;

Ϛ'. Ἰδοὺ γὰρ ὅταν μὲν Παῦλός πη μὲν λέγῃ· «οὐκ οἴδατε, ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν»[1]; Ὁ δὲ Θεὸς διὰ τοῦ προφήτου ἐπαγγέλληται· «ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω καὶ ἔσομαι αὐτῶν Θεός»[2] καὶ πείθει τὴν διάνοιαν καὶ τοῖς σώμασι μαρτυρεῖ. Καὶ τὸ μὲν οὐσιῶδες.... ἐξωθεῖ, ἡ δὲ μελέτη τὸ πρᾶγμα ἀποδίδωσιν. Ὅταν γὰρ ἡ μελέτη τὸ ἐπιτήδειον τῆς πολιτείας ἀποδῷ, τότε ἡ τοιαύτη κατασκευὴ ἐν τοῖς σώμασιν ἀποδέδοται, ὡς δύνασθαι καὶ τὰ σώματα **32** ὑπηρετεῖν τῷ πνεύματι, ὑπηρετεῖν δὲ καὶ τῷ λόγῳ. Πῶς οὖν δύναται ἡ γλῶσσα ὑπηρετεῖν τοῖς νενοημένοις; Εἰ γὰρ τῇ οὐσίᾳ ἡ γλῶσσα κακή, ἀγαθὸς δὲ ὁ νοῦς, πῶς δύναται κοινωνεῖν τοῖς νενοημένοις εἰς φῶς τὰ νοήματα διὰ τῆς ἑρμηνείας προεξάγουσα; Ὡς γὰρ ἐκ πορνείας οὐ γεννᾶται σωφροσύνη, οὕτως οὐχ οἷόν τέ ἐστιν ἀπὸ τοῦ οὐσιώδους κακοῦ γνήσιόν τι προελθεῖν. Ὅταν οὖν ἕκαστον τῶν μελῶν ἐπισκέπτῃ, τὴν ἀκοήν, τὰς ὄψεις, τὴν γλῶτταν, τὰ ἄλλα μέλη, καὶ ἴδῃς αὐτὰ ὄργανα τῶν μαθημάτων γιγνόμενα, τότε τὸ μὲν σῶμα ἀποδέξῃ καὶ οὐ μέμψῃ, καὶ ὄψῃ αὐτὰ ποιήματα καθαρά, βδελύξῃ δὲ τὸν ἀπατεῶνα τῆς ἀληθείας ἐχθρόν.

Ζ'. Εἰ δὲ ἔνια μὲν τῶν σωμάτων ἀεὶ ἐσωφρόνει, οὐδέποτε ἐρρᾳθυμηκότα, ἔνια δὲ ἀεὶ ἐρρᾳθύμει, οὐδὲν μόριον σωφροσύνης ἀποσπασάμενα, ἦν εἰπεῖν ὅτι ἐν τοῖς σώμασι γεγένηται μερισμὸς καὶ ἔνια μὲν οὕτω, ἔνια δὲ οὕτω πέφυκε· καὶ ἠσθένει μὲν καὶ ἐν τούτῳ αὐτῶν ὁ λόγος· οὐκέτι γὰρ καθ' ὅλων σωμάτων ἐγίγνετο αὐτοῖς ὁ λόγος, εἴ γε τοιαύτῃ ὑποθέσει ἐχρῶντο, ἀλλ' ἐγίνετο πάλιν εὔκολος

---

1. Α' Κορ. 6,19. 2. Β' Κορ. 6,16. Πρβλ. Λευΐτ. 26,12.

ὁ ἔλεγχος ὅτι πῶς οἷόν τε ἦν τῶν σωμάτων τὴν αὐτὴν ἐχόντων οὐσίαν δύο φύσεις ἐναντίας ἀπὸ τῆς αὐτῆς οὐσίας ὑποστῆναι καὶ τὴν αὐτὴν οὐσίαν διαιρεθῆναι εἰς φύσεις δύο, ἵνα τὸ μὲν ἓν μέρος ἀεὶ κακόν, τὸ δὲ ἕτερον ἀεὶ καλόν, καὶ ἵνα ἑαυτῶν ἀνεπίδεκτα ᾖ ἑαυτοῖς μαχόμενα, ἑαυτὰ ἀναιροῦντα, ἐν ταῖς γυμνασίαις ἑαυτὰ ἐνδιαφθείροντα, τῆς αὐτῆς οὐσίας οὐδέποτε ἑαυτῇ μαχομένης καὶ ἑαυτὴν ἀναιρούσης; Καὶ τῶν τοιούτων ζητήσεων γινομένων ὕθλος καὶ μωρία πάλιν φανήσεται αὐτῶν ἡ πρότασις.

Η'. Εἰ δὲ τὰ μὲν σώματα οὐχ οὕτως ἐστίν, οὐδὲ τὰ μὲν ἀεί ἐστι σώφρονα, τὰ δὲ ἀεὶ ῥᾴθυμα, ἀλλὰ δέος μέν ἐστι περὶ τῶν σωφρόνων, μήποτε ῥαθυμήσωσι δι' ἀμέλειαν (πολλὰ γὰρ ἤδη τῶν εἰς σωφροσύνην γνωριζομένων σωμάτων ἡρέθη καὶ πάθει ἐπιθυμίας συμπέποται), ἐλπὶς δὲ καὶ περὶ τῶν λάγνων καὶ ἀκολάστων σωμάτων, ἐπεὶ πολλὰ τῶν ἤδη ῥαθυμησάντων σωμάτων τοσοῦτον εἰς σωφροσύνην ἐπιδέδωκεν, ὡς μηδὲ σημεῖα τῆς παλαιᾶς ἀκολασίας ἔχειν, ὡς διὰ βελτίωσιν καὶ ἐπίδοσιν πλείονα πάσης ῥυτίδος καὶ σπίλου τοῦ παλαιοῦ ἀπολελύσθαι. Ὅταν οὖν λέγῃ τὸ εὐαγγέλιον ὅτι «οἱ τελῶναι καὶ αἱ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[1], ὅταν λέγῃ Παῦλος· «πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασι»[2], ποίας οὐσίας ἦν τὰ σώματα ἢ φύσεως; Εἰ μὲν γὰρ τῆς ἀγαθῆς, πῶς ἐρρᾳθύμει; Εἰ δὲ τῆς φαύλης, πῶς ἐσωφρόνησεν; Εἰ δὲ ἐκ ῥᾳθυμίας ἐπὶ σωφροσύνην μετέστη καί ποτε μὲν ἦν **33** ῥᾴθυμα, ποτὲ δὲ ἐσωφρόνησε, καὶ ἠδυνήθη ῥᾳθυμεῖν, καὶ ἠδυνήθη μετὰ τὸ ῥᾳθυμεῖν σωφρονεῖν — καὶ μαρτυροῦσιν αἱ μεταβολαὶ — λέλυται ἡ φύσις, ὤφθη ἡ προαίρεσις, καὶ οὐκέτι τὸ σῶμα οὐσιῶδες κακόν, μᾶλλον δὲ ὑπηρετοῦν τῇ προαιρέσει, καὶ δοῦλον προαιρέσεως οὐ φύσεως ὑπάρχον, καὶ τοῦτο ἐσόμενον ὅπερ ἡ προαίρεσις ἀποδίδωσιν.

Θ'. Ὅταν γὰρ γνώμη μαθήματα παραλαβοῦσα εἰς ἔρωτα τῶν μαθημάτων ἔλθῃ, τότε καὶ τὸ σῶμα τῶν ἐρεθιστικῶν κινημάτων ἀπολελυμένον εὐστάθειαν τιμᾷ καὶ τῇ τῶν πράξεων ὑπηρεσίᾳ οὐ μάχεται· ὅταν δὲ ἀμελετησίας καὶ χαυνότητος ἐρεθιζούσης τὴν διάνοιαν οἷον ἔκλυσις καὶ χαυνότης γένηται τῆς γνώμης, τότε τῷ σώματι τὸ πάθος ἐπιγράφεται καὶ φαίνεται μεθόριον ἑκατέρου, οὐδὲν ἕτερον ὄν. Καὶ ἀληθές ἐστι τὸ γεγραμμένον· «Ἰδοὺ ἔθηκα ἐνώπιόν σου τὸν θάνατον καὶ τὴν ζωήν· ἔκλεξαι ὃ θέλεις»[3], ἵνα τὴν αἵρεσιν λαβὼν ὁ πράττων δικαίαν τὴν κρίσιν αἰτήσῃ, καὶ μὴ πρός τι βεβιασμένος ἀπολογίας τὴν βίαν καὶ τὴν ἀνάγκην τῶν πεπραγμένων ἔχῃ, μηδὲ οὕτω πεφυκὼς ἄμεμπτος τῇ φύσει μάχεσθαι μὴ δυνάμενος, καὶ τὴν αἵρεσιν ἑκατέρου ἔχων, κύριος ὢν ἐν ταῖς ἐπικρίσεσι τῆς οἰκείας κρίσεως, τὰς εὐθύνας καὶ τὰς ἀπολογίας ἀπαιτῆται. Ὃ γὰρ εἵλετο,

1. Πρβλ. Ματθ. 21,31. 2. Ἑβρ. 11,31. 3. Πρβλ. Ἱερ. 21,8.

ἑκὼν εἵλετο· καὶ διὰ τοῦτο ὑπὲρ τοῦ ἑκουσίου κρίνεται, αἱρέσει ἰδίᾳ τοῖς πράγμασιν ἐπιβαλλόμενος· εἰ δὲ μή γε, μάτην καὶ οἱ ἅγιοι ἐστεφανοῦντο· μάτην καὶ οἱ κακοὶ ἐστρεβλοῦντο, εἰ μὴ τοῖς πράττουσιν ἡ τῆς πράξεως αἰτία ἐπεγράφετο.

Ι'. Πόθεν οὖν κεκινημένοι Μανιχαῖοι διαβολὰς κατὰ τῶν σωμάτων ἐπηνέγκαντο, ἐκ τῶν γεγραμμένων καὶ ἐκ τῶν παλαιῶν λογίων κατηγορούμενοι; Ἡ γὰρ σωφροσύνη πρᾶξις οὖσα μαρτυρεῖ περὶ τοῦ σώφρονος σώματος, τὰ δὲ λόγια βοῶντα καὶ λέγοντα· «παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, εὐάρεστον τῷ Θεῷ»[1], ἱκανὴν τὴν ἀπόδειξιν ποιεῖται. Οὐδὲ γὰρ τὸ μὴ ἑαυτοῦ δέχεται ὁ Θεός, οὐδὲ τὸ ὑπ' ἄλλου πεπλασμένον ἀπαιτεῖ, ἵνα μὴ βίαν ἄλλοις ἐγκαλῶν αὐτὸς βίαιος γένηται, καὶ ἵνα μὴ ἑτέρου ἐπιθυμῇ, ὡς αὐτὸς ποιῆσαι μὴ δυνάμενος. Εἰ γὰρ τίμιόν ἐστι καὶ βούλεται σωφρονεῖν τὰ σώματα, πῶς οὐκ ἂν ἐποίει ὃ ἠβούλετο; Εἰ δὲ πεποίηκε μὲν οὐκ αὐτός, οὕτω δὲ πέφυκεν, ἵνα πονηρὰ ᾖ, πῶς τὴν φύσιν ἤμειψεν, ὥστε μηκέτι τὴν ἰδίαν ἔχειν μήτε εἶναι πονηρά, εἶναι δὲ σεμνά; Εἰ δὲ δύναται φύσις ἀμειφθῆναι, πῶς ἔτι φύσις ἐστὶν ἀλλαττομένη καὶ τὸ ἐναντίον ἑαυτῇ γιγνομένη; Τὸ γὰρ δεχόμενον ἀλλαγὰς καὶ μεταβολὰς **34** οὐκέτι τοὺς ὅρους τῆς φύσεως δέχεται· ἀμείβεται δὲ τὸ σῶμα καὶ μεταλλάττεται καὶ ῥαθυμῆσαν σωφρονεῖ· καὶ βοῶσιν οἱ λόγοι τὸ «οὐ πορνεύσεις», βοῶσι τὸ «οὐ μοιχεύσεις»[2], τὸ ἐγχωροῦν διὰ τῆς παραγγελίας ἀναιροῦντες, καὶ τὸ δυνάμενον τελειωθῆναι διὰ τῆς παραινέσεως ἀναστέλλοντες καὶ σύμμαχον τὸν λόγον τῇ γνώμῃ διδόντες, ἵνα πρὸς ἀρετὴν ἡ διάνοια ῥέπουσα καὶ τὸ σῶμα πρὸς ἀρετὴν ἐφέλκῃ.

ΙΑ'. Ἀμέλει ἐπὶ τοσοῦτον προῆλθε τὰ σώματα τῶν ἁγίων, ὡς τιμηθῆναι καὶ μήτε κενὰ γενέσθαι ἐνεργείας μήτε δυνάμεως θείας. Νεκρὸν ἔκειτο τὸ σῶμα τοῦ Ἐλισσαίου καὶ κείμενον νεκρὸν ἤγειρε νεκρόν[3]· ἐσόβει τὸν θάνατον, ἠλευθέρου τὸν ἀποθανόντα, εἰς ζῶντας τὸν τεθνεῶτα ἔπεμψε, προὐξένει τῷ κεκοιμημένῳ τὴν ἔγερσιν. Εἰ δὲ Μανιχαῖοι πρὸς αὐτὸ μεμηνότες καὶ τὸ λόγιον διαβάλλουσι, μήτε τὸν νόμον τιμῶντες, κἂν ἐκ τοῦ παραλλήλου δυσωπείσθωσαν, κἂν ἡ σκιὰ Πέτρου τὴν γνώμην ἐκείνων αἰσχυνέτω. Σώματος γὰρ ἦν ἡ σκιὰ καὶ ἐφαπλουμένη κατὰ τῶν νενοσηκότων σωμάτων, ἀπόλυτα τὰ σώματα τῶν νοσημάτων κατεσκεύαζε.

ΙΒ'. Τοιούτων οὖν ὄντων τῶν ἀποδεικτικῶν λόγων καὶ τοιαύτης οὔσης τῆς ἀποδεικτικῆς πράξεως, πῶς οὐκ ἄτοποι ἂν εἶεν φράσει λόγων ἁρμόσαι τὰ ἀνάρμοστα ἐσπουδακότες; Φασὶ γὰρ Μανιχαῖοι· «τὸ σῶμα ἐφορέσαμεν τοῦ Σατανᾶ, ἡ δὲ ψυχὴ τοῦ Θεοῦ. Καὶ τὸ μὲν σῶμα οὕτω πέφυκε κακόν, ἐκ κακοῦ προελθόν, ἡ δὲ ψυχὴ πέφυκε καλή, ἐκ καλοῦ ἔχουσα τὴν ἀρχήν· οὐκοῦν δύο ἀρχαὶ καὶ δύο

1. Ρωμ. 12,1. 2. Ἐξ. 20,13. 3. Πρβλ. Δ' Βασ. 13,21.

οὐσίαι· καὶ ἀρχαὶ δύο γεγόνασιν αἰτίαι, καὶ ἡ μὲν σώματος κακοῦ ἡ δὲ ψυχῆς ἀγαθῆς. Ἀγαθὴ οὖν ἡ ψυχή, πονηρὸν δὲ τὸ σῶμα». Καὶ πῶς σῶμα μὲν σωφρονεῖ, πολλάκις δὲ ψυχὴ ῥᾳθυμεῖ; Καὶ πῶς ἑκάτερον ἐν τῇ ἰδίᾳ τάξει οὐ μένει; Ἀλλὰ πολλάκις μὲν σῶμα σωφρονεῖ, πολλάκις δὲ ψυχὴ ῥᾳθυμεῖ· καὶ γέγονε τὸ ἀνάπαλιν, τὸ μὲν τοῦ διαβόλου τοῦ Θεοῦ, τὸ δὲ τοῦ Θεοῦ τοῦ διαβόλου· καὶ λέλυται θρυλουμένη ἔχθρα· καὶ φιλία γέγονε καὶ σπονδή, τοῦ μὲν Θεοῦ τὴν ψυχὴν ἀποπέμποντος τῷ διαβόλῳ, τοῦ δὲ διαβόλου τὸ σῶμα ἀντιπαραπέμποντος τῷ Θεῷ ὑπηρετεῖν· ὑπηρετεῖ γὰρ σωφρονοῦν· τὸ δὲ τοῦ Θεοῦ τῷ διαβόλῳ διακονεῖν· διακονεῖ γὰρ ἀπιστοῦσα, καὶ βλάσφημα φθεγγομένη.

ΙΓ'. Πῶς οὖν οὐ μέγα καγχάζειν καὶ γελᾶν κατ' ἐκείνων τοὺς φρονίμους προσήκει, οὕτως ἄτοπον καὶ γελοῖον δόγμα εἰσηγεῖσθαι **35** ἐσπουδακότων; Ὅτι δὲ καὶ αὐτὸ τὸ λογικὸν ᾑρέθη μὲν ἀφροσύνῃ, δεδύνηται δὲ πάλιν ἀπολιπεῖν τὴν αἱρήσασαν ἀφροσύνην καὶ δύναται ἀπολιπεῖν, αὐτάρκης ἀπόδειξις ἡ περὶ τοῦ νεωτέρου υἱοῦ, ἢ παρὰ πατρὶ ῥᾳθυμήσας πατέρα ἀπολέλοιπεν, ἐστείλατο τὴν πρὸς τὰ πάθη ἀποδημίαν, ἐνεβράδυνε τῇ ἀσωτίᾳ· ὀψέ ποτε ἀντελάβετο ἑαυτοῦ, παλινοστεῖ πρὸς τὸν πατέρα καὶ παλινδρομεῖ· ἀφίησι τὰ αἰσχρά· πρὸς ἱκεσίαν χωρεῖ· τυγχάνει συγχωρήσεως. Ἔνστασις γὰρ μαθημάτων πολυτελὴς γιγνομένη τὸν μὲν ὀδυρμὸν τῆς ἁμαρτίας ἀπήλειψε, πανήγυριν δὲ λογικὴν καὶ θείαν ἀποδέδωκεν[1].

ΙΔ'. Οὐκ οἶδα δέ, εἰ καὶ τὸν ἀπόστολον διαβάλλουσιν ἢ ἐν τοῖς ἀποστόλοις αὐτὸν ἐγκρίνουσιν διὰ τὰ νέα. Εἰ μὲν γὰρ διὰ τὰ παλαιὰ διαβάλλουσι, τί ἐροῦσι διὰ τὰ νέα; Εἰ δὲ τὰ νέα ἐπαινοῦσι, τί φασι διὰ τὰ παλαιά; Οὐ γὰρ συνῳδὰ τὰ πρῶτα τοῖς δευτέροις· λύκος ἦν καὶ ποιμὴν εὑρέθη· ἀναιρῶν ἦν, καὶ σήμερον ὅπλον ὡς ὑπερασπιστής· τὰ αἵματα τῆς ἀγέλης ἐκχέειν προῄρηται, καὶ τὸ τελευταῖον κινδυνεύει καὶ τὸ αἷμα τὸ ἴδιον ἐκχέειν ἐσπούδασεν. Οὐ γὰρ ἄρτι τεχθεὶς καὶ τὴν ὠδῖνα τῆς μήτρας παρελθὼν μέχρις ὥρας τοῦ μνήματος ὁ αὐτὸς διετέλει, ἀλλὰ κέχρηται ποικίλαις διαλλαγαῖς καὶ μεταβολαῖς. Αἴσιον μὲν τὸ τέλος εὑράμενος, παλιμφήμῳ δὲ χρησάμενος τῇ νέᾳ διαγωγῇ. Ἀμέλει οὐκ ἐρυθριᾷ, οὐ σιωπᾷ τὰ παλαιά· ἐγκώμιον τοῦ νέου βίου νενόμικεν, ὅτι ἐκ τοσαύτης φαυλότητος παρελθὼν ἐπὶ τηλικαύτην ἀκρώρειαν τῆς ἀρετῆς ἀνελήλυθε, καὶ βοᾷ· «διὰ τοῦτο Ἰησοῦς Χριστὸς ἦλθεν εἰς τὸν κόσμον, ἁμαρτωλοὺς σῶσαι, ὧν πρῶτός εἰμι ἐγώ. Διὰ τοῦτο ἠλεήθην, ἵνα ἐνδείξηται Ἰησοῦς ἐν ἐμοὶ τὴν ἅπασαν αὐτοῦ μακροθυμίαν, πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν»[2].

ΙΕ'. Ὅταν δὲ καὶ τὴν χορείαν τῶν ἀποστόλων ἴδωμεν, ἐξ ἁμαρτωλῶν αὐτὴν εἰσόμεθα καὶ βεβήλων ἀνθρώπων, καὶ πολλὰ τὸ παλαιὸν

1. Πρβλ. Λουκ. 15,11-32. 2. Α' Τιμ. 1,15-16.

ἐπταικότων καὶ μηκέτι σφαλέντων, καὶ τὰ δύο ἐσχηκότων καὶ τὸ πολλὰ ἐσφάλθαι καὶ τὸ μηκέτι ἐσφάλθαι. Εἰ μὲν οὖν φύσεως ἦσαν κακῆς, ἀεὶ ἔπταιον· εἰ δὲ φύσεως καλῆς, οὐδέποτε ἔπταιον, εἰ δὲ πολλὰ σφαλέντες καὶ μεγάλα ἁμαρτήσαντες ἐπὶ τὸ μὴ ἁμαρτάνειν ἐληλύθασι, — καὶ ἐπὶ τὸ ἀσφαλῶς βεβιωκέναι ἦλθον, — δείκνυται ὁ τῆς ψυχῆς ὅρος αὐτεξούσιος ὢν καὶ αὐτοπροαίρετος, μὴ πρός τι πεφυκώς, προαιρέσει δὲ τὴν μεταβολὴν ποιούμενος καὶ τρεπόμενος, ὅπου καὶ βούλεται, καὶ παλινδρομῶν, ὅπου καὶ προαιρεῖται, καί πη μὲν οὕτω διάγων, πη δὲ οὕτω καὶ οὕτω διάγων **36** ὡς βούλεται, καὶ τὴν βούλησιν ἑαυτοῦ κανόνα τῶν πραγμάτων ἑαυτοῦ ποιούμενος, κανὼν γὰρ πράξεως ἡ βούλησις τοῦ ἐργαζομένου τυγχάνει. Εἰ δὲ ἃ μεμισήκασι πεφιλήκασι, καὶ ἃ πεφιλήκασι μεμισήκασι, καὶ οὐ πέπηγεν ἡ γνώμη ἐν τῷ μίσει, ἀλλὰ πτηνοῦ δίκην κούφως μεθίσταται ὅπου καὶ ποθεῖ, ποῦ ἡ φύσις; Δεῖ γὰρ τὴν φύσιν [ἀεὶ] μισοῦσαν ἀεὶ μισεῖν τὸ μισηθέν, καὶ φιλοῦσαν ἀεὶ φιλεῖν τὸ φιληθέν· μηκέτι τὰ μεμισημένα φιλεῖν, μηδὲ τὰ πεφιλημένα μισεῖν· ὅπου γὰρ ἀλλάττονται αἱ γνῶμαι, καὶ τηλικαῦται φιλίαι τοιαύτας λαμβάνουσι τὰς μεταβολάς, πῶς οὐκ ἂν εἴη ἅμιλλα τὸ πρᾶγμα;

ΙϚ'. Ἐμισεῖτό ποτε ὁ Ἰησοῦς ὑπὸ τοῦ Παύλου, καὶ πάνυ πεφίληται ὑπὸ τοῦ μεμισηκότος· ἐφιλεῖτο ἡ λῃστεία ὑπὸ τοῦ λῃστοῦ, καὶ ἐμισεῖτο ἡ ἀρετή· καὶ τοσοῦτον μετετέθη ἡ διάνοια, ὡς ὑπερφιλῆσαι τὸ πάνυ μεμισημένον· τοῦτο γὰρ ἴδιόν ἐστι τοῦ ἐναρέτου, φιλῆσαι μὲν τὸ μισηθέν, μισῆσαι δὲ τὸ φιληθέν. Πολλοὶ νέοι ὄντες πεφιλήκασι τὰ αἰσχρὰ καὶ μεμισήκασι τὰ σεμνά· καὶ σήμερον ἐν γνώσει γεγονότες διακέκρινται. Διὰ τοῦτο οὐδὲ ἐπιγινώσκονται· διὰ τοῦτο ἠγωνίσαντο ἑαυτοῖς· διὰ τοῦτο οὐδὲ εἰκόνα τὴν παλαιὰν λαμβάνουσι, καίτοι ἄνθρωποι καὶ αὐτοί εἰσιν. Οὐ τοῦ εἶναι ἄνθρωποι ἐπαύσαντο· μενούσης τῆς οὐσίας, οὐ μένουσιν οἱ τρόποι. Αἱ οὐσίαι οὐ λέλυνται, οἱ δὲ τρόποι καταλέλυνται· ἕστηκεν ἡ ἑκάστου οὐσία, ἡ τοῦ ἀνθρώπου οὐσία· ἀλλ' οὐκέτι γνωρίζω τὸν ἄνθρωπον· πόρνος ἦν, καὶ σώφρων γέγονεν· ἅρπαξ ἦν, καὶ τὸν εὐεργετικὸν μεμίμηται βίον· οὐ τὸν χαρακτῆρα τοῦ προσώπου λέλυκε, μένει ὁ τῆς ὄψεως χαρακτήρ· οὐ τὴν ὄψιν τῆς φύσεως ἀνῄρηκεν.

ΙΖ'. Ὅταν μὲν τὸν ἄνθρωπον ἴδω, ἐπιγινώσκω, οἷός ἐστιν· ὅταν δὲ τὸν τρόπον θεωρήσω, ξενίζομαι· οὐκέτι γνωρίζω· ἡ μεταλλαγὴ τὸν ξενισμὸν δεδώρηται. Καὶ αἱ μὲν οὐσίαι οὐκ ἠλλάγησαν· μένει γὰρ τὸ σῶμα σῶμα, οὐχ ἕτερον γεγονός· οὔτε γὰρ τὸ σῶμα εἰς τὸ ἀσώματον μετετέθη· οὔτε ἡ ψυχὴ ἑτέρα τῇ οὐσίᾳ ὑπῆρξεν· ἀλλὰ μενουσῶν τῶν οὐσιῶν τὰ ἐπιτηδεύματα οὐκ ἔμεινε.

ΙΗ'. Τί οὖν ἐροῦμεν; Εἰ μενουσῶν τῶν οὐσιῶν τὰ ἐπιτηδεύματα οὐκ ἔμεινεν, οὐκέτι οὐσιώδη τὰ ἐπιτηδεύματα· ἢ γὰρ ἂν καὶ συνέμεινε ταῖς οὐσίαις, καὶ οὐκ ἂν ἀπηλλάττετο. Εἰ δὲ μεμενήκασι μὲν αἱ οὐσίαι, οὐ μεμενήκασι δὲ τὰ ἐπιτηδεύματα, ἀλλ' ὀφθαλμὸς ὁ

πάλαι αἱρούμενος τῇ ἡδονῇ ἀντίκλειδα τὴν σωφροσύνην ἔσχεν· ἡ δὲ γλῶσσα ἡ πάλαι πρόχειρος καὶ πρόβουλος καὶ τῶν βουλῶν προεπειγομένη ἄρτι χαλινῷ **37** πείθεται καὶ ὁμολογεῖ καὶ τὰ ἀσφαλῆ φθέγγεται, τὸ δὲ σῶμα ἐκδεδιῃτημένον ἄρτι ἠρεμεῖ καὶ συνεστάλη καὶ λοιπὸν σωφρονεῖ, οὐκ ἦν φύσις τοῦ ὀφθαλμοῦ ὄρεξις, οὔτε γλώττης προπέτεια, οὔτε σώματος ἡ ῥᾳθυμία. Εἰ δὲ τοῖς φυσικοῖς ἐπιστῆναι δεῖ, καὶ ταῦτα μὴ σιωπῆσαι· ὀφθαλμοῦ ἦν τὸ βλέπειν, οὐ τὸ πῶς βλέπειν· καὶ γλώττης ἦν λαλεῖν, οὐ πῶς λαλεῖν· ἡ γὰρ ποιότης τῶν κινημάτων ἐν τῇ προαιρέσει κεῖται, ἡ δὲ ἁπλῆ καὶ ἀκίνδυνος τῶν πραγμάτων κίνησις τοῖς μέλεσιν ἀποδέδοται. Ἀκίνδυνος οὖν ἡ ἁπλῆ κίνησις· ἄδηλος δὲ ἡ μεταβολή. Καὶ γνώμης μὲν καὶ μαθημάτων ἡγουμένων τῶν ὀμμάτων, δεξιὰ καὶ θεία ἡ βλέψις, μέχρι τῶν ἀξιωθέντων ἐκτεινομένη· ῥᾳθυμίας δὲ κρατούσης, αἰσχρὰ καὶ κίβδηλα τὰ πράγματα. Οὕτω καὶ σῶμα, οὕτω καὶ πᾶν μέλος τὴν πρᾶξιν τιμᾷ τὴν πρᾶξιν μιμεῖται. Καλὸν τὸ πεπλασμένον, δύναται γὰρ ὑπηρετῆσαι ἀρετῇ. Ἱεροὶ οἱ νόμοι, ἐπιμέλονται γὰρ τῆς ἐπιμελείας τοῦ πεπλασμένου. Μεῖξον τῇ πλάσει τὸν νόμον, καὶ ὄψει τὸ πεπλασμένον, ἐοικὸς τῷ πεπλακότι, καὶ μιμήσεται τὸν πεπλακότα. Εἰ δὲ τὴν πλάσιν ἔχεις, τοὺς δὲ νόμους, χαρακτῆρας ὄντας τῆς πλάσεως, οὐκ ἀποδίδως τῷ πεποιημένῳ, κινδυνεύεις κατηγορεῖν διαβολῇ· ὑβρίζειν δοκῶν τὸ πεποιημένον, ὕβριν τῷ πεποιηκότι ἐργάζῃ.

ΙΘ′. Ἐπειδὴ δὲ καὶ τῇ ψυχῇ ἔστι τις ὑπόστασις καὶ οὐ λέλυται αὐτῆς ἡ ὑπόστασις οὐδὲ λυθήσεται, πολλάκις δὲ λέλυνται οἱ τρόποι καὶ δύνανται λυθῆναι· τί ὡς μὴ δυνάμενον λυθῆναι τὸ δυνάμενον λυθῆναι οὐσιῶδες ὁμολογεῖς; Εἰσὶ ψυχαὶ πολλάκις μὲν ἀφροσύνῃ αἱρεθεῖσαι, ὕστερον δὲ φρονήσεως ἥψαντο· καὶ πολλάκις διαπρέπουσαι ἐν φρονήσει, ὕστερόν ποτε εἰς ἀφροσύνην πεπτώκασι. Πολλάκις ἤκουσας· «ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε· παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς»[1]. Ἐβόησε δὲ καὶ Παῦλος· «τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ τοὺς σοφούς»[2]. Οὐκοῦν, οἱ ἐκ μωρίας ἐπὶ τὴν φρόνησιν ἐληλύθασι καὶ οἱ ἐκ φρονήσεως ἐπὶ τὴν μωρίαν, καὶ ῥᾳθυμίᾳ μὲν τὴν γνώμην εἷλε, νόσῳ φρονήσεως αἱρεθεῖσαν, μάθησις δὲ γνώμην ἀφραίνουσαν παραλαβοῦσα ἀνεκτήσατο, τὴν νόσον τῆς ἀφροσύνης ἐξώσασα, καὶ τὴν ὑγείαν ἀποδέδωκε κυρίαν. Μεταβέβληνται οὖν αἱ κακίαι καὶ αἱ ἀρεταί· καὶ κτηταὶ καὶ ἀπόκτητοι. Ἔχεις, οὐκ ἔχεις· εὗρες καὶ ἀπολώλεκας· ἔχεις ὃ εὗρες· οὐκ ἔχεις ὃ ἀπολώλεκας. Ἐν τοῖς εὑρίσκουσιν ἢ ἀπολωλεκόσι κρίνῃ. Ἕτερον δὲ τὸ εὑρισκόμενον καὶ τὸ ἀπολλύμενον. **38** Καὶ τὸ μὲν ἡ ἀρετή, τὸ δὲ ὁ ποιῶν· καὶ τὸ μὲν ἡ κακία, τὸ δὲ ὁ πράττων. Καὶ τὸ μὲν ἡ κακία, οὐδέν· ἰδίως γὰρ οὐδέν· ὑπόστασιν γὰρ κακίας εὑρεῖν ἀμήχανον· πρᾶξιν δὲ χαυνότητι φρονήσεως ὑφισταμένην καὶ μελέτῃ προαιρέσεως ἀναιρουμένην ἀμέλει ἐκ τῶν μαθη<μά>-

1. Ψαλ. 48,13. 2. Α′ Κορ. 1,27.

των λάμβανε καὶ ἐκ τῶν κινημάτων. Ἐπίσκεψαι τὰ ἔξω. Θεώρει τὰ ἔσω. Κατανόησον τὰς διανοίας, ὅταν ὑπομείνῃς τάραχον, ὅταν θόρυβόν τινα, ὅταν γαργαλίζῃ ἡδονή, ὅταν ἔτι οὕτω κινδυνεύων, ὀλίγου μαθήματος ἐπιστάντος, γαλήνην ἴδῃς ἐν τῇ ψυχῇ καὶ εὐστάθειαν πολλήν, καὶ ταῦτα ἐν ταὐτῷ, μήτε πολλοῦ χρόνου παρεληλυθότος, ἀλλὰ πολλάκις ἐν τῷ ἀκαριαίῳ τοῦ τοιούτου πραττομένου.

Κ΄. Καὶ πολλάκις ὁρμώσης τῆς ψυχῆς ἐπὶ πάθος αἰσχρόν, παραχρῆμα δὲ συστελλούσης καὶ καθησυχαζούσης καὶ εὐθὺς τὰ σώφρονα ἀναγιγνωσκούσης καὶ τοῦ τοιούτου πραττομένου, πῶς οὐκ ἔστι θαῦμα λαβεῖν; Πῶς οὐκ ἔστιν εἰπεῖν, ὅτι οὐδὲν ἴδιον αὐτῆς, ἀλλ' ἰδιοποιεῖται ἡ ψυχή, πρὸς ὃ βούλεται ἰδιοποιηθεῖσα; Καὶ οὐδὲν τῶν αἰσχρῶν καθ' ἑαυτό ἐστιν, ἀλλ' εἶναι δοκεῖ, ὅτε τῇ ἐννοίᾳ φαντάζεται. Οὐκ ἔστιν οὖν καθ' ἑαυτὰ τὰ αἰσχρά, ἀλλὰ ταῖς ἀποκλινούσαις καὶ ἀπορρεπούσαις διανοίαις τὰς συστάσεις δέχεται, ὅθεν καὶ παιδευτηρίων ἐδεήθη, ἀκόνην καὶ λαμπρότητα πρὸς παιδευτηρίων λαμβάνουσα. Ὅθεν πολλάκις ἡ αὐτὴ ἑαυτῇ φθέγγεται, ἑαυτὴν διεγείρουσα ἢ δι' ἑτέρου διανισταμένη ἀκούει· «εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ»[1] καὶ «αἰνεῖ ἡ ψυχή μου τὸν Κύριον»[2]. Ἢ γὰρ οἱ διεγείροντες καὶ διανιστῶντες λόγοι ἔτι ἀνδρειοτέραν αὐτὴν κατεσκεύασαν ἢ ἐκ τοῦ παραινοῦντος γινόμενοι τὴν στάσιν τὴν τελείαν αὐτῇ χαρίζονται. Πολλάκις δὲ καὶ διεγείρει ἑαυτὴν ἐπὶ τὸ αἰσχρὸν καὶ πρὸς παραίνεσιν ἑαυτῆς χωρεῖ καὶ ἄλλως τὰ ἄτοπα ἑαυτῇ χαριζομένη καὶ βοῶσα· «ψυχή, ἔχεις ἀγαθὰ κείμενα εἰς ἔτη πολλά· φάγε, πίε, εὐφραίνου»[3].

ΚΑ΄. Καὶ εἰ μὲν αἱ τὰ ἄτοπα ἑαυταῖς παρέχουσαι ψυχαὶ ἕτεραι ἦσαν, καθ' ἑαυτὰς δὲ ἦσαν, ἄλλως δὲ τὰ σώφρονα, ἦν εἰπεῖν δύο γένη ψυχῶν· καὶ λέγοντας τοῦτο, πάλιν γελᾶν καὶ δυσωπεῖν ἔδει τὴν ἄτοπον τῶν Μανιχαίων δόξαν, ὅτι τὴν μανίαν εἰς δύο τέμνουσι καὶ διαιροῦσι καὶ τὰ ἑαυτοῖς μαχόμενα φθεγγόμενοι καὶ μηδὲ τῆς ἀτόπου ἑαυτῶν δόξης τὴν συμφωνίαν τιμῶντες. Εἰ δὲ αἱ αὐταί εἰσι καὶ ἄρτι ἡ τὰ ἄτοπα ἑαυτῇ παραινέσασα παραινέσειέ ποτε ἑαυτῇ τὰ τίμια, καὶ ἡ ἄρτι πρὸς τὰ **39** σεμνὰ ἑαυτὴν διεγείρουσά ποτε πρὸς τὰ αἰσχρὰ ἑαυτὴν ἐκπέμψει, καί ποτε σεμνῶν ἀντιποιηθεῖσα καὶ τιμήσασα τὰ σεμνά, ποτὲ αὐτὰ ἀπολέλοιπεν, αὐθαίρετος ἐκ τῆς μεταβολῆς ἐλεγχθήσεται.

ΚΒ΄. Δημᾶς ἦν μετὰ Παύλου, τιμῶν τὴν Παύλου συνουσίαν, ἡρέθη τῇ τοῦ διαβόλου ἐπιθυμίᾳ, ἠφίει τὴν ἀποστολικὴν συνουσίαν καὶ φυγὰς γενόμενος πρὸς τὴν τοῦ κόσμου δόξαν ἠπείγετο· «Δημᾶς γάρ με ἐγκατέλιπεν, ἀγαπήσας τὸν νῦν αἰῶνα, καὶ ἐπορεύθη εἰς Θεσσαλονίκην»[4]. Ἠκολούθει ποτὲ καὶ Γιεζὴ τῷ Ἐλισσαίῳ καὶ εἰς ὑπηρεσίαν ἐμετρεῖτο· καὶ φανείσης εὐκαιρίας χρημάτων ἠφίει μὲν τὰ θεῖα, χρήματα δὲ λαβὼν

---

1. Ψαλ. 102,1. 2. Πρβλ. Ψαλ. 145,1. 3. Λουκ. 12,19. 4. Β' Τιμ. 4,10.

ἀντεπώλει τὴν οἰκείαν γνώμην τῇ εὑρέσει τῶν χρημάτων[1]. Ἰούδας ἐν ἀποστόλοις ὢν ἐσόβησέ ποτε πυρετοὺς ἐστρατηλάτησε κατὰ δαιμόνων, εἷς ἦν τῶν λεγόντων, «Κύριε, ἰδοὺ καὶ τὰ δαιμόνια ἡμῖν ὑποτάσσεται»[2]. Καὶ ὁ μάστιγα κατὰ δαιμόνων κινήσας μικρῷ τροφίῳ αἱρεθεὶς ἠγκιστρεύετο ὑπὸ τῆς ἐπιθυμίας. Καὶ οὗτοι μὲν τοιοῦτοι, ἐκ τῆς τοιαύτης μετουσίας, εἰς τὴν τῶν αἰσχρῶν οὐσίαν μεταβεβηκότες.

ΚΓ'. Τί δέ φησι περὶ τοῦ Πέτρου ἢ Θωμᾶ; Ὅτι ποτὲ ἁλιεὺς ἦν καὶ κακὸς ἦν. Οὔτε γὰρ ἀναμάρτητος ἦν, ἄνθρωπος γὰρ ἦν. Καὶ κληθεὶς ἠφίει τὰς σαγήνας καὶ τοὺς ἰχθύας, ἠκολούθει δὲ πάντα ἀφείς, ἵνα μόνον ἔχῃ τὸν Ἰησοῦν· καὶ τὰ πρῶτα ἀπολιπών, οὐκ ἐστερήθη τοῦ ποθουμένου· εὗρε γὰρ τὸ ζητηθέν, καὶ ἐπὶ τοσαύτην ἕξιν προελήλυθεν, ὡς ἀκοῦσαι· «σὺ εἶ Σίμων ὁ υἱὸς Ἰωνᾶ· σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος»[3]· ὡς ἀκοῦσαι· «δώσω σοι, Πέτρε, τὰς κλεῖδας τῆς βασιλείας τῶν οὐρανῶν»[4]· ὡς μαρτυρηθῆναι· «σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ οὐράνιος»[5]. Ὕστερον προπετείας ἡρέθη ῥήματι καὶ πρὸς τῇ ἐπιτιμίᾳ γενόμενος καὶ τὴν ἐπιτιμίαν μὴ φεύγων ἤκουσεν· «ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν μου εἶ, ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν ἀνθρώπων»[6]· καὶ ἄρτι μὲν κλεῖδας οὐρανῶν ἐδέχετο, Πατὴρ ἐν αὐτῷ ἐφθέγγετο, Πέτρος ἀντὶ Σίμωνος· ἀντὶ δὲ πράγματος ἐπιτιμίας ᾑρεῖτο. Ἀλλ' ἐθεραπεύθη τὸ πταῖσμα τῇ βελτιώσει· καὶ ἡ ἐπιτιμία φάρμακον ἐγίνετο· καὶ ἡ γνώμη τῆς θεραπείας εἴχετο· καὶ μέγας ἦν καὶ θεῖος, θεραπεύσας μὲν τὸ πταῖσμα, μηδὲν δὲ ζημιωθεὶς ἀπὸ τοῦ προειρημένου. Ὡς δὲ ὁ Κύριος παρεδόθη καὶ ἤγετο ἐπὶ τὴν αὔλην τοῦ ἀρχιερέως, ἠλέγχθη, ἐδυσωπήθη ὁ εὔτονος Πέτρος· σέσεισται ὁ τὰς κλεῖδας ἔχων· ἐκινδύνευσεν ἔξω τῶν θυρῶν τῆς ἀληθείας ἀληθεύειν· ἐκένωσε τὴν γνώμην **40** ὁ πεπληρωμένος· ὑπὸ κόρης μιᾶς νενίκηται· παιδίσκην πεφόβηται· ἀντωπῆσαι πρὸς δούλην οὐ δεδύνηται. Πέπτωκε τῇ δειλίᾳ ὁ θεοσεβής, ὁ θεοφιλής, ὁ τὰ ἐπιφανῆ γινώσκων, ὁ αὐτόπτης τοῦ Κυρίου. Καὶ ταῦτα λέγω, οὐχ ἵνα κατηγορῶ. Πείθεται γὰρ ὅτι ταῦτα λαλῶ, ἵνα μὴ συκοφαντηθῇ ἡ ἀλήθεια· ὑπὲρ ἀληθείας φθέγγομαι· τὸν δοῦλον τῆς ἀληθείας παραφέρω, ἵνα τὸ ψεῦδος μὴ νικήσῃ· τὸν ὑπηρέτην τῆς ἀληθείας προσκομίζω· ἐπειδὴ γὰρ βούλονται φύσεις εἶναι καὶ μαίνονται εἰς τὸν περὶ φύσεως λόγον, τὸν Πέτρον προκεκόμικα, ἵνα φύσις ἐλεγχθῇ. Δεικνύουσι γὰρ αἱ πολλαὶ μεταβολαὶ τὸ ἐκ προαιρέσεως ἀποτετελεσμένον· καὶ ἀργήσει ὁ θρῦλος τῆς προαιρέσεως τὰ βραβεῖα τῆς κρίσεως τελούσης. Προαιρέσει γὰρ ζῶμεν, προαιρέσει τὸ κατόρθωμα ἀποταμιευόμεθα.

ΚΔ'. Διὸ δειλτῶ· μὴ αἱρεθῶμεν· ἀμέλει ἀεί τι πονοῦμεν, ἵνα μὴ δοκοῦντες ἠσφαλίσθαι ἐξαπιναίως δι' ἀμέλειαν εἰς ὄλεθρον πέσωμεν. Δι' ἡμᾶς λέγει· «ὑποπιέζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μήποτε ἄλ-

1. Πρβλ. Δ' Βασ. 5,20-27. 2. Λουκ. 10,17. 3. Ἰω. 1,42. 4. Πρβλ. Ματθ. 16,19. 5. Ματθ. 16,17. 6. Ματθ. 16,23.

λοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι»[1]. Τὸν περὶ ἀδοκίμου φοβοῦμαι λόγον, τὸ ὀλισθηρὸν τῆς προαιρέσεως γινώσκων, ἀσφαλίζομαι τῇ ἐπιμελείᾳ τὸ εὔκολον· τειχίζω τὸ τῆς προαιρέσεως εὐμαρὲς τῷ πόνῳ τῆς μελέτης. Καὶ ταῦτα μὲν ὁ Πέτρος καὶ λαλεῖ καὶ γράφει καὶ χαίρει, ἵνα καὶ τὰ πταίσματα αὐτοῦ καὶ τὰ κατορθώματα αὐτοῦ εἰσήγησις τῶν δογμάτων τυγχάνῃ. Διὰ τοῦτο καὶ τὰ τῶν ἁγίων ἁμαρτήματα λελάληται· τί γὰρ ἐλύπει σιωπῇ σιωπηθῆναι τὸ πταῖσμα; Τίς ὁ γράφων; Οὐ γὰρ οἱ φαῦλοι κατηγόρησαν τῶν καλῶν, οἱ καλοὶ δὲ τὰ τῶν καλῶν πταίσματα ἐξηγήσαντο. Ἕτεροι δὲ καὶ τὰ ἑαυτῶν· Παῦλος τὰ ἑαυτοῦ· Ἰωάννης τὰ <τοῦ> Πέτρου· εἶτα Θωμᾶ, ἕτερος τὰ ἑτέρου. Εἰ μὲν γὰρ φαῦλοι οἱ κατηγοροῦντες ἦσαν, τῷ μίσει ἐπεκαλοῦμεν καὶ τὸν φθόνον καὶ τὴν βασκανίαν ἐμεμφόμεθα, ὅτι ἐκ μισούντων τὰ τοιαῦτα προεφέρετο ῥήματα. Εἰ δὲ αὐτοὶ τὰ ἑαυτῶν ἢ οἱ καλοὶ τὰ τῶν καλῶν εἰρήκασι κατηγορήματα, μᾶλλον δὲ τὸ Πνεῦμα τὸ Ἅγιον τὸ ἐν τοῖς ἁγίοις λελαληκός, καὶ ὁ Κύριος αὐτὸς τὰ τῶν δούλων ἑαυτοῦ ἐξηγήσατο πταίσματα, καὶ οὐ σεσιώπηκε, τὸ αἴτιον ζητοῦμεν. Οὐ γάρ, ἵνα διαβληθῶσι, λελάληται· ἐκβεβλήκασι γὰρ τὴν διαβολήν, ἀλλ' ἵνα μὴ τῶν ἁμαρτημάτων σιωπηθέντων ἀναμάρτητοι τὴν φύσιν ὑπονοηθῶσιν. Ὑπὲρ ἀληθείας τοίνυν ὁ λόγος· καὶ πταισμάτων διήγησις ἀλήθειαν εἰσηγεῖται.

41 ΚΕ'. Ὢ τοῦ καινοῦ θαύματος! ἐγράφησαν αἱ ἁμαρτίαι τῶν ἁγίων ἵνα ἡ ἀλήθεια γνωσθῇ ὅτι ἐκ τῶν ὁμοίων φύντες καὶ ὁμοίως φύντες ἀρετῇ τὸ μεῖζον εἰλήφασιν, οὐ φύσει νικήσαντες, ἀλλ' ἀρετῇ διαπρέψαντες. Εἰ δὲ παρὰ τῷ Πέτρῳ καὶ τοῖς ἄλλοις ἀποστόλοις οὐχ ἡ φύσις ἀλλ' ἡ προαίρεσις τὸ ὁριστικὸν ἔχει, παρὰ τίσιν εὕρομεν ἀναμάρτητον τὴν φύσιν, ὅπου παρὰ τοῖς ἀποστόλοις οὐχ εὕρομεν; Ποῦ ἰχνεύειν δυνησόμεθα; Μάτην τὰ μὴ ὄντα περιεργαζόμεθα. Ἰδοὺ τὸν Πέτρον ἐρωτῶ· ἰδοὺ τὸν Θωμᾶν ἐξετάζω—οὐ τὰ παλαιὰ λαλῶ, οὐ μνημονεύω τοῦ Δαβίδ· καίτοιγε μνημονεύειν ὤφειλον—ἵνα ἀφ' ὧν ἀγνοοῦντες εὔχονται, τὰς κατηγορίας λάβωσιν, ἵνα ἀφ' ὧν φιλολογοῦσι, τὸν ἔλεγχον σχῶσιν. Ἐπειδὴ γὰρ τὰ εὐαγγέλια μεμελέτηται αὐτοῖς, ἐκ τῶν εὐαγγελίων προηνέχθη ὁ ἔλεγχος. Διὰ τοῦτο γὰρ καὶ ἄνομον λαλοῦσι τὸν λόγον, μὴ φιλολογοῦντες. Διὰ τοῦτο οὔτε ἐπιστήμην τοῦ εὐαγγελίου ἔχουσι, τὴν τῶν εὐαγγελίων ἀρχὴν μὴ παραλαβόντες· «ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ· καθὼς γέγραπται ἐν Ἡσαΐᾳ τῷ προφήτῃ»[2]. Τὴν ἀρχὴν τῶν μαθημάτων ἐκβεβλήκασι, τῇ ἀρχῇ τῶν μαθημάτων ἐμαχέσαντο, τὰ τελευταῖα ἐζήτησαν, εὑρεῖν οὐκ ἠδυνήθησαν, ἀπὸ τῆς ἀρχῆς τὴν ἀκολουθίαν μὴ παραδεξάμενοι.

ΚϚ'. Καὶ μικρὰ μὲν ταῦτα καὶ οὐ πολλά, αὐτάρκη δὲ πρὸς τὴν ζήτησιν. Τὸν γὰρ χαρακτῆρα μόνον κεκίνηκα καὶ οὐκ εἰς πλῆθος καταβέβηκα τῶν μαρτυριῶν. Τὰ γὰρ συγγενῆ τῶν λεγομένων ζητήσει ὁ ἀναγινώσκων καὶ ἐκ τούτων ἐπὶ τὰ ὅμοια καὶ ἀδελφὰ χωρήσει ἀναγνώ-

1. Α' Κορ. 9,27. 2. Μάρκ. 1,1-2.

σματα. Ἡμεῖς δὲ φέρε κατασκευάσωμεν τὸν ἐκείνων λόγον, τὰ δόγματα ἐκείνων παραθέμενοι. Πονηρὸς μὲν ἦν ὁ Σατανᾶς, ἀγαθὸς δὲ ἦν ὁ Θεός. Καὶ οὕτως ἦν. Τὸν μῦθον στρέφω, ἵνα τὸν μῦθον δυσωπήσω, καὶ εἰ μὴ παραθῶμαι ἃ ἐξηγοῦνται, ἐντρέψαι τὴν μυθοποιΐαν οὐκ ἔχω. Ἀγαθὸς μὲν ἦν ὁ Θεός, φησί, πονηρὸς δὲ ὁ Σατανᾶς. Καὶ ἦν πονηρὸς καὶ οὔτε ποτὲ οὐκ ἦν· ἀεὶ γὰρ ἦν καὶ οὐκ ἀπό τινος ἦν. Ἦν γὰρ καὶ ῥίζα ἦν, φησί. Καὶ ἦν Κύριος καὶ αὐτὸς <καλὸς> ἦν καὶ ῥίζα ἦν καὶ ῥίζα καλὴ καὶ ῥίζα καλῶν καὶ πᾶν καλὸν ἀπὸ τούτου ἐξῆλθε. Δύο γὰρ ἦσαν ῥίζαι καὶ αἱ δύο προῆλθον πρόοδοι, αἱ πρόοδοι κατάλληλαι ταῖς ῥίζαις· Ἀπ' ἐκείνης τὰ τοιαῦτα καὶ ἀπὸ ταύτης τὰ τοιαῦτα θρυλοῦσι. Στῶμεν ἕως τούτων, ἐπιχειρήσωμεν λοιπὸν τὴν ἐξέτασιν καὶ ἴδωμεν συλλογισμοὺς καὶ μνημονεύσωμεν ῥητῶν, ἵνα καὶ τοῖς συλλογισμοῖς συναγάγωμεν καὶ τοῖς ῥητοῖς πείσωμεν. **42** Φήσομεν γὰρ πρὸς αὐτούς· ἐπεὶ Θεὸς ῥίζα ἦν καὶ ῥίζα καλὴ καὶ καρποὶ καλοὶ ἀπὸ ῥιζῶν καλῶν προηνέχθησαν καὶ ὁ Σατανᾶς ῥίζα ἦν καὶ ῥίζα κακὴ καὶ καρποὶ κακοὶ ἀπὸ ῥίζης κακῆς προηνέχθησαν, τίνος καρποὶ οἱ ἀπόστολοι; Ἵνα ἐκ τῶν καρπῶν γνῶμεν τὸ ζητούμενον, οὔπω ἀπὸ ῥιζῶν λαμβάνω. Φήσομεν γάρ· ἡ ῥίζα ἡ κακὴ οὐδὲν καλὸν προεξενεγκεῖν οἶδεν οὔτε ἡ ῥίζα ἡ καλὴ οὐδὲν κακὸν προεξενεγκεῖν οἶδε, φαίνονται δὲ οἱ ἀπόστολοί ποτε μὲν καλοί, ποτὲ δὲ κακοί, καὶ ὀψὲ μὲν καλοί, ἀρχῆθεν δὲ κακοὶ καὶ μεταβολὴν πεποιημένοι ἀπὸ τῶν κακῶν. Εἰ μὲν γὰρ φήσομεν τοῦ Σατανᾶ καρποὺς εἶναι τοὺς ἀποστόλους διὰ τὰ παλαιὰ πταίσματα, δυσωπηθήσονται διὰ τὴν ἀποστολὴν καὶ τὴν τελειότητα τῶν ἀρετῶν — εἰ δὲ τοῦ Θεοῦ, τί ἐροῦσι περὶ τῶν πταισμάτων τῶν παλαιῶν καὶ τῆς παλαιᾶς διαβολῆς; Δυσωπήσει γὰρ αὐτοὺς τὸ γράμμα καὶ ἐλέγξει αὐτῶν τὴν κρίσιν.

ΚΖ'. Εἰ δὲ ἀποροῦντες καὶ εἰπεῖν μὴ δυνάμενοι ἀντερωτῶσι, φάσκοντες δύσκολον εἶναι τὴν λύσιν τῶν προτάσεων καὶ δύσκολον εἶναι τὴν ἀπόδειξιν, φήσομεν καὶ ἡμεῖς οὐ καρποὺς εἶναι τοὺς ἀποστόλους τοῦ Θεοῦ, ἀλλὰ ποιήματα καὶ πλάσματα· οὐ γὰρ ὡς ἀπὸ ῥίζης καρποὶ προηνέχθησαν, ἀλλ' ὡς ἀπὸ κτιστοῦ καὶ ποιητοῦ κτίσματα καὶ ποιήματα γεγένηνται τοῦ πεποιηκότος, οὐχ ὡς ὁμοούσια τοῦ πεποιηκότος. Γενητοὶ γὰρ ἐκ τοῦ ἀγενήτου, ποτὲ οὐκ ὄντες, ὕστερον δὲ πεποιημένοι, τὸ μὲν εἶναι ἀπὸ τοῦ πεποιηκότος λαβόντες, οὐκ οὐσίαι δὲ ἐξ οὐσίας, ἀλλ' ὑποστάσεις ἐξ ἀγαθότητος τοῦ δημιουργοῦ πεποιημένοι καὶ οὕτω πεποιημένοι, ἵνα προαιρέσει τὴν ἀρχὴν ἔχωσι. Φαίνεται οὖν ὁ Σωτὴρ λέγων «εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν»[1], «εἰ θέλεις τέλειος γενέσθαι»[2], «εἰ θέλεις ὑγιὴς γενέσθαι»[3]. Εἰ ὁ ποιήσας τοιαῦτα καλεῖ, δι' οὗ <ὁ> Πατὴρ πάντα ἐποίησε, νόει τοῦ πεποιηκότος τὰς φωνάς. Ἐν τῷ θέλειν τοὺς νόμους ἔθετο, ἐν τῇ θελήσει τὰ νόμιμα ἀποταμιεύεται, τὴν βούλησιν τῶν πραττόντων κυρίαν τῶν πραττομένων ἐπίσταται. Ἀμέλει

1. Ματθ. 16,24. 2. Πρβλ. Ματθ. 19,21. 3. Πρβλ. Ἰω. 5,6.

τιμῶν τὴν τῶν πράξεων κοινωνίαν ἀνήρτησεν ἐν τῇ θελήσει ὁ λόγος, «ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε, ἐὰν δὲ μὴ θέλητε μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται»[1]. Ἄτοπον δὲ καὶ τὸν περὶ τῶν φαυλοτάτων καταλιπεῖν λόγον καὶ τὴν περὶ τῶν αἰσχίστως καὶ ἐκδεδιῃτημένως ἀναστρεφόντων παραλιπεῖν ἐξέτασιν, μήπως ἡ ἡμῶν σιωπὴ ἀπό**43**νοιαν χαλεπωτάτην αὐτοῖς κατασκευάσῃ. Οὐ σφόδρα διαβάλλουσι τὸν Ναβουχοδονόσορ; Οὐ σφόδρα μέμφονται τὸν Φαραώ; Οὐ πέρας αἰσχρότητος αὐτοὺς νενομίκασι; Τοιαῦτα γὰρ περὶ τῆς ἐκείνων διαγωγῆς ἄνω καὶ κάτω θρυλοῦσιν. Εἰ μὲν οὖν ἐν ταῖς διανοίαις ἐκείνων οὐδεμία σπουδὴ φανείη, λόγος ἂν εἴη ἕτερος· εἰ δὲ ἐν τοῖς οὕτω κακοῖς καὶ μέρη εὑρίσκεται καλῶν καὶ αἰσθήσεις καὶ ἀντιλήψεις καὶ μετάμελος καὶ ἱκεσίαι, τί ἔτι φήσουσιν; Εἰ γὰρ οὗτος ὁ πάνυ αἴσχιστος φανείη τινὰ μέρη ἔχων ἀρετῆς καὶ τρόπων ἐπιτηδειότητα, τί ἐροῦσιν; Ἢ γὰρ τὸν Σατανᾶν μεικτὸν ἐξ ἀρετῆς καὶ κακίας ὡς μεικτοὺς καρποὺς ἐνεγκόντα φήσουσιν ἢ τούτους καρποὺς μὴ εἶναι τοῦ διαβόλου· οὐκέτι γὰρ οἱ μεικτοὶ τοῦ ἀμείκτου εἶεν ἂν καρποὶ οὔτε ῥίζα τοῦ μεικτοῦ τὸ ἄμεικτον φανήσεται. Οὗτοι δὲ καὶ μεικτοὶ ἐφάνησαν, χρόνῳ καὶ τὰς ἐπιστήμας λαβόντες καὶ πονηρίᾳ αἱρεθέντες. Καὶ φανήσεται κατὰ τοῦτον τὸν λόγον πλάσμα εἶναι λόγου καὶ μὴ ἀληθείας ὑποστάσεις.

ΚΗ΄. Ἰδοὺ γὰρ ὁ μὲν Φαραὼ ἐν ταῖς ἐπιτιμίαις ἐνδίδωσι καὶ ἀπαλύνεται, ἐνδίδωσι τῇ διανοίᾳ καὶ κατατυφεὶς τὴν ψυχὴν οὐκ ἐπιμένει τῇ τραχύτητι, ἀλλὰ δύο ποιεῖ· καὶ τὴν εὐχὴν αἰτεῖ καὶ κατηγορεῖ τοῦ γενομένου καὶ οὐ φαίνεται πηρὸς ἡ ψυχὴ ἀλλ' ἐμβλέπουσα καὶ πρὸς μετάνοιαν χωροῦσα, ἀντιλαμβανομένη δὲ καὶ τῆς αἰτήσεως καὶ τῆς ἱκεσίας καὶ λιπαροῦσα εὐχῆς ἕνεκεν. Εἰ δὲ ἐπεφύκει κακός, πῶς ἐγνώκει περὶ τῆς εὐχῆς καὶ τῆς μετανοίας; Εἰ γὰρ ἡ μετάνοια καλή, καὶ ἡ εὐχὴ καλή· εἰ δὲ ἡ φύσις κακή, πῶς ἐμίγη τὸ κακὸν τῷ καλῷ; Πῶς δὲ ἐκ κακοῦ καλὸν προηνέχθη; Καὶ φαίνονται μὴ εἰδότες ἃ λέγουσιν, ἀλλὰ ἀπαιδεύτῳ γνώμῃ πτύσματα μᾶλλον ῥημάτων ἢ ῥήματα προφερόμενοι. Εἰ δὲ καὶ ὁ Ναβουχοδονόσορ, καίτοι χαλεπὸς ὢν τὸ ἦθος καὶ τὴν κάμινον εὐτρεπίσας καὶ τὴν εἰκόνα ποιήσας καὶ τῇ ἀπειλῇ φοβῶν καὶ προσκυνεῖν τὸ ἄγαλμα ἀναγκάζων, ὡς οἱ ἅγιοι ἔνδον ἐβάλλοντο καὶ ὑπεχώρει ἡ φλὸξ καὶ τῶν σωμάτων οὐχ ἥπτετο καὶ συναγωγὴ ἡ κάμινος ἐγίνετο καὶ ἀντὶ ὀδυρμῶν ἔνδον ὕμνοι ἐτελοῦντο καὶ οὐκέτι καιομένης σαρκὸς θρῆνος ἐπέμπετο, ἀλλ' ἐκ πανηγυριζούσης ψυχῆς ᾆσμα ἐτελεῖτο, παρέκυψεν ἰδεῖν τὰ ἔνδον, τετίμηται τῇ τοῦ ἀγγέλου θεωρίᾳ, ἀφῆκε φωνήν· «οὐχὶ τρεῖς ἄνδρας ἐνεβάλλομεν εἰς τὴν κάμινον; Ἰδοὺ τέσσαρας ὁρῶ καὶ τὸν τέταρτον ὡς ὅμοιον Υἱῷ Θεοῦ»[2]. Εὐθέως γοῦν γράφει ὑπὲρ τούτου νόμον ὁμολογεῖν τὸν **44** Θεόν, μαρτυρεῖν τὴν ἀλήθειαν· ἐξηγητὴς τῆς ὁράσεως γίνεται. Διαβάλλωμεν οὖν τὰς ἐξηγή-

---

1. Ἠσ. 1,19-20. 2. Πρβλ. Δαν. (Θεοδ.) 3,91-92.

σεις ἢ ἐπαινέσομεν; Καλὸν τὸ πρεσβεύειν ὑπὲρ Χριστοῦ ἢ ἐν πονηρῷ μέρει αὐτὸ ἐῶμεν; Εἰ μὲν γὰρ τὸ πρεσβεύειν τὰ θεῖα λόγια καὶ μάρτυρας εἶναι τῆς ἀληθείας καλόν, ἐπρέσβευε δὲ καὶ ὁ Ναβουχοδονόσορ καὶ ἔγραψε καὶ εἰς πᾶσαν τὴν ἀρχὴν αὐτοῦ ἔπεμψε, λέλυται ἡ φύσις. Ἐπιστάμενος γὰρ τὸ καλόν, πρὸς τὴν μάθησιν ἔβλεψε τοῦ καλοῦ. Εἰ δὲ ἤμβλυνε τὴν μάθησιν τῇ πρὸς τὴν πονηρίαν διαθέσει, κατηγορεῖται. Ἕτερον γὰρ τὸ ὅλως μὴ δύνασθαι ποιεῖν τὸ καλόν, ἕτερον δὲ τὸ εἰδέναι μέν, μὴ δύνασθαι δὲ τῇ πρὸς τὰ πάθη ῥοπῇ ἡττώμενον.

ΚΘ΄. Ἐπειδὴ δὲ ἐν ἀνθρώποις καρποὶ τοῦ διαβόλου οὐχ εὑρέθησαν καὶ ἐδυσωπεῖτο αὐτῶν ὁ τρόπος καὶ ἠλέχθη αὐτῶν ἡ ἀτοπία, ποῦ λοιπὸν τραπῶμεν; Εἰ μὴ ἄρα πρὸς τοὺς δαίμονας βαδίσομεν, εἴ γε μὴ ἄρα φήσουσιν· «ἀνθρώπων μὲν οὐδεὶς καρπὸς τοῦ διαβόλου, δαίμονες δὲ γόνοι καὶ τοκετὸς μόνοι αὐτοῦ». Καὶ ταῦτα μὲν λέγοντες δυσωπηθήσονται καὶ ἐν τούτῳ πρῶτον δὲ ἀκουέτωσαν. Εἰ οὐδεὶς ἄνθρωπος τέως τοῦ ἑνὸς ἀπολέλυται, οὐδὲν οὖν κοινὸν τῷ Σατανᾷ καὶ τῷ βίῳ τούτῳ, ἀλλὰ πάντων ἀπήλλακται, πάντων γέγονε ξένος, ἐκβέβληται ἀπὸ τῶν μαθημάτων, ἐξόριστος ἀπὸ τῆς διδασκαλίας γέγονεν. Εἰ δὲ βούλεσθε μαθεῖν ὅτι καὶ οἱ δαίμονες αὐτοὶ οὐκ ἀπὸ ῥίζης εἰσὶ κακοὶ οὐδὲ ῥίζαν ἀτοπίας ἔχουσιν, ἀλλὰ κἀκεῖνοι ἀπὸ προαιρέσεως ἐπὶ τοῦτο ἐληλύθασιν, οὐ πονηροὶ τὴν φύσιν ὄντες, οὐκ ἀγνοίᾳ ἀναγεγραμμένοι, οὐ νὺξ καὶ σκότος τὴν οὐσίαν τυγχάνοντες, ἀλλ' ἕξει καὶ ἐπιτηδεύμασι τῇ ἐπιχειρήσει τῶν τοιούτων γεγονότες, τὸν λόγον ἐξετάσωμεν. Τυφλὴ μὲν οὖν φύσις οὐδὲ ἐν ἐλαχίστῃ καὶ ὀλίγῃ τῇ βλέψει γενήσεται καὶ αὐτὴ ἡ ἄγνοια οὐδὲ ῥανίδα γνώσεως ἑαυτῇ προσποιήσεται οὐδὲ νὺξ αὐτὴ καὶ σκότος τὸ οὕτω πεφυκὸς κἂν εἰς βραχεῖαν λαμπηδόνα μεταποιηθήσεται. Φαίνονται καὶ οἱ δαίμονες καὶ Σωτῆρα εἰδότες καὶ Κύριον ὁμολογοῦντες· «οἴδαμέν σε τίς εἶ»[1], λέγοντες, «ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος»[2]· εἰδέναι δὲ ἄγνοια οὐ δύναται καὶ βλέπειν τυφλὴ φύσις οὐκ ἰσχύει. Ἴσασι καὶ ἀληθεύουσιν εἰδότες καὶ οὐ συκοφαντοῦντες λέγουσι. Λέγουσι γὰρ κἂν μὴ γνησίᾳ διαθέσει τὴν ἀλήθειαν· οὐκέτι τυφλῇ τῇ φύσει οὔτε τῇ ἀγνοίᾳ κατηγοροῦνται. Ἦ γὰρ ἂν οὐδὲ τὸ ἐλάχιστον ἑώρων οὔτε ἱκέται ἦσαν οὔτε παρεχώρουν τῷ λεγομένῳ οὔτε διέκριναν τὸν φανέντα, ἀλλ' ᾤοντο ἂν ταὐτὸν **45** εἶναι καὶ οὐδὲν διαφέρειν αὐτόν τε καὶ αὐτούς. Ἰδοὺ γὰρ τὰ ἄλογα ζῷα μεταξὺ σοφῶν τε καὶ ἀσόφων οὐκ ἔχει εἰδέναι ποῖοι σοφοὶ καὶ ποῖοι ἄσοφοι· «εἰ δὲ ἔγνωσαν οἱ δαίμονες καὶ διάκρισιν εἰδότες ἀπολέλυνται τοῦ ἀδιακρίτου, διακρίσει τὸ τοιοῦτον ἐπεγνωκότες, ἐλέγχεται καὶ ἐν τούτῳ μὴ φύσις, ἀλλὰ προαίρεσις πρυτανεύουσα. Κἂν γὰρ νοήσῃ προαίρεσις κἂν σφαλῇ, ὅμως τοῦ εἶναι λογικὴ οὐκ ἀπήλλακται, ἀλλ' ἔχει τοῦτο μὴ διεφθαρμένον. Οὕτω καὶ δαίμονες ἐπέγνωσαν αὐτόν, ἐλιπάρησαν, ἱκέτευσαν, ἵνα μὴ ἐπιτάξῃ αὐτοῖς εἰς τὴν ἄβυσσον ἀπελθεῖν. Εἰ τῆς ἀβύσσου παῖδες ἦσαν, εἰ συγγένειαν πρὸς τὴν

1. Πρβλ. Μάρκ. 1,24. 2. Ματθ. 16,16.

ἄβυσσον εἶχον, τί φεύγουσι τὰ συγγενῆ; Τί τὴν οἰκείαν παραιτοῦνται ῥίζαν; Μᾶλλον γὰρ ἂν ἠσπάσαντο ἀνάπαυλαν ἑαυτῶν τὴν συγγένειαν ἡγούμενοι· ἐν γὰρ τοῖς συγγενέσιν ἡ ἀνάκτησις γίνεται, ἐν δὲ ξένοις αἱ κακώσεις. Μᾶλλον γὰρ ἔδει αὐτοὺς παραιτεῖσθαι τὸν Ἰησοῦν, μᾶλλον δὲ ἔδει αὐτοὺς παραιτεῖσθαι τὸ ἐνταῦθα χωρίον, ἔνθα σπουδαῖοι καὶ ἐπιεικεῖς, ἀσπάζεσθαι δὲ τὴν ἐν ἀβύσσῳ ἄφιξιν. Παραιτούμενοι δὲ καὶ φυλαττόμενοι καὶ ἀπιέναι ἐκεῖ οὐκ ἀνεχόμενοι, ἀλλ' ἱκετεύοντες τῆς αἰτίας ταύτης χάριν, ἱκανὸν τεκμήριον δεδώκασι μηδεμίαν αὐτοὺς φυσικὴν συγγένειαν πρὸς τὰ κολαστήρια ἔχειν· οὐδέποτε γὰρ οὐδὲν ἑαυτὸ κακοῖ, πᾶν δὲ κακούμενον ὑπ' ἄλλου κακοῦται. Ἀνάγκη γὰρ τὸ κακοῦν μὴ ἑαυτοῦ εἶναι κάκωσιν, ἀλλ' ἑτέρου τοῦ πεφυκότος πάσχειν ἢ κακοῦσθαι. Ἰδοὺ τὸ πῦρ ἑαυτὸ οὐ καίει· ἕτερον γὰρ καὶ οὐχ ἑαυτὸ ἀναλώσει. Ἰδοὺ τὸ ὕδωρ ἑαυτὸ κατακλύζει· τὰ γὰρ ἕτερα κατακλύσαι οἶδεν, ἑαυτὸ δὲ κατακλύσαι οὐκ ἔχει. Ἰδοὺ ὁ ἀὴρ ψύχειν ἑαυτὸν οὐκ οἶδεν, ἐπεὶ πᾶν τὸ δρῶν καὶ κακοῦν ἕτερόν τι κακοῖ καὶ λυπεῖ. Εἰ δὲ κακὴ ἡ ἄβυσσος καὶ κακοῦνται οἱ δαίμονες ὑπὸ τῆς ἀβύσσου καὶ βασανιστήριον μὲν ἡ ἄβυσσος, στρεβλοῦνται δὲ οἱ δαίμονες, οὐκέτι τῷ ὁμοίῳ βασανίζονται, ἀλλ' ἕτεροι ὄντες ὑπὸ ἑτέρου βασανίζονται, οὐκέτι τῆς φύσεως ταύτης οὐδὲ τῆς οὐσίας· ἑτέρας γὰρ ἐδείχθη οὐσίας ἡ ἄβυσσος. Καὶ ὅτι μὲν οἱ δαίμονες ἑτέρου γένους καὶ ἑτέρας οὐσίας παρὰ τὴν ἄβυσσον, ἱκανὰ τὰ εἰρημένα.

Λ'. Καὶ αὕτη δὲ ἡ ἄβυσσος βασανιστήριον μέν ἐστι καὶ κολαστήριον, οὐκ αἰώνιον δὲ οὔτε ἀγένητον, ἀλλ' ὕστερόν ποτε γεγενημένον, ὀψέ ποτε πεποιημένον ἀντὶ φαρμάκου καὶ βοηθήματος τοῖς ἡμαρτηκόσιν. Ἱεραὶ γὰρ αἱ μάστιγες, φάρκακον οὖσαι τῶν ἡμαρτηκότων· ἱεραὶ αἱ πληγαί, βοηθήματα τυγχάνουσαι τῶν σφαλέντων. Οὐ γάρ, ἵνα ὦσι κακοί, αἱ πληγαὶ γεγόνασιν, ἀλλ', ὅπως μὴ ὦσι κακοί, γεγόνασιν αἱ μάστι**46**γες. Λυπούμενοι γὰρ τῇ πληγῇ οἱ κακοὶ τῇ μάστιγι κολοβοῦσι τὰ κακά. Διὰ τοῦτο οὐδὲ τὰς ἀβύσσους μεμφόμεθα, ἀλλ' οἴδαμεν ὅτι βασανιστήριον καὶ κολαστήριον γεγόνασι, σωφρονισμὸς τῶν ἡμαρτηκότων τυγχάνουσαι. Εἰ δὲ βασανιστήριον καὶ στρεβλωτήριον ἡ ἄβυσσος, στρεβλοῦνται δὲ καὶ βασανίζονται οἱ δαίμονες καὶ τὴν οὐσίαν ἔχουσιν εὐπαθῆ πρὸς τὰ βασανιστήρια καὶ δύνανται ἔχειν καὶ ἀλγηδόνα, ὑπόκεινται καὶ τιμωρίᾳ καὶ ἀντίληψιν ἔχουσιν τῶν κολάσεων, πῶς ἀγένητοι; Πῶς ἀεί; Πῶς οὐδέποτε ἤρξαντο; Πῶς ἀφ' ἑαυτῶν εἰσιν οἱ μὴ ἀπαθεῖς, οἱ παθεῖν δυνάμενοι καὶ τιμωρηθῆναι ἰσχύοντες; Οὐδέποτε γὰρ τὸ ἀγένητον οὐδὲν πείσεται οὐδὲ ὑπό τινος τιμωρηθήσεται, ἀλλ' ἀφ' ἑαυτοῦ ἀρξάμενον <ἐν> ἑαυτῷ μένει, καὶ μὴ ἀφ' ἑτέρου δεξάμενον τὴν ἀρχὴν οὐδὲ ἀφ' ἑτέρου τὴν τιμωρίαν λαμβάνει, καὶ μὴ ἐπιγραφόμενον τὸν αἴτιον οὐκ ἐπιγραφήσεται τὸν κολάζοντα, καὶ οὐ κριθήσεται παρ' ἑτέρου μὴ παρ' ἑτέρου ἀρξάμενον, καὶ οὐ φοβηθήσεται οὐδένα παρ' οὐδενὸς τὸ εἶναι εἰληφός. Τί γὰρ καὶ φοβηθήσεται, εἰ τελείαν τὴν σύστασιν ἔχει; Εἰ τέλειον τὸν ἀπαρτισμόν; Εἰ ἀφ' ἑαυτοῦ ἀπήρτισται

καὶ ἑαυτῷ ἥρμοσται; Τὰ γὰρ δυνάμενα παθητὴν ἔχειν τὴν ἁρμονίαν φοβεῖται τὸν δυνάμενον <μετα>ποιεῖν τὰς ἁρμονίας, τὸ δυνάμενον παθεῖν φοβεῖται τὸν δρῶντα. Εἰ δὲ φοβοῦνται οἱ δαίμονες καὶ δύνανται παθεῖν, οὐκ ἀγένητοί εἰσιν. Τὸ γὰρ ἀγένητον ἀπαθὲς καὶ οὐ δύναται παθεῖν, ἔξω τῆς φύσεως τῶν γενητῶν ὑπάρχον. Ὅτι δὲ ἱκετεύουσιν, ἐν αἰσθήσει εἰσὶ καὶ οἴδασιν ὅ εἰσι καὶ οἴδασιν ὅτι δύνανται παθεῖν. Οὐ γὰρ ἠγνόησαν ἑαυτούς, οὐκ ἀπαθεῖς ἑαυτοὺς ἐλογίσαντο. Τὸ δὲ εἰδέναι τινὰ ἑαυτὸν καὶ μὴ ἠγνοηκέναι αἰσθήσεώς ἐστι σύμβολον καὶ σημεῖον. Εἰ δ' ὅτι εἰσὶν εὐπαθεῖς ἐδειλίασαν καὶ δειλιῶντες ἱκέτευσαν καὶ ἱκέτευον τὸν δυνάμενον, οὐκ ἠγνόησαν τὸν ἰχνεύοντα· αὕτη γὰρ ἡ ἱκεσία αὐτῶν μαρτυρεῖ ὅτι ᾔδεισαν τὸν ἰχνεύοντα. Καὶ ὅτι μὲν ἦσαν εὐπαθεῖς καὶ παθητοὶ οὐκ ἠγνόησαν ,ὅτι δὲ ἐκεῖνος ἦν ὁ ἰχνεύων ὁ κύριος καὶ βασιλεὺς τῶν πραγμάτων, φαίνονται διὰ τῆς ἱκεσίας ἐπιστάμενοι. Καὶ ταῦτα περὶ δαιμόνων κατεσκευάσαμεν, ἵνα μὴ δὲ ὁ περὶ δαιμόνων ἀργῇ λόγος. Ἐγχωρεῖ γὰρ καὶ ταῦτα προστιθέναι ὅτι ἡ φύσις ἑαυτῇ ὁμοία ἐστὶ καὶ οὐδεμίαν διαφορὰν πρὸς ἑαυτὴν ἔχει. Ἰδοὺ γὰρ τὸ πῦρ ὅλον ὅμοιον ἑαυτῷ, οὐχ ἧττον ἑαυτοῦ θερμὸν οὐδὲ μᾶλλον ἑαυτοῦ, οὐ τὸ μᾶλλον καὶ τὸ ἧττον ἔχει. Ἐν γὰρ ταῖς φύσεσι τὸ μᾶλλον καὶ τὸ ἧττον ἀργεῖ· ὅπου δὲ μᾶλλον καὶ ἧττον, οὐκέτι φύσις, ἀλλὰ προαιρέσεως ἐπίδοσις. Εἰ δὲ γέγραπται καὶ περὶ δαιμόνων ὅτι «ἀπέρχεται καὶ παραλαμβάνει **47** ἑπτὰ ἕτερα πνεύματα πονηρότερα ἑαυτοῦ»[1], καὶ φαίνεται ἐκ τοῦ λόγου ἐπίδοσις, ὅτι τὸ μὲν πονηρόν, τὸ δὲ πονηρότερον, διαφορὰ πονηρίας, ποῦ ἔτι φύσις μὴ οὖσα ὁμοία ἑαυτῇ, διαφορᾶς ἐν πονηρίᾳ εὑρισκομένης καὶ τῆς διαφορᾶς μαρτυρούσης τῇ προαιρέσει καὶ μὴ τῇ φύσει;

ΛΑ'. Ἅλις μὲν τῶν τοιούτων λόγων, ἐπιχειρήσωμεν δὲ καὶ τὴν μυθοποιΐαν αὐτῶν τὴν πρώτην ὑφηγησάμενοι, τοῖς ἀνασκευαστικοῖς χρησώμεθα λόγοις. «Κακία», φησίν, «ἦν καὶ ἀγένητος ἦν· ἦν δὲ καὶ ὁ Θεὸς καὶ ὁ Θεὸς ἀγαθὸς καὶ μεμερισμένοι <οἱ> τόποι τῆς οἰκήσεως καὶ ἑκάτερος καθ' ἑαυτὸν τοῦ ἑτέρου ἀπηλλαγμένος. Καὶ ἀφώριστο μὲν κακίας ὁ Θεός, ἀφώριστο δὲ καὶ ὁ τῆς κακίας ἄρχων τοῦ Θεοῦ καὶ ἑκάτερος καθ' ἑαυτὸν ἦν καὶ ἦρχεν ἑκάτερος τῶν ἰδίων καὶ ᾠκονόμει ὡς ἐπεφύκει, ὁ μὲν κακὸς κακῶς, ὁ δὲ ἀγαθὸς ἀγαθῶς, ὁ μὲν κακὸς βλάπτων καὶ τὰ ἑαυτοῦ βλάπτων καὶ τοῦ βλάπτειν τὰ ἴδια μὴ ἀπαλλαττόμενος, ὁ δὲ ἀγαθὸς ἀεὶ ἀγαθὸς καὶ ὠφελῶν καὶ τὰ ἑαυτοῦ ὠφελῶν καὶ μηδέποτε μὴ ὠφελῶν. Πᾶσα γὰρ ὠφέλεια ἐξ ἀγαθοῦ προήρχετο». Ταῦτα μὲν οὕτως εἰσηγείσθωσαν· εἰ κακία οὐσιώδης ἦν καὶ καθ' ἑαυτὴν ἦν, τί τὸ μεσολαβοῦν; Τί τὸ διαιροῦν, ἵνα μὴ συγχέωνται αἱ οὐσίαι; Μηδενὸς γὰρ τειχίζοντος ἐφύρετο ἂν τὸ πᾶν καὶ ὁμοῦ κακία καὶ ἀρετὴ ἦν, καὶ ὁμοῦ ἐχέοντο καὶ συνεφύροντο ἀμφότεραι αἱ οὐσίαι, καὶ οὐκέτι τὸ ἕτερον τοῦ ἑτέρου ἀφώριστο· ἀλλ' ἡ συνουσία

1. Πρβλ. Λουκ. 11,26. Ματθ. 12,45.

φύρσιν χειρίστην ἀπεργαζομένη τὸ μὲν κακὸν οὐκ ὠφέλει, τὸ δὲ καλὸν ἐλύπει. Καὶ ἀεὶ τὸ μὲν κακὸν ἔδρα, τὸ δὲ καλὸν ἐβλάπτετο· καὶ τί ἕτερον ἢ ἔκδοτος ἡ ἀγαθότης ἐγίγνετο, οὐδὲν μὲν δρᾶσαι δυναμένη· ἀεὶ δὲ ἁλισκομένη παρὰ τῆς πονηρίας, καὶ οὔτε αὐτὴ τὰ ἑαυτῆς ἐργαζομένη; Εἰ γὰρ τὰ ἑαυτῆς οὐκ ὠφέλει οὔτε ἀμύνασθαι τοῖς ἰδίοις ἠδύνατο, ἀλλ' ἠσθένει ἐν τοῖς ἰδίοις, πῶς δύναται φύσις εἶναι ἀγαθὴ μήτε τὰ ἴδια κερδᾶναι, μήτε τὰ ἀλλότρια ὠφελῆσαι δυναμένη; Ἔδει γὰρ αὐτήν, ἅτε φύσιν ἀγαθὴν οὖσαν, ἀβλαβῆ μὲν τὰ ἴδια τηρῆσαι, ὠφελῆσαι δὲ τὰ ἀλλότρια. Εἰ δὲ οὐδ' ἑκάτερον τούτων ποιῆσαι βεβούληται, οὐδὲ μετέβαλε μὲν τὰ αἰσχρά, οὐ τετήρηκε δὲ τὰ ἴδια, ἀλλὰ τὰ μὲν ἐσκυλεύετο, τὰ δὲ πονηρότερα ἐγίνετο, καὶ ἑαυτὰ βλάπτοντα καὶ ἑαυτοῖς ἐπικυροῦντα, πῶς οὐκ ἔστιν ὕβρις καὶ κατηγορία τῶν καλῶν; Πῶς ἡ εἰσήγησις αὕτη οὐκ ἔστιν μὲν συνηγορία τοῦ διαβόλου, κατηγορία δὲ τοῦ Θεοῦ; Ἰδοὺ τοίνυν συνήγοροι τοῦ διαβόλου ἀνεφάνησαν οἱ Μανιχαῖοι· κατήγοροι δὲ τοῦ Θεοῦ· εὐτελίζοντες μὲν καὶ σμικρύνοντες τὰς ὑπεροχὰς τοῦ Θεοῦ, μεγεθύνοντες δὲ τὰς δυνάμεις τοῦ διαβόλου. Εἰ γὰρ ἐκεῖνος ἀεὶ ἔβλαπτε καὶ οὐδέποτε οὐκ ἔβλαπτεν, ἀλλ' ἔβλαπτε τὰ καλὰ καὶ **48** παρήει μηδὲν μὲν ὑπὸ τοῦ καλοῦ ὠφελούμενος, ἀεὶ δὲ ἀδικῶν καὶ βλάπτων τὸ καλόν, πῶς οὐχ ὁ μὲν μέγας καὶ ἰσχυρὸς φανήσεται; Ὁ δὲ ἀδρανὴς καὶ οὐδὲν ἀναδειχθήσεται, εἰ δὲ ἦν, τί τὸ τειχίζον καὶ διαιροῦν; Καὶ μέσα ἦν τειχία μεταξὺ τῶν οὐσιῶν, ἵνα μὴ τῇ ἄλλῃ οὐσίᾳ ἑκάτερα ἐπιχειρῇ, ἀρρήτου τινὸς δυνάμεως μέσως κειμένης; Ἐρωτητέον πότερόν ποτε τὸ τειχίον ποιητόν, καὶ ὑπὸ τίνος ποιητόν. Εἰ μὲν γὰρ ποιητόν, ἀπὸ πονηροῦ δὲ ποιητὸν φήσομεν, ὕποπτος ἄρ' ἦν ἡ πονηρία καὶ δειλιῶσα, μὴ πάθῃ, ἀσφάλειαν ἑαυτῇ διὰ τοῦ τειχίσματος ἐμνηστεύσατο, καί πως δειλιῶσα, μὴ πάθῃ, αὐτὴ ἔδρασε καὶ ἁρπάσασα ᾤχετο· καὶ ποτε γέγονεν ἐνύποπτος; Εἰ μὲν γάρ τινος συμβεβηκότος, ποῖον πρῶτον μυθοποιοῦσι πόλεμον ὕλης καὶ Θεοῦ, ἵνα φοβουμένη ἡ ὕλη τειχίῳ χρήσηται, δειλιῶσα μὴ αἱρεθῇ; Εἰ δὲ προέλαβε τὴν μάχην καὶ πολέμου μὴ συστάντος τοῦ τειχίου προενοεῖτο, προμηθεστάτην αὐτὴν φήσουσιν ἔπαινον αὐτῆς τὸ προμηθὲς καὶ σοφὸν αὐτῆς ἀποδεικνύντες καὶ λύουσι τὸν τῆς ὕλης ὅρον, οὐκέτι ἄσοφον καὶ ἄφρονα αὐτὴν ἡγούμενοι, ἀλλὰ προμηθεστάτην αὐτὴν καὶ σοφὴν λογιζόμενοι.

ΛΒ'. Εἰ δὲ Θεὸν δεδρακέναι καὶ ἀρχιτεκτονηκέναι τὸ τειχίον φήσουσι, δύο ἀτόπους διαβολὰς πλέκοντες κατὰ τοῦ Θεοῦ ἐλεγχθήσονται τήν τε τῆς δειλίας καὶ τοῦ ἀστρατηγήτου· τειχίου γὰρ ἐπιμελούμενος, δειλιῶντι ἐῴκει καὶ συνεγνωκότι ἑαυτῷ ἀσθενείας. Ἀεὶ γὰρ οἱ δυνάμενοι παθεῖν ἐρυμάτων προνοοῦνται. Ἄλλως τε οὐκ ἀσφαλεῖ τῷ τειχίῳ κέχρηται καὶ οὐ δυναμένῳ σεισθῆναι· οὐκ ἂν γὰρ ἡ σατανικὴ φύσις μέρος ἥρπασε τοῦ φωτός. Εἰ δὲ καὶ αὐτογένητον φήσουσι, τρίτον ἐκ τοῦ λόγου ἄλλο ἀνεφάνη τὸ ἀγένητον — καὶ πότερόν ποτε τῇ οὐσίᾳ τρίτον, ἢ τῇ ποιότητι τρίτον, μὴ δὲ ἑτέρῳ ἀπεικασμέ-

νον, ἀλλ' ἕτερόν τι παρ' ἕτερον; Ἵνα μήτε ὡς Θεὸς ἦν, μήτε ὡς Σατανᾶς ἦν, ἀλλ' ἕτερόν τι παρὰ Θεόν, ἕτερόν τι παρὰ Σατανᾶν; Καὶ ποία ἂν εἴη τρίτη οὐσία μήτε ἀγαθὴ μήτε ὑλικὴ ἢ οὐδ' ὁπότερον οὖσα; Εἰ γὰρ ἐροῦσιν, ὅτι μέση καὶ ἀδιάφορος, καὶ ἐν τούτῳ ψεύδονται. Αὕτη γὰρ ἡ μέση καὶ ἀδιάφορος οὐδέποτε καθ' ἑαυτὴν ἔσται, ἀλλ' ἑκατέρου τὴν μίμησιν λαμβάνει καὶ ἐν μεθέξει ὁποτέρου γενήσεται, καὶ ταύτην ἔχει τὴν ἕξιν, δυναμένη ἐν μεθέξει ὁποτέρου εἶναι. Καὶ οὐκέτι ἔσται τειχίον ἄρρηκτον καὶ διοριστικόν, τῆς ἐπιχειρήσεως ἑκατέρου κωλυτικόν. Μέσον γὰρ ὂν καὶ μετασχηματιζόμενον τῇ ἑνὸς κοινωνίᾳ, προστίθεται τῷ ἠρηκότι καὶ ἤτοι θεῖον ἂν ἐγένετο, τὸν Θεὸν ἀπομιμησάμενον, ἢ κακόν, τὸ κακὸν ἀποτετυπωμένον.
49 Εἰ δὲ τοῦτο ἐγίγνετο, οὐκέτι κακία πρὸς ἀρετήν, ἀλλὰ δύο καθ' ἑνὸς ἐχώρουν καὶ τὸ ἕτερον ἐπολιορκεῖτο ὑπὸ δύο πιεζόμενον. Ὅπου γὰρ ἡ ῥοπὴ τοῦ μέσου ἐγίγνετο, προσθήκης γενομένης διπλάσιος φανεὶς ὁ λόγος κατὰ τοῦ ἑτέρου τὴν ἐπιχείρησιν ἐργάζεται. Εἰ δὲ ἐροῦσιν οὐκέτι τειχίον εἶναι τὸ μέσον καὶ διαιροῦν τὸ γειτνιᾶν τὰς οὐσίας καὶ πλησιάζειν ἑαυταῖς, ἀλλ' εἶναί τι κενὸν καὶ ἀχανὲς μέσον, τῆς διαστάσεως αἴτιον, λέξουσι πάλιν ὃ οὐκ ἴσασι. Τί γάρ ἐστιν ἀχανές, τί δέ ἐστι κενὸν ἢ ἐπίνοια τοῦ κενοῦ καὶ ἀχανοῦς; Εἰ μὲν γὰρ ἔστι τι, οὐκ ἔστι κενὸν οὔτε ἀχανές· εἰ δὲ οὐδέν ἐστι καὶ διὰ τοῦτο κενόν ἐστιν, ὅτι οὐδέν ἐστι, καὶ διὰ τοῦτο ἀχανές, ὅτι οὐδ' ὅλως ὑπάρχει, πῶς τὰ μὴ ὄντα διαιρεῖ; Πῶς τὸ μηδ' ὅλως ὑπάρχον τὰ ὑπάρχοντα καὶ τὰ ὄντα διαστέλλει; Τὰ γὰρ μηδαμῇ μηδαμῶς ὄντα τὰ ὑπάρχοντα καὶ ὄντα διακρῖναι οὐ δυνήσεται. Καὶ τοιοῦτος μὲν ἠνέχθη ὁ ἔλεγχος.

ΛΓ'. Ἐπειδὴ δὲ ἔτι ἐν τῇ πλάνῃ καὶ ἐν τῇ ἀπάτῃ προκόπτοντες ἔτι ἀπατηλότερα καὶ πεπλανημένα ῥήματα προφέρουσι, μὴ σιωπήσωμεν. Φασὶ γὰρ ὅτι προϊοῦσα ἡ πονηρία καὶ καθ' ἑαυτὴν χωροῦσα ἑαυτὴν ἠδίκει καὶ ἑαυτὴν ἐλυμαίνετο, ὡς δὲ ἐπέστη τῷ χωρίῳ τῆς ἀληθείας, ἐξεπλάγη, θαῦμα ἔλαβε τοῦ ἐξαπιναίου φωτός, ἐπελάθετο τῆς ἰδίας μάχης, ἐπέθετο τῷ φανέντι, ἥρπασε φῶς, κατέπιε τὸ θεωρηθέν. Ἐνταῦθα λοιπὸν πολὺς ὁ γέλως καὶ μεγάλη ἡ χλεύη, ἐνταῦθα πᾶς πεπάτηται μῦθος Ἑλληνικός, νικώμενος τούτῳ τῷ σχήματι. Λέγονται γὰρ μῦθοι οἱ μῦθοι, ἀλλ' ὡς μῦθοι πιστεύονται· οὗτος δέ, εἰ μὲν ὡς ἐλέγετο μῦθος, ὡς μῦθος ἐπιστεύετο, μικρὰν ἂν εἶχε τὴν ζημίαν, νῦν δὲ νικᾷ μὲν τοὺς μύθους, πιστεύεται δὲ παρὰ τοῖς ἄφροσιν ὡς ἀλήθεια. Εἰ γὰρ ὡς μεμηνυῖα, ὥς φατε, καὶ καθ' ἑαυτὴν πολιορκοῦσα, ἐφθακυῖα εἰς τὰ οἰκεῖα ὅρια, εἶδε φῶς καὶ κατεπλάγη καὶ ἀπηλλάγη τῆς ἰδίας μάχης καὶ ἐπέθετο τῷ φανέντι <καὶ> ἥρπασε τὸ θεωρηθέν, πῶς οὐκ ἀδύνατοι καὶ ψευδεῖς φανήσονται οἱ λόγοι; Πῶς γὰρ ἑαυτὴν ἠδίκει ἡ πονηρία, ἑαυτὴν ἀνῄρει· ἑαυτὴν ἠφάνιζεν, ἄρτι μὲν καταπίνουσα, ἄρτι δὲ γεννῶσα, εἴγε ἀγένητος ἦν; Ἐλύετο γὰρ ἑαυτὴν ἀναιροῦσα καὶ εἶναι οὐκέτι ἐδύνατο, ἑαυτὴν διαφθεί-

ρουσα. Εἰ δὲ τὰ μέρη ἑαυτῆς εἶχε διαφθειρόμενα, ποῖον ἐνέχυρον αὔταρκες ὅτι ὅλη οὐ διαφθείρεται, τῶν μερῶν διαφθείρεσθαι πεφυκότων; Εἰ δὲ καὶ ἑαυτὴν ἐγέννα καὶ εἶναι ἤρχετο, ἀρχομένη δὲ τοῦ εἶναι καὶ γεννητὴ ἦν, πῶς ἔτι ἀγένητος; Διὸ οὐκέτι παρ' ἑτέρου τὸν ἔλεγχον τῆς ἀτόπου δόξης αὐτῶν λήψονται, ἀλλ' ἀπὸ τῆς οἰκείας φλυαρίας. Πολλὰ **50** γὰρ φθεγγόμενοι ἑαυτοῖς μαχόμενοι φθέγγονται καὶ οὐκέτι ἀναμένουσιν ὑφ' ἑτέρου ἐρυθριᾶν, ἀλλὰ φλυαροῦντες τοῦτο ἀπὸ τῆς οἰκείας προπετείας πάσχουσι. Τὸ γὰρ δυνάμενον λύεσθαι καὶ λύσιν ἐπιδεχόμενον καὶ δυνάμενον διαφθείρεσθαι πῶς ἂν εἴη ἀγένητον; Πῶς ἂν εἴη ἀφ' ἑαυτοῦ ὄν; Πῶς οὐκ ἀφ' ἑτέρου ἤρξατο, τοῦ μὲν τοιούτου ἀνωλέθρου καὶ ἀπαθοῦς ὑπάρχοντος, τοῦ δὲ δυναμένου ἀφανίζεσθαι καὶ διαφθείρεσθαι οὐκ ἀφ' ἑαυτοῦ ὄντος; Εἰ δὲ διαφθείρεται, ὥς φατε (τοῦτο γὰρ ὁ ὑμέτερος ὁρίζει λόγος, τὸ καταπίνεσθαι ὁμολογῶν [τὸ] εἶναι ἅλωσιν καὶ φθορὰν τὴν κατάποσιν τῶν καταπεπομένων) καί ἐστιν ἁλωτὴ καὶ λυτὴ καὶ λυομένη καὶ ἀναλισκομένη, οὐκέτι τὰ τῶν μὴ ἀφανιζομένων ὑποστήσεται, μὴ ἔχουσα δὲ τὴν φύσιν ἀβλαβῆ καὶ ἀνώλεθρον, οὐκέτι ἀγένητος ὑποπτευθήσεται, μὴ οὖσα δὲ ἀγένητος, οὔτε ἄναρχος οὔτε ἀτελεύτητος φανήσεται ἡ κακία, ἄλλοτε μὲν οὐκ οὖσα, ἄρτι δὲ δοκοῦσα μόνον ἐμβομβεῖν. Καὶ γὰρ ὅ ἐστιν οὐκ οὐσία ἐστίν, ἀλλὰ νόσημά τι συμβεβηκὸς περὶ τὰς οὐσίας, δυνάμενον τῶν οὐσιῶν καὶ τῶν ὑποστάσεων χωρισθῆναι. Ὅτι γὰρ αὐτὸς ὁ ἀπατεὼν ὅπερ ἐστὶ κατὰ πτῶσιν καὶ κατ' ὄλισθον τυγχάνει, τῆς πτώσεως καὶ τοῦ ὀλίσθου μαρτυροῦντος τῇ ὑπεξαιρέσει τῶν προϋπηργμένων καλῶν, μαρτυρεῖ μὲν Ἡσαΐας ὁ προφήτης· «πῶς ἐξέπεσεν ἐκ τοῦ οὐρανοῦ ὁ ἑωσφόρος, ὁ πρωῒ ἀνατέλλων»[1]; Τὴν μὲν τοιάνδε αὐτοῦ κατάστασιν ἔκπτωτον εἰδώς, τὴν δὲ παλαιὰν θείαν καὶ διαυγεστάτην καὶ ἱεροπρεπεστάτην τυγχάνουσαν, μαρτυρεῖ δὲ καὶ ὁ Σωτήρ, ἐν τῷ εὐαγγελίῳ λέγων· «Ἰδοὺ ὁρῶ τὸν Σατανᾶν ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ οὐρανοῦ»[2]. Εἰ δὲ οὕτως ἐπεφύκει καὶ οὕτως ἦν, οὐκ ἂν πῇ μὲν πτῶσις, πῇ δὲ ἔκπτωσις ἐκαλεῖτο. Τὸ γὰρ πῖπτον ἀπό τινος στάσεως πίπτει, τὸ δὲ ἐκπῖπτον ἀπό τινος περιουσίας ἐκβαίνει. Εἰ δὲ ἐν πεσοῦσι λέγεται, ἦν ποτε ἐν στάσει καὶ ἑδραιότητι τυγχάνων. Εἰ δὲ καὶ ἐν τοῖς ἐκπεπτωκόσι κατηγορεῖται, οὐ πένης ἦν, οὐκ Ἶρος ἦν ποτε, ὅτε πολλὴν περιουσίαν εἶχε, καὶ διά τινα νόσον στέρησιν τῆς περιουσίας ὑπομείνας ἐν πεπτωκόσι κρίνεται; Ἀμέλει καὶ τὴν περιουσίαν ἡ Γραφὴ ὁμολογεῖ. Εἰ γὰρ «πῶς ἐξέπεσεν ὁ ἑωσφόρος»[3] καὶ περιουσία ἦν τὸ ὄνομα καὶ ἑωσφόρος ὢν αὐτὴν τὴν τοῦ ἑωσφόρου ἐνέργειαν καὶ δύναμιν καὶ περιουσίαν καὶ κτῆσιν εἶχε καὶ ταύτης ἐκπεσὼν ταύτης γέγονε κενός, καὶ πενητεύει μὲν ἐν τῇ περιουσίᾳ τοῦ ἑωσφόρου, ἀλητεύει δὲ καὶ κινδυνεύει, καὶ Ἶρος ὢν καὶ ἔκπτωτος, ὁ πάλαι πολλὴν περιουσίαν

1. Ἡσ. 14,12. 2. Πρβλ. Λουκ. 10,18. 3. Πρβλ. Ἡσ. 14,12.

ἔχων. Εἰ δὲ κατὰ τὸ εὐαγγέλιον **51** τῶν πιπτόντων ἐστὶ καὶ χαμαὶ κειμένων καὶ κυλινδουμένων λοιπὸν ἐν τῷ ἐδάφει, εἱστήκει ποτὲ καὶ ἠδύνατο λέγειν· «ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ»[1], ἠδύνατο ἀκούειν «στῆτε περιζωσάμενοι τὰς ὀσφύας ὑμῶν ἐν ἀληθείᾳ»[2] καὶ δυνάμενος τοῦτο ἀκούειν οὐκ ἠσφαλίσατο τὸ εἰρημένον λόγιον, «ὁ δοκῶν ἑστάναι βλεπέτω μὴ πέσῃ»[3], καὶ μηδεμίαν πρὸς τὸ τοιοῦτον πεποιημένος ἀσφάλειαν ἐν τοῖς τοιούτοις σήμερον κυλινδεῖται. Τὸ γὰρ ἀεὶ χαμαὶ κείμενον οὐκ ἂν πέσοι (κεῖται γὰρ χαμαί), τὸ δὲ πεπτωκὸς καὶ χαμαὶ γεγονὸς ἀπὸ ἑστηκότων καὶ ἐρηρεισμένων οὐκ ἐπὶ τὸ πεσεῖν ἐλεύσεται, καὶ τὸ ἀεὶ πενητεῦον καὶ οὐδέποτε εἰληφὸς οὐδεμίαν περιουσίαν οὐδέποτε ἐκπεσεῖται· ἀεὶ γὰρ οὐδὲν ἔχει καὶ οὐ δύναται ἐκπεσεῖν, οὐδὲν οὐδέποτε ἐσχηκός. Τὸ <δὲ> ἔκπτωσιν ὑπομεῖναν καὶ πεπονθὸς ἀπὸ πολλῆς περιουσίας καὶ ὑπάρξεως τυγχάνει. Καὶ τοιοῦτος μὲν ὁ πρῶτος ἔλεγχος.

ΛΔ'. Ἀλλ' ἐπειδή, φασίν, ἔτι προϊοῦσα ἡ κακία καὶ ἑαυτὴν καταπίνουσα καὶ γενομένη πρὸς τῷ φωτὶ ἥρπασεν ἀπὸ τοῦ φωτὸς καὶ κατέπιεν ἀπὸ τοῦ φωτός, φέρε τὴν πρεσβείαν, ἣν ὑπὲρ τοῦ πονηροῦ πεποίηνται κατὰ τῆς ἀληθείας, καταλῦσαι μὴ παραιτησώμεθα. Ἐπαίρουσι γὰρ τῷ λόγῳ τούτῳ τὴν πονηρίαν, εὐτελίζουσι δὲ τὴν ἀλήθειαν, καὶ νεῦρα μὲν διδόασι τῇ πονηρίᾳ, ἄνευρον δὲ τὴν ἀλήθειαν ὑποτίθενται. Εἰ γὰρ ἡ μὲν πονηρία ἥρπασε, τὸ δὲ φῶς ἥρπασται καὶ ἀρξόμενον ἔπασχε καὶ πάσχον παθητὸν ἦν, παθητὸς μὲν κατ' αὐτοὺς ὁ Θεός, ἀπαθὴς δὲ ὁ Σατανᾶς, ὁ μὲν δυνάμενος παθεῖν, ὁ δὲ δυνάμενος δρᾶσαι. Τοῦ γὰρ φωτὸς ὄντος παθητοῦ καὶ αὐτὸς ἂν εἴη παθητός, οὐχ ἕτερος ὢν παρὰ τὸ φῶς, εἴ γε ἠδυνήθη παθεῖν καὶ παθεῖν μὴ ἀφ' ἑαυτοῦ, ἀλλ' ὑπὸ τοῦ πολεμίου καὶ μαχομένου, καὶ ἀποστῆναι μὲν ἑαυτοῦ, γενέσθαι δὲ πρὸς τῷ χείρονι. Πῶς δὲ καὶ τῶν ἰδίων κεχώρισται ὁ τὴν ἑνωτικὴν φύσιν ἔχων; Τὰ γὰρ κατὰ φύσιν πεφυκότα χωρίζεσθαι ἑαυτῶν οὐ πέφυκεν. Εἰ δὲ ἀγένητον ἦν τὸ φῶς καὶ ἥνωτο τῷ ἀγενήτῳ, πῶς ποτε χωρισθῆναι δεδύνηται; Πῶς δὲ ἀπαλλαγῆναι ἑαυτοῦ καὶ γενέσθαι ἕτερον παρ' ἑαυτό; Εἰ γὰρ ὑπηρέτησε πονηρῷ καὶ βεβιασμένον ὑπὸ τῆς πονηρίας λοιπὸν τὰ πονηρίας ᾑρεῖτο καὶ ἔπραττε τὰ πονηρίας καὶ ἠγνόει μὲν ἑαυτὸ καὶ οὐκέτι ἑαυτὸ ἐγνώριζεν, ἀλλ' ἐπιλῆσμον ἑαυτοῦ ἐγεγόνει, ᾤετο δὲ ἑαυτὸ τοιοῦτον εἶναι οἷόν ἐστι καὶ τὸ πονηρόν, μαχόμενος φανήσεται ὁ λόγος. Τὸ γὰρ ἀγένητον οὔτε **52** ἑαυτὸ ἀγνοεῖ οὔτε ἔσται ἕτερον παρ' ἑαυτό, ἀλλὰ τοιοῦτον διαμένει οἷον ἦν καὶ οὐδέποτε ἑαυτοῦ ἀπαλλαγήσεται, οὐδέποτε τοῦ εἶναι ἀρξάμενον.

ΛΕ'. Ἀλλ' ἐπειδὴ γραώδη καὶ μυθώδη φθέγγονται, οὔτε ἃ λέγουσιν εἰδότες, ἀλλ' ἀφ' ὧν λέγουσι δυσωπούμενοι, καὶ τοῦτο προσγράψωμεν τῷ λόγῳ. Εἰ ἠδύνατο τὸ φῶς ἀμειφθῆναι καὶ ἕτερον

1. Ψαλ. 12,12. 2. Πρβλ. Ἐφ. 6,14. 3. Α' Κορ. 10,12.

παρ' ἑαυτὸ γενέσθαι καὶ γενέσθαι πρὸς τῇ πονηρίᾳ καὶ ἑαυτοῦ μὲν ἐπιλαθέσθαι, ποιῆσαι δὲ ὅσα ἡ πονηρία ποιεῖ, ἠδύναντο καὶ οἱ τῆς πονηρίας ἄρχοντες τοῦτο παθεῖν καὶ μᾶλλον μεταβάλλεσθαι ἐπὶ τὸ καλόν. Ἰσχυούσης δὲ τῆς μεταβολῆς καὶ δυναμένης τῆς ἀλλοιώσεως, πῶς οὐκ ἄμεινον ἦν τῆς κακῆς μᾶλλον ἐπὶ τὴν ἀρετὴν μεταβληθῆναι ἢ τῆς καλῆς ἐπὶ τὴν κακίαν; Πῶς δὲ καὶ ἠνέσχετο ὁ Θεὸς καὶ ληφθῆναι τὸ φῶς ἐπέτρεψε; Πῶς οὐ κεκώλυκε τὴν ὁρμήν; Πῶς τὰ ἴδια οὐκ ἐτήρησε; Πῶς δὲ μετὰ τὸ ἀφαιρεθῆναι πρόνοιαν τῶν ἀφαιρεθέντων ποιήσασθαι οὐ βεβούληται; Πῶς οὐ προλαβὼν ἐπέσχε τὴν ἐπιχείρησιν; Πῶς μᾶλλον ἀνάλωτα οὐ τετήρηκεν, ἀλλὰ ἁλόντα καὶ ληφθέντα βοηθείᾳ οὐ τετίμηκεν; Εἰ μὲν εἴασεν, ἵνα τὸ φῶς γενόμενον ἐν τοῖς κακοῖς μεταβάλλῃ τὰ κακά, ὡς δυναμένων μεταβάλλεσθαι τῶν κακῶν, οὐκέτι τὰ κακὰ φύσει κακά, δυνάμενα μεταβάλλεσθαι—ἀπὸ τῶν κακῶν ἐνέχυρον τὴν μεταβολὴν κατὰ τῆς φύσεως λαμβάνει. Εἰ δὲ ἠπίστατο ὅτι οὐ μετεβάλλετο καὶ ὅτι οὐ πέφυκεν ἀλλοιοῦσθαι, πῶς μάτην εἴασε ζημίαν μὲν ὑπομεῖναι τὸ καλόν, κέρδος δὲ μὴ ἀπονεῖμαι τῷ κακῷ; Πῶς δὲ αὐτὰ μὲν τὰ κακὰ οὐκ ἀλλοιοῦσθαι οἶδεν, ἑαυτὸν δὲ καὶ τὰ ἑαυτοῦ καλὰ ἀλλοιούμενα παρεῖδεν; Ἄτοπος γὰρ ὅρος οὗτος αὐτὸν μὲν εἶναι ἀλλοιωτὸν διὰ τὸ ἀλλοιοῦσθαι τὰ ἑαυτοῦ, μὴ εἶναι δὲ ἀλλοιουμένην τὴν ὕλην.

ΛϚʹ. Καὶ τοιούτου μὲν τοιοῦτος ὁ ἔλεγχος, ἵνα πολλὴν συστείλωμεν ὁμιλίαν, τὰς προβολὰς αὐτῶν, τὰς μάχας, τὰς μυθοποιΐας ἐκείνας καὶ γιγαντομαχίας σιωπῶντες, ἵνα καὶ τὰ εἰρημένα περὶ τῆς ἀρχῆς τῶν πραγμάτων δίκην ἀφορμῆς τινος εἰρημένα τυγχάνῃ καὶ σπέρμα τῶν ζητήσεων ὑπάρχῃ. Ἐξεργασώμεθα δὲ καὶ τὸν περὶ τὸν νόμον, μετρίως εἰς τὸν περὶ τῆς ἀρχῆς κεκινημένοι λόγον. Ἀποδέχεσθαι γὰρ νενομίκασι τὸ εὐαγγέλιον, μέμφεσθαι δὲ ἐσπουδάκασι τῷ νόμῳ καὶ τοῖς προφήταις, καὶ πᾶσαν μὲν διαβεβλήκασι τὴν παλαιάν, τιμῆσαι δὲ ὑπονενοήκασι τὰ εὐαγγέλια, σχηματιζόμενοι μᾶλλον τὴν τῶν εὐαγγελίων **53** τιμήν, ἵνα τὸν σχηματισμὸν δέλεαρ τῶν ἀπατωμένων λάβωσιν. Οὐδὲ γὰρ ἐπειδὴ συντέθεινται τοῖς εὐαγγελίοις, τιμᾶν ὁμολογοῦσι τὰ εὐαγγέλια, ἀλλ' ἐπειδὴ τετίμηται τὸ ὄνομα τοῦ Ἰησοῦ, προσποιοῦνται τὴν τιμήν, ἵνα τοὺς τιμῶντας μεταποιήσωνται, ὡς βούλονται. Ἔδει γὰρ αὐτούς, εἴγε τὰ εὐαγγέλια ἐτίμων, μὴ περιτέμνειν τὰ εὐαγγέλια, μὴ μέρη τῶν εὐαγγελίων ἐξυφελεῖν, μὴ ἕτερα προσθεῖναι, μήτε λόγῳ μήτε ἰδίᾳ γνώμῃ τὰ εὐαγγέλια προσγράφειν. † Οὐδὲ γλῶσσα ἔχει τὰ εὐαγγέλια ταῦτα καὶ ἀναγνώσει παραπέμπουσι. † Προσγεγραφήκασι γοῦν ὅσα βεβούληνται καὶ ἐξυφείλαντο ὅσα κεκρίκασι καὶ λοιπὸν ὀνόματι καλοῦσι τὸ εὐαγγέλιον τὸ σῶμα τοῦ εὐαγγελίου μὴ τετηρηκότες τὸ σῶμα, ἀλλ' ἕτερον σῶμα γραμμάτων μέχρι τοῦ ὀνόματος τοῦ εὐαγγελίου φθάνον πεποιηκότες ταῖς ἰδίαις βουλήσεσι. Μεῖζον γὰρ Ἑλλήνων ἠτιμάκασι τὰ εὐαγγέλια. Οἱ μὲν γὰρ οὐ δέχονται καὶ μὴ δεχόμενοι

οὐ διαφθείρουσιν, ἀλλὰ μόνον ἀποσείονται, οὐ μὴν καὶ ἐμβατεύουσι τοῖς γράμμασιν, οἱ δὲ εἰληφέναι δοκοῦντες ἐνεβάτευσαν, ἐνεχόρευσαν, ἐνεκαπήλευσαν τοῖς γράμμασι, καὶ γοήτων ἔργα καὶ πονηρῶν δεδράκασιν. Ἐκεῖνοι ἠπίστησαν, ψιλῇ τῇ ἀπιστίᾳ κέχρηνται, ἃ μὴ πιστεύουσι φιλολογῆσαι οὐκ ἠνέσχοντο. Οὗτοι ἐν μέσῳ γενόμενοι λύειν τὴν ἁρμονίαν ἐπικεχειρήκασι, καταλύειν τὸν ῥυθμὸν τετολμήκασι τετεχνασμένοις μαθήμασιν, ὑπόθεσιν ἀπάτης τὸ ὄνομα τοῦ εὐαγγελίου παρεσκευακότες. Εἰ γὰρ ᾔδεισαν τὸ εὐαγγέλιον, οὐκ ἠγνόουν τὸν νόμον· εἰ δὲ ἠγνόησαν τὸν νόμον, πῶς τὸν Ἰησοῦν παρεδέξαντο; Δίχα γὰρ <τοῦ> νόμου Ἰησοῦς οὐ παραλαμβάνεται. Ὁ γὰρ τὸ τέλος ποθῶν τὴν ἀρχὴν περιεργάζεται, ὁ δὲ τῆς ἀρχῆς γενόμενος ὑπερόπτης κενοπαθεῖ, κενολογεῖ, πρὸς τέλος ἀφήξειν οὐκ ἔχει. Εἰ δὲ τέλος νόμου Χριστός, ματαιοπονοῦσι, νόμου μὲν φυγάδες ὄντες, Ἰησοῦν δὲ εἰδέναι ἐπαγγελλόμενοι. Εἰ μὴ νόμος λαλήσει, ὁ Κύριος οὐκ ἐπιγινώσκεται. Ἡ γὰρ σιωπὴ τοῦ νόμου ἄγνοια τοῦ κηρυττομένου, ἡ δὲ τοῦ νομοθέτου μάθησις ἐπίγνωσις τοῦ προκαταγγελλομένου. Εἰ γὰρ Μωϋσέως ἤκουον, ἐπίστευον εἰς τὸν προεληλυθότα. Ἀμέλει οὐδὲ πιστεύεται ὁ ἐγηγερμένος, εἰ μὴ πίστιν ὁ νόμος τοῖς ἀκούουσιν ἐμποιήσει. Κἂν γάρ τις λέγῃ· «πέμψον Λάζαρον ἵνα ἀναγγείλῃ τοῖς ἀδελφοῖς μου μὴ ἐλθεῖν εἰς τὴν **54** ὁδὸν τῆς βασάνου ταύτης»[1], καὶ λέγοντος Ἀβραάμ· «ἔχουσι Μωσέα καὶ τοὺς προφήτας»[2] εἴπῃ· «ἐὰν μή τις ἐκ νεκρῶν ἀναστῇ, οὐ μὴ πιστεύσωσι»[3], ἀκούσεται· «εἰ Μωσέως καὶ τῶν προφητῶν οὐκ ἤκουσαν, οὐδὲ ἐάν τις ἐκ νεκρῶν ἀναστῇ, ἀκούσονται»[4]. Βαβαί! Οὔτε γὰρ ἡ τοῦ ἐγηγερμένου παραγγελία τῇ τοῦ νόμου καὶ τῶν προφητῶν προμηθείᾳ <μάχεται>· δορυφορούμενος γὰρ ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν ὁ Ἰησοῦς δίχα τῆς συνουσίας αὐτῶν οὐδὲ τοῖς ἀποστόλοις φαίνεσθαι ἠξίωσε, καὶ δυνάμενος ὑπὸ τοῦ Πατρὸς μαρτυρεῖσθαι, οὐκ ἠτίμασε τὴν συνουσίαν τῶν ἁγίων, ἀλλὰ ταῖς ὄψεσι τῶν ἀποστόλων πίστιν ἀκριβεστάτην βουλόμενος παρασχέσθαι, ὡς ἀνῆγεν ἐν τῷ ὄρει καὶ μετεμορφοῦτο[5], ἐδείκνυε Μωϋσέα καὶ Ἠλίαν, ἵνα ἡ συνουσία τῆς ἁγιότητος γένηται μαρτυρία καὶ ἵνα ὁ δεχόμενος τὸν Ἰησοῦν τοὺς συνόντας μὴ ἀτιμάσῃ, ἵνα μὴ τοὺς δορυφόρους καὶ ὑπηρέτας εὐτελίζων αὐτὸν ἀτιμάζων ἢ τὸν βασιλέα. Τοσαύτην γοῦν ἐπιμέλειαν τοῦ νόμου καὶ τῶν προφητῶν πεποίηται ὁ Σωτὴρ ὡς μηδὲν ἀτελὲς ποιῆσαι τοῦ νόμου, πάντα δὲ ἀνύειν τὰ γεγραμμένα, βοᾶν δέ· «οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι»[6], εἰσιέναι δὲ ἐν τῷ ἱερῷ καὶ τὰς ἀτόπους οἰκονομίας ἐξωθεῖν, ἵνα τὸν οἶκον καθαρὸν ἀποδοὺς πίστιν ἀκριβεστάτην τῷ πράγματι παράσχῃ ὡς οἰκείων καὶ πατρῴων ἐπιμελό-

---

1. Πρβλ. Λουκ. 16,24,28. 2. Λουκ. 16,29. 3. Πρβλ. Λουκ. 16,30. 4. Πρβλ. Λουκ. 16,31. 5. Πρβλ. Ματθ. 17,2. Μάρκ. 9,2. 6. Πρβλ. Ματθ. 5,17.

μενος πραγμάτων. Βοᾷ γάρ· «ὁ οἶκος τοῦ Πατρός μου οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ αὐτὸν πεποιήκατε σπήλαιον λῃστῶν»[1]. Καὶ ἐπειδὴ μυρία ἐστὶ τὰ λόγια δυνάμενα δυσωπεῖν τὴν ἄτοπον ἐκείνων δόξαν, ἡμεῖς, ἵνα μὴ λόγοις πλείοσι χρώμενοι εἰς μῆκος ἐξαγάγωμεν τὸν λόγον, τοῖς μὲν ἄλλοις ἐπιτρέψωμεν ταῖς ἀναλογίαις τῶν ῥημάτων χρῆσθαι, ἡμεῖς δὲ συμμέτρως χρησάμενοι πρὸς αὐτὰς τὰς ἀντιθέσεις τῶν λογίων χωρήσωμεν.

ΛΖ′. Τὸ εὐαγγέλιον παραδεχόμενοι τὸν νόμον οὐ παραδέχονται· οὐδὲ γὰρ οὐδὲ ὁλόκληρον τὸ ἅγιον εὐαγγέλιον παραδέχονται. Ἦ γὰρ ἂν καὶ τὸν νόμον ἐλάμβανον, εἰ ὁλόκληρον τὸ εὐαγγέλιον ἐδέχοντο. Νῦν δὲ πρῶτον τὸ εὐαγγέλιον καπηλεύσαντες εἰκότως τὸν νόμον οὐ παραδέχονται. Ἐλέγχονται οὖν διὰ τὸ λελῃστευκέναι τὸ εὐαγγέλιον μὴ ἀνεχόμενοι τοῦ νόμου. Εἰ δὲ τῷ εὐαγγελίῳ μαρτυροῦσι καὶ οὐ τιμῶσι τὸν νόμον, ἠτιμάκασι τὴν μαρτυρίαν· οὐκέτι γὰρ ἡ ἀτιμία τοῦ νόμου, ἀλλ' ἡ ἀπιστία τοῦ μαρτυροῦντος. Καὶ εἰ μὲν ἓν τῶν εὐαγγελίων ἐμαρτύρει, ἕτερον δὲ ἐσιώπα καὶ καθ' ἑνὸς μόνου ἐγίγνετο ἡ ἀτιμία, οὐκ ἂν **55** ἐσιώπα τὰ ἄλλα εὐαγγέλια, κοινὴν ἀτιμίαν τὴν τοῦ ἑνὸς ἀτιμίαν ἡγούμενοι. Εἰ δὲ Μᾶρκος λέγει· «ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ καθὼς γέγραπται ἐν Ἡσαΐᾳ τῷ προφήτῃ»[2], ὁ δὲ Ματθαῖος· «βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυΐδ υἱοῦ Ἀβραάμ»[3], καὶ ὁ μὲν προπάτορα τῆς κατὰ σάρκα γεννήσεως οἶδε τὸν Ἀβραὰμ καὶ τιμᾷ τὸν Δαυΐδ, <ὁ δὲ> συνάπτει τὸ εὐαγγέλιον τῷ νόμῳ καὶ τοῦ εὐαγγελίου ἀρχὴν τὸν νόμον νενόηκεν, ἀληθεύει ὁ Σωτὴρ λέγων· «ὁ ὑμᾶς ἀθετῶν ἐμὲ ἀθετεῖ»[4]. Οὐκέτι γὰρ μέχρι τοῦ νόμου ἵσταται ἡ ἀτιμία, ἀλλ' ἐπ' αὐτὸν ἀναβαίνει τὸν Σωτῆρα. Καὶ οἱ μὲν Ἰουδαῖοι ἀκουέτωσαν· «εἰ Μωσέως ἠκούετε, ἠκούετε ἂν ἐμοῦ[5]· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν[6]. Οἱ δὲ Μανιχαῖοι ἀκουέτωσαν· εἰ τοῦ εὐαγγελίου ἠκούετε, τοῦ νόμου <ἂν> ἠκούετε· περὶ γὰρ τοῦ νόμου τὸ εὐαγγέλιον γεγράφηκεν. Ἀλλ' Ἰουδαῖοι μὲν κάλυμμα λαμβάνοντες οὐδὲ τὸν νόμον νενοήκασιν οὐδὲ τὸν καταγγελλόμενον ἐπέγνωσαν, οἱ δὲ αἱρεσιῶται ὀφθαλμοὺς ἔχουσιν οὐ βλέποντας, ὦτα ἔχουσιν οὐκ ἀκούοντα, διὰ τὸ μὴ παρακύψαι εἰς τὰ εὐαγγέλια τῷ νόμῳ ἐμαχέσαντο. Ἰδοὺ γὰρ ὁ μὲν Ἰωάννης βοᾷ· «ἐγένετο ἄνθρωπος ἀπεσταλμένος παρὰ Θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης, οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός»[7]. Οἶδε τὸν μάρτυρα καὶ οἶδε τὸν μαρτυρούμενον καὶ τὸν μάρτυρα προγράφει λέγων· «ὁ νόμος καὶ οἱ προφῆται μέχρις Ἰωάννου»[8]. Οὐκοῦν ὁ Ἰωάννης μαρτυρεῖ καὶ ὁ νόμος μάρτυς. Εἰ δὲ καὶ ὁ νόμος μάρτυς, καὶ μαρτυρεῖται ὁ νόμος, ὅρα ἡλίκον ἀτόπημα ἡ περὶ τὰς μαρτυρίας ἀπι-

---

1. Πρβλ. Ματθ. 21,13. Μάρκ. 11,17. Λουκ. 19,46. 2. Μάρκ. 1,1-2. 3. Ματθ. 1,1. 4. Λουκ. 10,16. 5. Πρβλ. Ἰω. 5,46. 6. Ἰω. 5,46. 7. Ἰω. 1,6-7. 8. Λουκ. 16,16.

στία νομίζει. Καὶ τοιαῦτα τούτων φθεγξαμένων οὐδὲ ὁ Λουκᾶς σιωπᾷ. Φησὶ γὰρ τὴν αὐτὴν φωνὴν καὶ συνῳδὰ τοῖς ἄλλοις φθέγγεται καὶ διηγεῖται ὅτι ἄρτι μὲν ὁ Γαβριὴλ τῇ Μαρίᾳ φανεὶς ἠφίει οὐράνιον ἀσπασμὸν λέγων· «χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ»[1]· ὡς δὲ ἐκείνη ἐπὶ τῷ λόγῳ ἐταράττετο καὶ διελογίζετο ἐν ἑαυτῇ λέγουσα «ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος;»[2] ἔλεγε· «μὴ φοβοῦ, Μαριάμ· εὗρες γὰρ χάριν ἐνώπιον τοῦ Θεοῦ καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας καὶ υἱὸς ὑψίστου κληθήσεται καὶ δώσει αὐτῷ Κύριος τὸν θρόνον Δαυΐδ τοῦ πατρὸς αὐτοῦ καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος»[3]. Καὶ τιμᾶται Δαυΐδ καὶ πατὴρ ὁμολογεῖται Σωτῆρος καὶ μένει ἡ ἀρχὴ καὶ παραδίδοται τῷ Κυρίῳ καὶ τέλος οὐ δέχεται, τῆς ἀρχῆς ἐν τῷ ἀτελευτήτῳ σεμνυνομένης.

ΛΗ'. Καὶ ταῦτα μὲν αἱ τῶν εὐαγγελίων ἀρχαί. Ἔδει γὰρ ἡμᾶς ἀπὸ τῶν ἀρχῶν τὸν λόγον ὑφᾶναι, ἵν' οὕτω κατόπιν τις βαδίζων τοῦ **56** λόγου καὶ τὴν ἀκολουθίαν καὶ τὴν ἁρμονίαν τῶν λόγων κατανοῇ ἐξ ὅλων τῶν εὐαγγελίων. Ἐπειδὴ δὲ καὶ ἡ ἀποστολικὴ διακοκονία χαρακτῆρα σῴζει εὐαγγελικὸν καὶ ὁ Παῦλος οἶδε καὶ τὴν διακονίαν ἑαυτοῦ τῶν παθημάτων ἐν μέρει εὐαγγελίου μετρεῖ (φησὶ γάρ· «κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ»[4]), ἡμεῖς μηδὲ τὰς ἀρχὰς τοῦ ἀποστόλου παραλείψωμεν, ἀλλὰ κἀκείνων εἰς μνήμην ἔλθωμεν, ἵνα πάσας τὰς Γραφὰς καὶ ἀρχὰς τῶν Γραφῶν παρελθόντες τῇ ὁμοφωνίᾳ τὸν νόμον οἰκονομήσωμεν. Γράφων μὲν τοῖς Ἑβραίοις οὕτως λέγει· «πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς προφήταις[5], ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ ἐποίησε τοὺς αἰῶνας»[6]. Ἐνταῦθα Πατέρα οἶδεν Υἱοῦ, καὶ Πατέρα ἐπιστάμενος Υἱοῦ οὐ μερίζει τὸ πρᾶγμα, οὐ σιωπᾷ περὶ τῶν παλαιῶν, οὐ προφήτας ἑτέρους προσγράφει, ἀλλὰ Θεὸν προφητῶν καὶ Πατέρα Υἱοῦ. Καὶ ὁ μὲν Παῦλος οὐ μεμέρικεν οὔτε διεῖλεν, ἀλλ' ὅλον κηρύττει, ὑπ' ἐκείνων μὲν προσκυνηθέντα, τοῦτον δὲ τεκόντα, καὶ τούτου μὲν γεννήτορα, ἐκείνοις δὲ προσκυνηταῖς καὶ ἱκέταις χρησάμενον. Οὐ γάρ εἰσιν ἱκέται οἱ προφῆται, τούτου ἐστὶν υἱὸς ὁ Χριστός. Εἰ δὲ τὸν Υἱὸν τιμᾷς, τοὺς δὲ ἱκέτας διαβάλλεις καὶ λοιδορεῖς, τῷ στόματι φθέγγῃ ἃ βούλει. Ὁρᾷς ὅτι ἀγανακτεῖ ὁ Υἱός; Οὐκ ἀνέχεται Πατρὸς ὑβριζομένου. Εἰ γὰρ ὁ Πατὴρ τὴν τοῦ Υἱοῦ ἀτιμίαν ἰδίαν ἀτιμίαν λελόγισται, πόσῳ μᾶλλον ὁ Υἱὸς τὴν τοῦ Πατρὸς ὕβριν ἰδίαν εὐτέλειαν λογιεῖται;

ΛΘ'. Ἵνα δὲ καὶ κατ' ὀλίγον φοιτῶντες κατὰ βραχὺ δυσωπήσωμεν, οὕτως ἐπιχειρήσωμεν τῷ τόπῳ. Εἰ Θεοῦ ὁ νόμος, διὰ τί οὐ παραδέχονται τὸν νόμον; Εἰ δὲ διαβάλλεις τὸν νόμον, τίνος ῥή-

1. Λουκ. 1,28. 2. Λουκ. 1,29. 3. Λουκ. 1,30-33. 4. Ρωμ. 2,16. 5. Πρβλ. Ἑβρ. 1,1. 6. Ἑβρ. 1,2.

ματα καὶ φωνὴ ὁ νόμος; Τίνος δυνάμει τὰ γεγραμμένα παρὰ τοῦ νόμου λελάληται; Ἐνταῦθα γὰρ αἱ αἱρέσεις διαιροῦνται καὶ οὐκέτι ὅμοια διαλέγονται, ἀλλ' ἑαυταῖς μαχόμενα. Καὶ Οὐαλεντινιανοὶ μὲν ὧδε, Μανιχαῖοι ὧδε, ἑτέρωθι δὲ Μαρκίων πτύσματα καὶ οὐ ῥήματα κατὰ τοῦ νόμου μαρτυροῦσι. Καὶ Οὐαλεντινιανοὶ μέν, δίκαιος, φασίν, ἦν ὁ τοῦ νόμου Θεὸς καὶ δίκαιος ὢν οὐ Πατὴρ ἦν τοῦ Υἱοῦ. Ἰησοῦς, φασίν, ἀγαθός· ἀγαθὸς δὲ καὶ ὁ Πατήρ, καὶ ὁ μὲν τοῦ Υἱοῦ Πατὴρ ἀγαθὸς καὶ ἀγαθὸν τὸ γεννώμενον, ὁ δὲ τοῦ νόμου δίκαιος. Καὶ τοιαῦτα διαλεγόμενοι, οἵαν σχέσιν τὸ δίκαιον πρὸς τὸ ἀγαθὸν ἔχει οὐ νενοήκασι, καὶ ὅτι εἴ τι δίκαιον καὶ ἀγαθόν, καὶ εἴ τι **57** ἀγαθὸν καὶ δίκαιον, οὐδ' ἐν φαντασίᾳ εἰλήφασι. Μὴ δυνάμενοι δὲ τοιαύτας ἔχειν φαντασίας, τοῦτο μόνον ἐρωτάσθωσαν· εἰ δίκαιος ὁ τοῦ νόμου Θεὸς καὶ οὐκ ἔστι Πατὴρ τοῦ Υἱοῦ, οὐκ ἔστι δίκαιος ὁ Ἰησοῦς· καὶ πῶς τὴν δικαιοσύνην ἀπὸ τοῦ Υἱοῦ ἀπαιτοῦμεν; Εἰ οὐ γεγέννηται ἀπὸ τοῦ δικαίου πῶς κρίνει; Πῶς δικάζει; Πῶς τὸ βῆμα ἐγκεχείρισται ἀπὸ τοῦ Πατρός; Πῶς ἑκάστῳ ἀποδίδωσι πρὸς ἃ ἔπραξε; Πῶς ἀληθεύει Παῦλος λέγων· «τοῖς μὲν καθ' ὑπομονὴν ἔργου ἀγαθοῦ ζητοῦσι ζωὴν αἰώνιον ὁ Θεὸς συνεργεῖ εἰς τὸ ἀγαθόν, τοῖς δὲ ἐξ ἐριθείας πειθομένοις τῇ ἀδικίᾳ ὀργὴ καὶ θυμὸς καὶ θλῖψις καὶ στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν»[1]; Λέλυται γὰρ τὰ ῥήματα, εἰ ὁ τοῦ δικαίου ὅρος τῷ Υἱῷ οὐκ ἀποδίδοται. Εἰ δὲ τιμωρία μὲν κατὰ τῶν ἐπταικότων κεῖται καὶ μέτρον τιμωρίας ἡ τοῦ δικαίου ἐπιστασία γίγνεται, τιμαὶ δὲ καὶ δωρεαὶ τοῖς εὐδοκιμοῦσιν ἀποταμιεύονται καὶ σταθμίζεται ἡ τιμὴ τῇ τοῦ δικαίου ἐπικρίσει, πῶς οὐ διαστέλλονται καὶ συστέλλονται τὴν προπέτειαν; Εἰ δὲ ὁ μονογενὴς μὲν τοιοῦτος, οὐ τοιοῦτος δὲ ὁ Πατήρ, οὐκέτι ὅμοιος ἐξ ὁμοίου γεγέννηται, οὐκέτι εἰκὼν τοῦ γεγεννηκότος[2], οὐκέτι «χαρακτὴρ»[3], οὐκέτι «ἀπαύγασμα»[4], οὐκέτι «ὁ βλέπων τὸν Υἱὸν βλέπει τὸν Πατέρα»[5], εἴ γε μὴ ὅσα ἔχει ὁ Υἱὸς ἔχει ὁ Πατήρ. Καὶ βοᾷ ὁ Σωτὴρ ἐν τῷ εὐαγγελίῳ· «Πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δὲ σὲ ἔγνων»[6].

Μ'. Τί πράξομεν; Νῶτα δῶμεν τῷ ῥήματι τοῦ Σωτῆρος; Ἀπιστήσομεν τῷ γεγραμμένῳ ἢ τὸ μὲν ῥῆμα θαυμάσομεν (τῆς γὰρ ἀληθείας ἐστὶ ῥῆμα), Οὐαλεντινιανοὺς δὲ ὡς μεμηνότας καὶ δαιμονιῶντας ἔξω τῶν θεοπρεπῶν καὶ ἱερῶν συνεδρίων στήσομεν; Ἀλλ' ἐπειδὴ ἄτοπόν τι πάσχομεν τὸν κατὰ τῶν αἱρεσιωτῶν μηκύνοντες λόγον, μὴ ταύτης τῆς ὑποθέσεως ἡμᾶς ἑλκούσης, ἀνακαλεσώμεθα τὸν λόγον καὶ ἐπὶ τὴν ὑποκειμένην ὑπόθεσιν χωρήσωμεν, καὶ ταῦτα τοῦ λυσιτελοῦς ἕνεκεν ἐσκεμμένοι, ἵνα μήτε οὗτος ὁ λόγος πάντη σεσιωπημένος ἡμῖν ὑπάρχῃ. Τριχῇ γὰρ ἡ πονηρία διῃρημένη κατὰ τοῦ

---

1. Πρβλ. Ρωμ. 2,7-9. 2. Πρβλ. Β' Κορ. 4,4. Κολ. 1,15. 3. Πρβλ. Ἑβρ. 1,3. 4. Ἔνθ' ἀν. 5. Πρβλ. Ἰω. 14,9. 6. Ἰω. 17,25.

νόμου ἐφθέγξατο καὶ τοσαύταις χρησαμένη διαιρέσεσι, τοσούτοις κέχρηται καὶ τοῖς ὑπηρέταις καὶ προστάταις τῆς βλασφημίας, εἰλημμένη τοὺς ὑπηρετῆσαι δυναμένους, καὶ διὰ τοῦ Οὐαλεντίνου μὲν σμικρύνειν τὸν νόμον καὶ χωρίζειν τὸ εὐαγγέλιον, διὰ δὲ Μαρκίωνος ἐκτρώματός τινος εἶναι τὴν τοῦ νόμου γραφήν, διὰ δὲ Μανιχαίου πονηροῦ τινος, ἀφεγγοῦς, ὅλου σκότους. **58** Τοιαῦτα γὰρ πράττει, τοιαῦτα ῥημάτια συντίθησι, κενολεκτεῖ, διὰ συνθέσεως ῥημάτων καταπλήττων ἀκοὰς ἀγυμνάστους. Διὸ τοιαῦτα ἐρωτῆσαι δεῖ· εἰ ὁ πονηρὸς ἐκεῖνος τὸν νόμον ἔγραψεν, ὁ ἀφεγγὴς ἐκεῖνος, καθ' ὅλου καὶ δι' ὅλου σκότος ὤν, πῶς ᾔδει ἔλευσιν Ἰησοῦ; Πῶς ᾔδει ἄφιξιν αὐτοῦ; Πῶς μήπω τῶν πραγμάτων πεπραγμένων συνῆκεν ἃ ἐβουλεύσατο ὁ Θεὸς καὶ προκατήγγειλε καὶ προεδήλωσε; Φανεραὶ γὰρ αἱ τοῦ νόμου γραφαὶ ἄνωθεν μαρτυροῦσαι τὴν ἄφιξιν τοῦ Υἱοῦ. Εἰ μὲν γὰρ ἐροῦσιν, ὁ νόμος οὐκ ἐδήλωσεν οὔτε προφῆται προεσήμαναν, κατὰ τῶν προφανῶν φθεγγόμενοι ἐλεγχθήσονται, οὐχ ἡμῶν πλεκόντων τὸν ἔλεγχον αὐτῶν, ἀλλ' αὐτῶν τῶν εὐαγγελίων φανερῶς φθεγγομένων καὶ ἄνω καὶ κάτω βοώντων, πῇ μὲν «ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου»[1], πῇ δὲ «οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, ἀλλὰ πληρῶσαι»[2]. Εἰ δὲ ἐκ τούτου σαφῶς ἐλεγχόμενοι συντίθενται, τί ἀποκρινοῦνται; Εἰ γὰρ «οὐδεὶς οἶδε τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ[3], ὁ δὲ τὸν νόμον γράφων ᾔδει τὰ ἐν τῷ Θεῷ καὶ ἠπίστατο ὅσα ἐβουλεύετο ὁ Θεὸς καὶ διὰ τοῦτο γεγράφηκεν ἐξ ἐπιστασίας καὶ ἐπιστήμης, ὁ γράφων ἄρα Θεοῦ ἦν καὶ Θεὸς ἦν καὶ ἐν Θεῷ ἦν καὶ διὰ τοῦτο ὅσα ἐβουλεύετο ὁ Θεὸς λελάληκεν, νοῶν τὰ ἐν τῷ Θεῷ καὶ οὐκ ἀγνοῶν. Εἰ δὲ τὴν ἡμετέραν καρδίαν οἶδεν οὐδείς, μόνος δὲ οἶδεν ὁ ποιητής, καὶ λανθάνει μὲν ἡ ἡμετέρα καρδία τοὺς ἄλλους, οὐ δύναται δὲ λανθάνειν τὸν Θεόν, ἃ δὲ ἐβουλεύετο ὁ Θεὸς οὐκ ἠγνόει ἡ πονηρία ἀλλ' ᾔδει, καὶ οὗτος μὲν ἐβουλεύετο, ἐκείνη δὲ ᾔδει, πῶς οὐ μέγα μέγεθος διδόασι τῇ πονηρίᾳ, δυναμένῃ μηδὲ τὴν βουλὴν τοῦ Θεοῦ ἀπόκρυφον ἔχειν; Πῶς δὲ οὐ διαβάλλουσι τὸν Θεὸν μὴ δυνάμενον μήτε πονηρίαν κρύπτειν; Καὶ γελῶμεν μὲν τοὺς ἄνδρας, ὅτε τι πράττοντες κατὰ τῶν πολεμίων εὐφώρατον ποιοῦσι τὸ σκέμμα, τοιοῦτον δὲ πλέκοντες λόγον οὐχ ὁρῶσιν ὅτι χλεύην κατὰ τοῦ Θεοῦ σκευάζουσιν, ὅτι στρατηγῶν κατὰ τῆς πονηρίας ὁ Θεὸς τὰ σκέμματα τὰ ἴδια ἀφανῆ οὐ τετήρηκεν, ἀλλ' εἶχεν αὐτὰ εὐφώρατα τῇ πονηρίᾳ γινόμενα. Εἰ δὲ καὶ αἱ θεῖαι δυνάμεις καὶ ἀγγελικαὶ οὐ δύνανται νοῆσαι τί βουλεύεται ὁ Πατήρ, μόνου νοοῦντος καὶ ἐξηγουμένου τοῦ Υἱοῦ («Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ὁ μονογενὴς Υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο»[4]), πῶς αἱ πονηραὶ δυνάμεις ᾔδεισαν τὰ ἐν τῷ Θεῷ, οὐδὲ τῶν θείων δυνάμεων ταῦτα δυναμένων εἰδέναι,

1. Ματθ. 4,14. 12,17. 2. Ματθ. 5,17. 3. Πρβλ. Α' Κορ. 2,11. 4. Ἰω. 1,18.

εἰ μὴ παράδοσις μαθημάτων ἐκ τῆς τοῦ μονογενοῦς ἐξηγήσεως παραδοθῇ; Ὅτι δὲ αὐτὸς ὁ νόμος πάντα τὰ τῆς ἀφίξεως αὐτοῦ προλαβὼν διηγεῖται — **59** («ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν»[1]), ἕτερος δὲ προφήτης τὸν τόπον οὐκ ἀγνοεῖ («καὶ σύ, Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα»[2]), ἕτερος καὶ τὸν ὅρον τῆς θέσεως («ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ»[3]), ἕτερος δὲ καὶ τὴν εἰς Αἴγυπτον φυγὴν καὶ τὴν ἀπ' Αἰγύπτου ἐπάνοδον («ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου»[4]), ἄλλος τὴν οἴκησιν τὴν ἐν τῇ νέᾳ ἡλικίᾳ αὐτῷ γενηθεῖσαν («γῆ Ζαβουλών, γῆ Νεφθαλείμ, ὁδὸν θαλάσσης, πέραν τοῦ Ἰορδάνου· ὁ λαὸς ὁ καθήμενος ἐν σκότει φῶς εἶδε μέγα»[5]), ἕτερος δὲ καὶ τὸν πρόδρομον οὐκ ἀγνοεῖ («φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ»[6])· καὶ ὅλως εἰ βουληθείη τις ἀναλεγόμενος τὰς ἐκ τοῦ νόμου προφητείας ὅλον τὸ εὐαγγέλιον συνθεῖναι, τὰ ὧδε πεπραγμένα ῥήμασι προφητικοῖς συγγράφων, φανήσεται φιλομαθής τις καὶ φιλόλογος, μὴ δίχα πνεύματος ἐξηγούμενος παιδεύματα αὐτοῦ, διδασκαλίας αὐτοῦ, βάπτισμα αὐτοῦ, σημείων ἐπιτελέσεις, τὸ γεγονὸς κρῖμα, τὴν προδοσίαν τοῦ Ἰούδα, τὴν ἐπὶ τοῦ ἰκρίου οἰκονομίαν, τὴν χολὴν καὶ τὸ ὄξος τὸ ἐν δίψῃ δεδομένον αὐτῷ[7], τὴν ταφὴν αὐτὴν καὶ τὸ μνημεῖον, τὴν οἰκονομίαν τὴν ἐν τῷ Ἅδῃ, τὴν ἔγερσιν αὐτήν, τὸ τελευταῖον καὶ τὴν ἀνάληψιν. Τότε γὰρ λοιπὸν καὶ βοήσεται· «ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καὶ ἐπάρθητε πύλαι αἰώνιοι καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης»[8]. Τότε τοῦτο προσθήσει καὶ τὸ γεγραμμένον παρὰ τῷ Δαυῒδ· «εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου»[9]. Εἰ οὖν ὁ νόμος οὕτως ἠκρίβωσε τὴν ἄφιξιν τοῦ Υἱοῦ καὶ μακρόθεν παρήγγειλεν, οὐκέτι διαβάλλεται, οὐκέτι ἄλλῳ προσγράφεται, ὁ γεννήσας προελάλησεν, ὁ βουλευσάμενος λόγῳ προέλαβε τὰ πράγματα, Θεὸς ἐγέννησε, Θεὸς λέγει· «Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε»[10], Θεὸς ἀπέστειλε, Θεὸς διὰ Μωσέως ἐλάλησε· «προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, αὐτοῦ ἀκούσεσθε πάντα ὅσα ἐὰν λαλήσῃ ὑμῖν»[11]. Ὁ Θεὸς ἐβουλεύσατο καὶ βουλευσάμενος οὐκ ἐσιώπησε, τὴν βουλὴν προεμήνυσε, πίστιν ἐμποιῶν διὰ τῶν προμηνυθέντων. «Καλεῖται γάρ», φησί, «τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστός, σύμβουλος, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος»[12].

ΜΑ'. Καὶ τοιοῦτος μὲν ὁ τούτων ἔλεγχος. Ἐπειδὴ δὲ τῷ πονηρῷ προσγράφουσι τὸν νόμον, τί φήσουσιν, ἐὰν τις αὐτῶν πεύση-

1. Ἡσ. 7,14. Ματθ. 1,23. 2. Ματθ. 2,6. Πρβλ. Μιχ. 5,1. 3. Ἡσ. 1,3. 4. Ματθ. 2,15. Πρβλ. Ὠσ. 11,1. 5. Ματθ. 4,15-16. Πρβλ. Ἡσ. 8,23. 9,1. 6. Ματθ. 3,3. Πρβλ. Ἡσ. 40,3. 7. Πρβλ. Μάρκ. 15,36. Ἰω. 19,29. 8. Ψαλ. 23,7,9. 9. Ψαλ. 109,1. 10. Ψαλ. 2,7. 11. Πρβλ. Δευτ. 18,15,18. 12. Ἡσ. 9,5.

ται, εἰ ὁ πονηρὸς πονηρὰ παραινεῖ καὶ οὐ δύναται μὴ παραινεῖν πονηρά, εἴ ποτε **60** καὶ καλὰ παραινέσει καὶ ἀγαθὰ συμβουλεύσει; Εἰ μὲν γὰρ ἐροῦσιν ὅτι πέφυκε καλὰ παραινεῖν καὶ ἀγαθὰ συμβουλεύειν, λύουσι πάλιν τὸν ἑαυτῶν ὅρον· οὐκέτι γὰρ πονηρὸς ὁ μὴ πονηρὰ παραινῶν, οὐκέτι πονηρὸς ὁ ἀγαθὰ συμβουλεύων. Εἰ δὲ οὐδεμία προαίρεσις ἀγαθὴ ἀπὸ πονηροῦ προέρχεται, ποίας τάξεως ἐροῦσιν ἐκείνας τὰς παραινέσεις, «οὐ πορνεύσεις, οὐ μοιχεύσεις[1], οὐ κλέψεις[2], οὐ ψευδομαρτυρήσεις»[3]; Ποίας τάξεως ἐροῦσιν ἐκεῖνο τὸ γεγραμμένον, «οὐ ποιήσεις σεαυτῷ εἴδωλα, οὐ παντὸς ὁμοίωμα, οὔτε ὅσα ἐν τῷ οὐρανῷ οὔτε ὅσα ἐν τῇ γῇ οὔτε ὅσα ἐν τοῖς ὕδασι»[4]; Ποίας μερίδος φήσουσι τὰ πράγματα, «οὐκ ἐπιθυμήσεις τοῦ βοὸς τοῦ ἀδελφοῦ σου ἢ τοῦ ὑποζυγίου ἢ τῆς γυναικὸς ἢ παντὸς κτήνους»[5]; Εἰ μὲν γὰρ σεμνὰ καὶ θεῖα καὶ ἐράσμια τὰ τοιαῦτα φήσουσιν, ἐντραπήσονται ὑπὸ τῶν παραινέσεων, τὸ μέγεθος τοῦ συμβεβουλευκότος ἠγνοηκότες· εἰ δὲ φαῦλα αὐτὰ ἐροῦσι καὶ διαβεβλημένα καὶ φαῦλόν ἐστι τὸ μὴ πορνεύειν καὶ φαῦλόν ἐστι τὸ μὴ ἐπιθυμεῖν ἀλλοτρίων καὶ τοιαῦτά ἐστι τὰ φαῦλα, σκόπει οἷα νοήσουσιν ἀγαθά, σκόπει ὅτι προαγωγοί εἰσι τῶν ἡδονῶν καὶ πρόξενοι τῶν εἰδώλων καὶ αἰσχρᾶς ἐπιθυμίας εὑρεταί. Οἱ γὰρ τὸν νόμον διαβάλλοντες ὑπὲρ ἀνομίας πρεσβεύουσιν. Οἱ τὸν νόμον τὸν τὰς ἡδονὰς ἀναιροῦντα, τὸν τὴν ἀπάτην καταλύοντα, τὸν τὴν δεισιδαιμονίαν καταργοῦντα ἐξοστρακίζοντες καὶ ἐξορίζοντες τί ἕτερον ἢ εἰσοικίζουσι τὰς ἡδονὰς καὶ εἰσφέρουσι τὰς ἐπιθυμίας; Ἵνα δὲ ἡδονὴ ἀνέδην εἰσβάλῃ ἐν ταῖς διανοίαις, τὸν νόμον ἀπήλασαν ἐκ τῶν οἰκήσεων, ἵνα μὴ νόμῳ χρησάμενοι ὑπὸ νόμον ἐντραπῶσιν, ἀλλά πως τὸν νόμον ἀποσεισάμενοι πεπραμένας ἑαυτῶν τὰς ἀκοὰς παράσχωνται ταῖς ἐπιθυμίαις. Φαίνεται δὲ ὁ νόμος κακίας ἀναιρέτης, οὗτοι δὲ ἀμαθῶς καὶ ἀπαιδεύτως διαβάλλειν τὸν νόμον ἐπικεχειρήκασιν. Καὶ ὁ μὲν νόμος κακίαν μισεῖ, οὗτοι δὲ νόμον μισοῦσι. Καὶ καταλύει μὲν τὴν δεισιδαιμονίαν ὁ νόμος, οὗτοι δὲ λύειν τὸν νόμον τολμῶσιν.

ΜΒ'. Ἀντιθῶμεν οὖν τὰ πράγματα. Εἰ ὁ νόμος κακίᾳ ἀντίκειται, οὗτοι δὲ νόμῳ μάχονται, ἀγανακτοῦσι διὰ κακίαν, ὅτι ὁ νόμος κακίαν διαβάλλει· μὴ φέροντες γὰρ τὴν τῆς κακίας διαβολήν, τὸν νόμον διαβεβλήκασιν, ἵνα ἡ κατὰ τῆς κακίας διαβολὴ μὴ ἰσχύσῃ, τοῦ νόμου διαβεβλημένου. Εἰ ὁ νόμος τὰ εἴδωλα ἀναιρεῖ καὶ τὴν πολυθεΐαν καταλύει, οὗτοι δὲ ὅπλα κατὰ τοῦ νόμου κεκινήκασιν, εἰκότως πολυθεΐαν κατήγγειλαν. Ἵνα γὰρ ὁ τῆς πολυθεΐας ἰσχύσῃ λόγος, τὸ τοῦ νόμου παρ' αὐτοῖς κεκώλυται **61** παράγγελμα τὸ λέγον· «ἄκουε, Ἰσραήλ, Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστι»[6] καὶ «ἀγαπήσεις Κύριον τὸν Θεόν σου»[7] καὶ «μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ ἰδὼν τὸν

1. Ἐξ. 20,13. 2. Ἐξ. 20,14. 3. Ἐξ. 20,16. 4. Πρβλ. Ἐξ. 20,4.
5. Πρβλ. Γεν. 20,17. 6. Δευτ. 6,4. 7. Δευτ. 6,5.

ἥλιον καὶ τὴν σελήνην προσκυνήσῃς αὐτοῖς»[1]. Πρὸς ταῦτα τὰ ῥήματα ὅπλα κεκινήκασι, πρὸς ταῦτα τὰ παραγγέλματα τραχυνθέντες ὡς μάχαιραν τὴν γλῶσσαν ἠκόνησαν. Διὰ τοῦτο δαιμονῶσι καὶ πάντα τιμῶσι καὶ οὐδὲν ἴσασιν εἰ μὴ πάντα προσκυνεῖν, καὶ ἀεὶ πίπτουσι χαμαὶ καὶ γνώμην οὐκ ἔχουσιν ἐπηρμένην καὶ πλανῶνται καὶ ῥέμβονται τῇ διανοίᾳ. Πάντα τεθεοποιήκασιν ἐπ' ἐξουσίας καὶ τὴν πλάνην ἐσχήκασι. Νενικήκασι τοὺς Ἕλληνας, τῷ πλήθει καὶ τῇ κενότητι Ἕλληνες Ἑλλήνων γεγονότες καὶ τῷ μεγέθει τῆς αὐτῶν ἀτοπίας τὰς ἐκείνων ἀμβλύνοντες ἀγνοίας.

ΜΓ'. Ἵνα δὲ μή τις ἀπατηλοτάτῃ τέχνῃ χρησάμενος ἐπιτετηδευμένως λέγῃ· «ἐσχηματίσατο ὁ νόμος, καὶ ἔνια τῶν καλῶν σεσυληκὼς ὡς ἴδια προηνέγκατο, σεμνῦναι τὰς ἑαυτοῦ ἀτοπίας βουλόμενος, καὶ μόρια τῶν καλῶν ἐνέσπειρε, διὰ τῶν μορίων τῶν καλῶν τἄλλα κατακρύψαι ἐσπουδακώς», φέρε πρῶτον γυμνάσωμεν, μή τι ἄτοπον παρὰ τῷ νόμῳ φανείη, καὶ οὗτος ἔλεγχος τῆς ἀτοπίας αὐτῶν γιγνέσθω· δεύτερον, εἰ ἔνια τῆς κακίας μέρη ἐπεξελθὼν ἀπεσκέδασεν, ἐλευθέρους τοὺς πιστεύοντας παντὸς μορίου κακίας ἀποδείξας (οὐκέτι ἐσχηματισμένος ὁ νόμος φανείη, ἀλλ' ἐχθρὸς καὶ τῆς κακίας πολέμιος) τρίτον δέ, εἰ ἔνια τῶν καλῶν περιέσπειρε καὶ οὐ πᾶν εἶδος τῆς ἀρετῆς τοῖς γράμμασι συνῆψεν, ἵνα, εἰ μὲν ἔνια φανείη γεγραφηκώς, πλείονα δὲ ἀπολελοιπώς, ἔχῃ τινὰ δύναμιν ὁ ἔλεγχος. Εἰ δὲ ὅλα δι' ὅλου τὰ καλὰ τοῖς γράμμασιν ἐπετέθη τοῦ νόμου, θαυμάσωμεν τὸν νόμον καὶ Θεοῦ νόμον ὁμολογήσωμεν καὶ Πατρὸς ὁμιλίαν φήσωμεν, τούτους δὲ παραγραψώμεθα, κίβδηλον γνώμην καὶ παρακεχαραγμένην ἐσχηκότας. Ὅτι μὲν οὖν οὐδὲ ἓν μόριον κακίας ἐπεσπαρμένον ἔχει οὐδὲ μόριον κακίας ἀφῃρηκὼς ἑτέρου ἐφείσατο, ἀλλὰ καθαρὸς μὲν ὁ νόμος καὶ ἅγιος καὶ Θεοῦ νόμος, ὁ Παῦλος βοᾷ· «ὥστε ὁ μὲν νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή[2]. Καὶ οἴδαμεν γὰρ ὅτι ὁ μὲν νόμος πνευματικός ἐστιν»[3]. Τὸ γὰρ ἅγιον καὶ πνευματικὸν καὶ ἀγαθὸν πάσης ἀτοπίας ἀπολέλυται καὶ οὐδεμιᾷ αἰτίᾳ ἐνέχεται· σεμνύνεται ταῖς ἀρεταῖς καὶ διαλέγεται τῷ Θεῷ. Ἡ γὰρ πρὸς τὸν Θεὸν ὁμιλία ἄλλης μὲν τάξεως οὐκ ἀνέχεται, τῇ δὲ τοῦ πνεύματος ῥυθμίζεται ἐπιστασίᾳ. «Πνεῦμα γὰρ ὁ Θεὸς καὶ τοὺς προσκυνοῦντας αὐτὸν ἐν **62** πνεύματι καὶ ἀληθείᾳ δεῖ προσκυνεῖν»[4]. Πνευματικὸς δὲ ὢν ὁ νόμος[5] τὴν πρὸς Θεὸν ὁμιλίαν παρασκευάζει καὶ δύναται τὰ μὲν ἄλλα κρῖναι, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται[6]· πόσῳ μᾶλλον ὁ νόμος ὁ πνευματικὸς αὐτὸς μὲν πάντων τῶν ἄλλων τοὺς λόγους ἀνακρῖναι δύναται, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακριθήσεται;

ΜΔ'. Ὅτι δὲ καὶ πᾶν εἶδος κακίας ἀνεῖλε καὶ οὐδὲ ἓν μόριον παρεῖδεν, ἀλλ' ἐπεξῆλθε πᾶν εἶδος κακίας ἀναιρῶν <καὶ> ἀνακό-

---

1. Δευτ. 4,19. 2. Ρωμ. 7,12. 3. Ρωμ. 7,14. 4. Ἰω. 4,24.
5. Πρβλ. Ρωμ. 7,14. 6. Πρβλ. Α' Κορ. 2,15.

πτων, δῆλον ἐκ τῶν περὶ τῆς κακίας ὅρων, τεσσάρων εἰδῶν ὄντων τῆς κακίας, ἀφροσύνης τε καὶ ἀκολασίας καὶ δειλίας καὶ ἀδικίας. Εἰ μέν τι φαῦλον εἴη ὁ νόμος σεσιωπηκώς, ἀτελὴς ὁ νόμος· εἰ δὲ ἐπεξῆλθε καὶ ἐπεξειργάσατο, πᾶν εἶδος κακίας προαναιρῶν, εἰκότως ἡ κακία συστέλλεται ὑπὸ τοῦ νόμου, μηδὲ λείψανον ἔχειν συγκεχωρημένη. Ὅπου γοῦν ἰσχύει νόμος καὶ τῇ πειθοῖ τὰ νεῦρα δίδωσιν, οὐδὲ νοτίδα κακίας ἐστὶν εὑρεῖν. Ὅπου δὲ ἀτονεῖ, περιέρχεται ἡ πονηρία σκυλεύουσα καὶ κατανεμομένη, ἐπ' ἐξουσίας βαδίζουσα, τῷ ἀφυλάκτῳ τῆς ψυχῆς τὴν ἐξουσίαν εὑραμένη. Βοᾷ γὰρ ὁ νόμος· «εἰ ὁ λαός μου ἤκουσέ μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη, ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα»[1]. Ὅτε γὰρ πείθει νόμος, ἄνευρα γίνεται τὰ κακά, χαμαὶ κείμενα καὶ μηδὲ ἀντωπῆσαι τῇ ψυχῇ δυνάμενα. Εἰ γὰρ «λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου»[2], πᾶν <τὸ> πρόσκομμα ἀνῄρηται, πεφωτισμένης καὶ διαυγοῦς τῆς καρδίας εὑρεθείσης. Κἂν γὰρ τὴν νέαν ἐκείνην καὶ ὀλισθηρὰν ἔχῃ ἡλικίαν, φυλακὴν δὲ τῶν ῥημάτων τηρήσῃ, ἀδιάπτωτος διατελῶν βοήσεται· «ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; Ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου»[3]. Δύναμιν δὲ τοῦ μηδέποτε σφάλλεσθαι πορισάμενος ἑαυτῷ τῷ κρύπτειν τὰς τοῦ νόμου μαθήσεις ἐν τῇ διανοίᾳ φησίν· «ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι»[4], καὶ οὕτω τὸν νόμον ἀντὶ φρουροῦ καὶ φύλακος θέμενος συνήσει πῶς ἕκαστον τῶν εἰδώλων τῆς κακίας ὁ νόμος ἀπελαύνει, ἀπελαύνων μὲν τὴν ἀφροσύνην διὰ τοῦ λέγοντος γράμματος, «μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις»[5], ἐξοστρακίζων δὲ τὴν δειλίαν διὰ τοῦ λέγοντος λογίου, «μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνθρωπος[6]· μὴ φοβοῦ ὀνειδισμὸν ἀνθρώπων καὶ τῷ φαυλισμῷ αὐτῶν μὴ ἡττᾶσθε[7]. Καὶ φοβοῦ τὸν Θεὸν καὶ ἰσχύσεις, πλὴν δὲ αὐτοῦ μὴ φοβοῦ ἄλλον»[8]. Ἐνταῦθα γὰρ τὴν δειλίαν ἀποσεισάμενος καὶ τὴν ῥώμην ἐνθεὶς καὶ τὴν ἀνδρείαν ἐμβαλὼν βοᾷ· «δίκαιος ὡς λέων πέποιθεν[9], ὃς οὐ **63** φοβεῖται οὐδὲ καταπτήσσει κτῆνος»[10]. Καὶ τὰ δύο εἴδη τῆς κακίας ἀνῃρηκώς, ἀφροσύνην τε καὶ δειλίαν, συναναιρεῖ καὶ τὴν ἀκολασίαν, λέγων «οὐ πορνεύσεις, οὐ μοιχεύσεις»[11]. Ὅπου τὰ πάθη συστέλλεται, χαλινὸς σωφροσύνης ἐν τῇ διανοίᾳ εὑρίσκεται. Καὶ τῶν τριῶν συνανῃρημένων, ἀναιρεῖ καὶ τὴν ἀδικίαν, «οὐ ποιήσεις σεαυτῷ σταθμία μικρὰ καὶ μεγάλα· σταθμία δίκαια καὶ ἴσα ἔστωσάν σοι»[12]. Καὶ οὕτω τῶν τῆς κακίας γενῶν συνανῃρημένων καὶ παντὸς εἴδους κακίας ἀνῃρημένου ἡ πονηρία λέλυται, μηκέτι ἐμβατεῦσαι τῇ διανοίᾳ δυναμένη.

ΜΕ'. Ποῖα οὖν εἴδη ἀτοπίας οὐκ ἀνῄρηκεν ὁ νόμος; Ποῖα

1. Ψαλ. 80,14-15. 2. Ψαλ. 118,15. 3. Ψαλ. 118,9. 4. Ψαλ. 118,11. 5. Ψαλ. 31,9. 6. Ψαλ. 48,17. 7. Ἠσ. 51,7. 8. Πρβλ. Παρμ. 7,1α. 9. Παρμ. 28,1. 10. Πρβλ. Παρμ. 30,30. 11. Ἐξ. 20,13. 12. Πρβλ. Λευΐτ. 19,35-36.

μέρη ἡδονῆς οὐ λέλυκε; Ποίας δειλίας; Ποίας ἀφροσύνας; Οὐκ ἐπὶ τοσοῦτον ἐπεξῆλθε τὴν ἡδονὴν ἀναιρῶν, ὡς καὶ τῶν ὀμμάτων ἐπιμελήσασθαι καὶ τῆς ἀκοῆς μὴ φείσασθαι καὶ τῆς γλώσσης μὴ ἠμεληκέναι; «Ἐθέμην γὰρ τοῖς ὀφθαλμοῖς μου φυλακὴν καὶ οὐ μὴ συνήσω ἐπὶ παρθένον»[1]. Ὁ ἅγιος μέχρι τῶν ὀμμάτων φθάνει, ἵνα μὴ γαργαλίζουσα τὴν ψυχὴν ἡδονὴ εἰς σκελισμὸν τῆς ἐπιθυμίας ἀναγάγῃ. Ἕτερος τῶν ἁγίων ἐβόα· «μὴ περιβλέπου κάλλος ἀλλότριον»[2], ἵνα μὴ ἡδονὴ μηδὲ τὰ πρόθυρα τῆς ψυχῆς λαβοῦσα ἐλπίδα τῆς εἰσόδου λαμβάνῃ, ἀλλὰ καὶ τῶν θυρῶν ἀπελαθεῖσα ἀνέλπιστον τὴν ἐπιβουλὴν ἔχῃ. Φθάνων δὲ καὶ ἐπὶ τὰς ἀκοὰς καὶ εἰς τὰς γλώττας, φρουροὺς καὶ φύλακας καὶ τοῖς μέλεσιν ἐπέθηκε, τόπον ἴδιον μὴ διδούς, ἀλλ' ἐβόα· «θοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύραν περιοχῆς περὶ τὰ χείλη μου»[3], ἵνα μηδὲ ἄτοπος λόγος δίχα τοῦ ὠφελίμου προεξελθὼν ἡδονῆς δέλεαρ τῷ τὰ αἰσχρὰ φθεγγομένῳ προξενήσῃ. Ἐπιμελόμενος δὲ καὶ τῆς ὀσφύος, τοῦ μὴ ὧδε κἀκεῖ σεισθεῖσαν τὴν διάνοιαν δεσμίαν εἶναι, προενοήσατο παραγγέλλων· «οὕτω φάγεσθε τὸ πάσχα· αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι»[4], ἵνα μηδὲ τὰ μέλη ἄζωστα ἔχοντες τῇ ῥᾳδίᾳ κινήσει κατεπιχειρήσωμεν, ἀλλ' οὕτω διεζωσμένοι τάξιν τὴν πρὸς τὰ πράγματα ἀρίστην εὑρώμεθα, καὶ οὕτω τῶν εἰδῶν τῆς ἡδονῆς προανῃρημένων ἐπεξῆλθε καὶ κατὰ τῶν εἰδῶν τῆς διανοίας καὶ κατὰ τῶν εἰδῶν τῆς ἀδικίας. Εἰ γὰρ τὸ τὰ ἑτέρου λαβεῖν καὶ βίᾳ λαβεῖν καὶ ἄκοντος λαβεῖν ἀδικία ἐστί, καὶ τὸ λαβεῖν τὰ ἑτέρου ἢ ἑταίραις διδόναι ἢ ἀσώτως καταδαπανῆσαι εἶδός ἐστιν ἀδικίας, ἄδικος ὁ τὴν τιμὴν τοῦ Θεοῦ ἀφαιρῶν, ξύλοις δὲ καὶ δαίμοσιν αὐτὴν ἀποδιδοὺς καὶ καταδα**64**πανῶν τὴν τιμὴν καὶ ἀσωτευόμενος ἐν τῇ διανοίᾳ. Οὐδὲ γὰρ οὕτως ἄσωτος ὁ καταδαπανῶν τὴν οὐσίαν ὡς ἄδικος ὁ τὴν μεγάλην περιουσίαν, τὴν τιμὴν τοῦ Θεοῦ, ἀπὸ τῆς διανοίας ἐξαφανίζων. Ἐφ' ὅσον γὰρ συνέστηκεν ἡ περιουσία τῆς γνώσεως τῇ ψυχῇ, ἡ πρὸς τὸν Θεὸν διάθεσις ἀποδίδοται. Ὅταν δὲ πᾶσα καταπονηθῇ καὶ καταναλωθῇ καὶ πτωχεύσῃ, τότε λοιπὸν τὴν ἐκείνου τιμὴν εἰς ξύλα καὶ τέχνην καταφέρει. Διὰ τοῦτο καὶ ὁ ἀπόστολος τὴν ἀδικίαν δεισιδαιμονίαν ἐπιστάμενος ἔλεγε· «καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία»[5].

ΜϚʹ. Ἐπεὶ οὖν τῆς ἀδικίας τὸ χαλεπώτατόν ἐστι μέρος ἡ εἰς Θεὸν ἄγνοια, βραχυτέρα δέ ἐστιν ἡ εἰς ἀνθρώπους πλημμέλεια καὶ εἰς δύο διαιρεῖται ἡ ἀδικία, εἴς τε τὴν εἰς Θεὸν ἄγνοιαν καὶ τὴν εἰς ἀνθρώπους πλημμέλειαν, γραφόμενος ὁ νόμος ἀμφοτέρων ἤρξατο. Καὶ πρῶτον μὲν βοᾷ· «οὐ ποιήσεις σεαυτῷ εἴδωλα παντὸς ὁμοίωμα»[6], ἵνα μὴ τὴν τοῦ πεποιηκότος τιμὴν κατασωτευόμενος πᾶσαν ἄρδην διαφθείρῃς. Ἐχαλέπαινε δὲ εἰκότως καὶ περὶ τοῦ λαοῦ, ὅτε

---

1. Πρβλ. Ἰὼβ 30,1. 2. Σοφ. Σειρ. 9,8. 3. Ψαλ. 140,3. 4. Ἐξ. 12,11. 5. Κολ. 1,5. 6. Πρβλ. Ἐξ. 20,4.

μοσχοποιήσας ἐβόα· «οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἵτινες ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου»[1]. Ἐπειδὴ γὰρ τὰς τοῦ εὐεργέτου δωρεὰς τῷ μὴ δυναμένῳ κινηθῆναι προαπένειμαν καὶ ἣν ἀδικία χαλεπωτάτη τὴν περιουσίαν τῆς εὐεργεσίας τοῦ πεποιηκότος τέχνῃ καὶ γλύμματι ἀποδιδόναι, καὶ ἡ ἀλήθεια κεκίνηται καὶ ὁ νόμος γέγραπται, καὶ ἡ ἀδικία κεκώλυται καὶ ὁ μανθάνων ἐπαιδεύετο καὶ οὕτω τοῦ θυμοῦ τῆς ἀδικίας προαναιρουμένου καὶ τὴν πρὸς ἄνθρωπον ἀδικίαν συναν-εῖλεν. Καὶ πρῶτον μὲν ἔρωτα χρημάτων ἐγγενέσθαι τῇ ψυχῇ οὐ βε-βούληται, ἐπεὶ ἔρως χρημάτων τίκτει τὰς ἀδικίας καὶ ἡ πρὸς τὰ χρή-ματα ἐπιθυμία γεννᾷ τὰς πλεονεξίας. «Ἡ γὰρ ῥίζα τῶν κακῶν ἐστιν ἡ φιλαργυρία»[2], ἔσονται δὲ κλάδοι καὶ κλῶνες τῆς φιλοχρηματίας αἱ ἀδι-κίαι <καὶ> αἱ πλεονεξίαι. Καὶ ἐπειδὴ ἀπὸ φιλοχρηματίας ἄρχεται ἡ πλεονεξία καὶ ἀδικία, προκαταλαμβάνει, προαναιρεῖ, προαπαγγέλλει «πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν»[3], ἵνα μὴ τῷ ῥεύματι τῶν χρημάτων συρρέουσαν τὴν διάνοιαν τῷ ῥευστῷ χρήματι λαμβάνῃ. Εἰ γὰρ ῥεῖ τὰ χρήματα καὶ στάσιν οὐκ ἔχει, εἰκότως ἀνθίσταται ἡ γνώμη, τὴν οἰκείαν στάσιν τῷ ῥευστῷ χρήματι μὴ διαφθείρουσα. Καὶ ἐπειδὴ πῇ μὲν ἡ φιλοχρηματία λυπεῖ, πῇ δὲ φιλοδοξία συλῶσά τὴν διάνοιαν τῷ νέῳ καὶ ἀνθηρῷ ... τῆς δόξης, ἐσχεδίασε καὶ τοῦτο τὸ πάθος («εἶδον τὸν ἀσεβῆ **65** ἐπαιρόμενον καὶ ὑπερυψούμενον ὡς τὰς κέδρους τοῦ Λιβά-νου, καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν»[4] ἵνα μηδεμιᾷ ἀκμῇ ῥᾳδίως μαραι-νομένῃ ὑπηγμένη ἡ διάνοια τὸ ἑαυτῆς μέγεθος πιπράσκῃ, ἀλλ' ὑπερ-κύπτουσα ταῦτα τοῦ ἔρωτος τῆς ἀληθείας ἔχηται. Καὶ διὰ τοῦτο τὴν συμμετρίαν τιμᾷ καὶ τὴν ἀδικίαν ἐξωθεῖ καὶ τὰ θεῖα οἰκητήρια ἀποδί-δωσι τοῖς τὴν συμμετρίαν τετηρηκόσι καὶ οὕτω βοᾷ· «Κύριε, τίς παροι-κήσει ἐν τῷ σκηνώματί σου ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου; Πορευόμενος ἄμωμος καὶ ἐργαζόμενος δικαιοσύνην, λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ»[5], ἵνα πᾶν εἶδος φιλοχρηματίας ἐξορίσας τόπον τῇ ἀδικίᾳ μὴ παρέχῃ. Καὶ οὕτω πᾶν εἶδος ἐπεξελθὼν ἀνεῖλεν ὁ νόμος. Διὰ τοῦτο ὁ κατὰ νόμον φθεγγόμενος ὑπὲρ ἀληθείας φθέγγεται, διὰ τοῦτο οἱ τῆς ἀληθείας ἐργάται οὐκ ἀγανακτοῦσι τῷ νόμῳ κατὰ κακίας φθεγγομένῳ. Ἐλάλει ποτὲ κατὰ φιλοχρηματίας ὁ Σωτήρ, ἐτραχύνοντο οἱ Ἰουδαῖοι· ἡ γὰρ φιλία τῶν χρημάτων τραχύτητα κατὰ τοῦ λέγοντος εἰργάζετο. Ἀμέλει ὅταν παιδαγωγὸς ῥαθύμῳ παιδὶ περὶ ῥαθυμίας διαλέγηται, μισεῖται παρὰ τοῦ παιδαγωγουμένου· πᾶς γὰρ ὁ τῆς νέας ἡλικίας τὸ πάθος ἐκκόπτων μισεῖται διὰ τὴν φιλίαν τῶν ἡδονῶν. Διὰ τοῦτο μεμίσηται παρὰ τῶν αἱρεσιωτῶν ὁ νόμος· ἐπεὶ κατὰ τῶν παθῶν ἐχώρει, κατὰ τῶν ἁμαρτημάτων ἐβάδιζε, κατὰ τῶν φιλουμένων διελέγετο, οὐκ ἤνεγκαν τὸ πρᾶγμα.

ΜΖ'. Ἵνα δὲ ἔτι μεγαλοπρεπέστατοι γένωνται ἡμῖν οἱ λόγοι καὶ

---

1. Πρβλ. Ἐξ. 32,4. 2. Α' Τιμ. 6,10. 3. Ψαλ. 61,11. 4. Ψαλ. 36,35-36. 5. Ψαλ. 14,1-2.

φανῇ ἡ τῶν αἱρέσεων ἀτοπία κατὰ τοῦ νόμου ἀδίκως βεβαδικυῖα, μὴ μόνον ὅτι πᾶν εἶδος κακίας ἀνεῖλεν ὁ νόμος προσγράφωμεν τῷ λόγῳ, ἀλλ' ὅτι καὶ πᾶν εἶδος ἀρετῆς ὑφηγεῖται καὶ ἐξηγεῖται προσαποδῶμεν τῇ ὁμιλίᾳ. Εἰ μὲν γὰρ τὰς κακίας πάσας ἀνεῖλεν ὁ νόμος, οὐ πάσας δὲ τὰς ἀρετὰς ἐνέθηκεν, ἐνέλιπεν ὁ νόμος, λειπόμενος τὴν τῶν ἀρετῶν κατασκευὴν καὶ τὰς μὲν κακίας πάσας ἐξορίσας, μηκέτι δὲ τὰς ἀρετὰς πάσας τῇ ψυχῇ μνηστευόμενος. Ἐὰν δὲ παρὰ τοῦ λόγου φανῇ ὅτι παρὰ τῷ νόμῳ καὶ τοῖς προφήταις πᾶσαι κεῖνται αἱ ἀρεταί, πῶς οὐ θαυμάζειν δεῖ καὶ ἀποδέχεσθαι τὸν τοῦ Θεοῦ νόμον; Τεττάρων γὰρ οὐσῶν τῶν ἀρετῶν, φρονήσεως καὶ σωφροσύνης καὶ ἀνδρείας καὶ δικαιοσύνης, ὅλαι παρὰ τῷ νόμῳ φαίνονται αἱ ἀρεταί. Διὰ τοῦτο ὁ βουλόμενος εἶναι σώφρων ἔχει τὰ μαθήματα. Ὁ σπεύδων εἶναι φρόνιμος, τὰς ἀφορμὰς τοῦ νόμου λαβών, ἀριστεύσει ἐν τῷ πράγματι. Ὁ βουλόμενος εἶναι ἀνδρεῖος ἀλειφέσθω ταῖς παραγγελίαις. Ὁ σπουδάζων δικαιοσύνης ἅψασθαι τὸ στάθμιον τῆς δικαιοσύνης κρατείτω καὶ οὐδὲν ἄνισον πράξει, σταθμῷ δικαιοσύνης **66** τὰ πάντα πράττων. Καὶ φρονήσεως μὲν ἐν μεθέξει γιγνόμενος λεγέτω «ὁ Θεὸς ἐδίδαξέ με σοφίαν[1] καὶ φρόνησις ἀνθρώπων οὐκ ἔστιν ἐν ἐμοί»[2], ἵνα τὴν πεπλασμένην ταύτην καὶ πεπλανημένην ἐξωθήσας, τὴν ἀρίστην καὶ θείαν ἀσπάσηται. Σωφροσύνης δὲ ὑποδείγματα μυρία ζητήσας εὑρήσει ὁ ἀναγινώσκων, τὰ ὑποδείγματα ἐκτυπῶν καὶ ἄλειμμα σωφροσύνης τὰ παλαιὰ ὑποδείγματα δεχόμενος, τὸν νεανίαν ἐκεῖνον τὸν ἀκμαῖον τὸν ὑπὸ τῶν ἀδελφῶν δεδομένον καὶ ὑπὸ τοῦ Αἰγυπτίου ἐωνημένον, τὸν τὴν ἐλευθερίαν τοῦ σώματος μεταβαλόντα, ἀμετάβλητον δὲ τὴν ἐλευθερίαν τῆς ψυχῆς διατετηρηκότα, τὸν ἀποδυσάμενον τὰ ἱμάτια, ἵνα μὴ τὴν σωφροσύνην ἀποδύσηται, τὸν βίᾳ μὲν τὰ ἱμάτια ἀφαιρεθέντα, ἐξ ἀνάγκης δὲ σωφροσύνης μὴ ἀποσπασθέντα, τὸν παθεῖν ἑλάμενον, ἵνα μὴ τῷ πάθει τῆς ἡδονῆς ὑποπέσῃ, τὸν ἀντὶ πάθους τῆς ἡδονῆς ἐν τάξει τῶν δεσμίων γεγονότα, τὸν ἑλάμενον δεσμώτην εἶναι, ἵνα μὴ δέσμιος τῆς ἡδονῆς εὑρεθῇ, τὸν τὸν φθόνον τῆς αἰσχρᾶς πράξεως προκρίναντα, τὸν νομισθῆναι καὶ μὴ εἶναι βουληθέντα· κάλλιον γὰρ ἐλογίσατο τὸ νομισθῆναι αἰσχρὸν ἢ εἶναι καὶ λανθάνειν· γινόμενος γὰρ καὶ λανθάνων ἐδεδίει μάρτυρα τὸν Θεόν, νομισθεὶς δὲ ἠρκεῖτο τῷ ἐπόπτῃ μαρτυροῦντι τοῖς γιγνομένοις. Καὶ τῆς μὲν σωφροσύνης ὑπόδειγμα τοῦτο, τῆς δὲ ἀνδρείας πολλὰ μὲν καὶ ἄλλα, ἱκανὸν δὲ τὸ τῆς Ἰουδίθ, ὅτι γύναιον ἦν καὶ ἀσθενὲς ἦν καὶ ἄτολμον ἦν, ἐπεὶ γύναιον ἦν, εὔτολμον δὲ καὶ ἀνδρεῖον, ἐπεὶ πιστὸν ἦν, ὅτι τὰ ἀδύνατα ταῖς προσδοκίαις τῶν ἀνθρώπων δυνατὰ τῇ ἀνδρείᾳ ἀποδέδωκεν, ὅτι τὰ ἀπροσδόκητα εἰς πίστιν καὶ ἐλπίδα ἤγαγεν, ἀνδρείᾳ πίστει κεκρατηκυῖα. Τὰ γὰρ τειχία ἀνεῴγνυντο καὶ ἐξῄει ἡ νεᾶνις καὶ μετὰ παιδίσκης μόνης ἐξῄει, οὐ τὸ ὕποπτον τοῦ κάλλους δειλιῶσα, οὐ τὰ ξίφη εὐλαβουμένη, οὐ φοβηθεῖσα μὴ λαγνεύσῃ, μὴ βίᾳ ἀκολασίαν ὑπομείνῃ, οὐ δειλιῶσα

1. Παρμ. 30,3. 2. Παρμ. 30,2.

μή τι ἀπὸ ξίφους ἐξαπίναιον πάθῃ, ἀλλὰ τὸ μὲν φοβερὸν τοῦ ξίφους τῇ ἀνδρείᾳ νικῶσα, τὸ δὲ κάλλος τῷ Θεῷ παρατιθεμένη. Ἀξιόπιστον γὰρ τὸν Θεὸν φύλακα ἡγεῖτο τοῦ κάλλους, φρύγανα δὲ καὶ παπύρων ἥττονα τὰ ξίφη ἐλογίζετο, πεπατηκυῖα τῷ φρονήματι τῆς ἀνδρείας τὴν δειλίαν. Καὶ παρῆλθεν ἡ γυνὴ καὶ τολμηρὸν οὐκ ἐκρίθη οὐδὲ τραχύτητος ἔγκλημα ὑπέμεινεν. Οὔτε γὰρ ἀτελῆ τὰ κριθέντα, ἵνα τραχύτητος ἐγκληθῇ. Πεπεραίωκε τὰ βεβουλευμένα. Εἰς πέρας ἤχθη τὰ ἐσκεμμένα. Διὰ τοῦτο θαυμάζεται, ὅτι φρόνησιν ἀνδρείᾳ ἔμειξεν, ὅτι ὅσα ἐβουλεύσατο εἰς πέρας 67 ἠγάγετο. Καὶ τῆς ἀνδρείας ταύτης ὑπόδειγμα λαβόντες, καὶ τῆς δικαιοσύνης ληψόμεθα, ὅταν ἀμύνηται μὲν Ἀβραὰμ καὶ ὑπερμαχήσηται τῶν ἀδικουμένων καὶ βοηθήσας ἀκούσῃ παρὰ τῶν ἐλευθερωθέντων, «λαβὲ τὴν ἵππον καὶ πάντα σεαυτῷ»[1], καὶ ταῦτα ἀκούων μὴ πρὸς τὸν χρηματισμὸν βλέπων, ἀλλὰ πρὸς τὸ δίκαιον ἀτενίζων καὶ συγγινώσκων ὅτι δωρεὰν ἔλαβε καί πως πωλῆσαι τὴν δωρεὰν οὐκ ὀφείλει, ὅτι χάρις πιπράσκεσθαι οὐκ ἀνέχεται, ὅτι ἄδικοι οἱ τὰς δωρεὰς ἀποδεδομένοι εἰσίν, ὅτι οὐ δικαίως <ὡς> τὰ ὤνια καὶ τὰς εὐεργεσίας πωλεῖ <τις>. Ἱμάτιον καὶ κειμήλιον ἐπ' ἀγοραῖς πιπρασκέσθω, ἄπρατος δὲ ἡ εὐεργεσία μενέτω τῷ μεγαλοψύχῳ τῆς διανοίας προῖκα τῷ δεομένῳ διδομένη.

ΜΗ'. Καὶ τοιοῦτον ἔχομεν τῆς διανοίας ὑπόδειγμα, ὅτι τὰς δωρεὰς καὶ τὰς εὐεργεσίας μεγάλου χρήματος πιπράσκεσθαι οὐ δεῖ, ἀλλὰ τηρεῖν τὴν ἑκάστου τιμήν, μὴ προδιαφθειρόμενον τῇ δόσει τῶν χρημάτων. Καὶ ταῦτα μὲν οὕτως ἐπεξελθόντες κατεσκευάσαμεν ὅτι πάντα ἐν νόμῳ κεῖται καὶ κακίας ἀναίρεσις καὶ ἀρετῆς κατόρθωσις. Καὶ τούτων ὄντων ἱκανῶν πρὸς ἐντροπὴν καὶ δυσώπησιν, καί τι ὅμοιον ἀποδίδομεν. Εἰ γὰρ τὰ εὐαγγέλια ἦν καὶ ὁ νόμος ἦν. Εἰ δὲ μηδὲν εἶχεν ὁ νόμος ἴσον τοῦ εὐαγγελίου, τοῦ ἀνομοίου ἡ κατηγορία ἦν. Εἰ δὲ ὁμοιότης ἐστί, τί ἐπὶ τῆς ὁμοιότητος διαφερόμεθα, τῆς ὁμοιότητος διαφέρεσθαι μὴ ἀνεχομένης; Βοᾷ ὁ χαρακτὴρ τὴν συγγένειαν, ἡ ὁμοιότης τὴν ἀδελφότητα σημαίνει. Πρὸς ἕνα τῶν ἄλλων ἁπάντων αἴτιον, πατέρα δὲ τοῦ Σωτῆρος ἐφέλκουσι τὴν διάνοιαν. Εἶπεν ὁ νόμος· «ἄκουε, Ἰσραήλ, Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστιν»[2]. Εἶπε τὸ εὐαγγέλιον· «οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός»[3]. Ἐβόησεν ὁ Παῦλος· «εἷς Θεός, ἐξ οὗ τὰ πάντα»[4]. Καὶ νενόηται ὁ ἀγέννητος καὶ ἀπάτωρ ἐκ νόμου καὶ Σωτῆρος καὶ τοῦ ἀποστόλου. Γέννημα δὲ οὖν καὶ γέννημα ἐκ κόλπων καὶ Υἱὸς τοῦ γεγεννηκότος. Καὶ συνῳδὰ πάλιν τὰ γράμματα. «Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε»[5], ὁ νόμος λέγει· «ὁ μονογενὴς Θεός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο»[6], τὰ εὐαγγέλια διηγοῦνται. Κόλπος ἀπὸ τῶν εὐαγγελίων καὶ γαστὴρ ἀπὸ τοῦ νόμου λελάληται. Καὶ Υἱὸς γνήσιος, ὅμοιος τοῦ γεγεννηκότος, ἐκ γαστρὸς καὶ κόλπων καταγγέλλεται. Καὶ μαρτυρεῖ μὲν ἡ τοῦ εὐαγγελίου φωνή· «οὗτός ἐστιν

---

1. Πρβλ. Γεν. 14,21. 2. Δευτ. 6,4. 3. Μάρκ. 10,18. 4. Α' Κορ. 8,6. 5. Ψαλ. 109,3. 6. Ἰω. 1,18.

ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ ἐγὼ εὐδόκησα»[1], μαρτυρεῖ δὲ καὶ ὁ ψαλμῳδός· «Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε»[2]. Καὶ μία φωνὴ καὶ τότε καὶ νῦν προσενεχθεῖσα καὶ εἷς ὁ λαλήσας, φθεγξάμενος μὲν τότε, ἄρτι δὲ ὡμιληκώς. Καὶ οὐκ ἐναλλάττεται ὁ εἰρηκώς. Ὀψὲ **68** γάρ ποτε τὴν τοιαύτην ἀφεὶς φωνήν, ἤδη προφθάσας καὶ προειρηκὼς ἐν τοῖς ψαλμοῖς ηὑρίσκετο. Καὶ παραγγελία μὲν ἀπὸ τοῦ Πατρὸς πρὸς τὰς θείας δυνάμεις ὑπηρετεῖν τῷ Υἱῷ καὶ τὸ σέβας καὶ τὴν προσκύνησιν αὐτῷ ἀποδιδόναι (γέγραπται γάρ· «καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ»[3]), συγκεχώρηκε δὲ τῇ παραγγελίᾳ ὁ Παῦλος, μᾶλλον δὲ ταύτην ἐπεξεργάζεται καὶ διερμηνεύει καὶ σπουδάζει τοῦ προειρημένου καὶ προγεγραμμένου γίνεσθαι ἑρμηνεύς. Ὅταν γὰρ εἰσάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην λέγει· «καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ»[4]. Καὶ ὄψει τὸν ἀπόστολον ἐσπουδακότα ἑρμηνεύειν τὰ παλαιά, διηγεῖσθαι τὰ ἐν τῷ νόμῳ μὴ ἀμελοῦντα, ἀλλά ποτε μὲν λέγοντα· «πάντα <ὑπέταξεν> ὑποκάτω τῶν ποδῶν αὐτοῦ»[5], εὐθὺς δὲ ἐπεξηγούμενον· «ὅταν δὲ εἴπῃ ὅτι πάντα ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα· οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι[7], ποτὲ δὲ λέγοντα· «ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ[8]. Τὸ μυστήριον τοῦτο μέγα ἐστίν. Ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ εἰς τὴν ἐκκλησίαν»[9]. Καὶ ἑρμηνεῖς μὲν οἱ ἀπόστολοι τῶν παλαιῶν, σύμφωνα δὲ τὰ παλαιὰ τοῖς νέοις. Ἀλλ' ὅσοι μὲν ἀπόστολοι ἑρμηνεύουσιν, ὅσοι δὲ οὐκ ἀπόστολοι διαβάλλουσι. Μὴ ποιοῦντες γὰρ ὃ ποιοῦσιν οἱ ἀπόστολοι, ἀλλὰ μαχόμενοι τῷ ὑπ' ἐκείνων γεγραμμένῳ, ψεύδονται τὴν ἀποστολήν, ψευδοπροφῆται ὄντες. Ἰδοὺ γὰρ οἱ τῆς ἀληθείας εἰσηγηταὶ τὸν νόμον τετιμηκότες τὸν νόμον ἐξηγήσαντο. Οὗτοι δὲ τὸν νόμον διαβεβληκότες τῷ νόμῳ διαπληκτίζονται καὶ πρὸς τοὺς ἐξηγησαμένους τὸν νόμον <ἐρίζουσιν>. Καὶ ἴσην μὲν οἱ ἀπόστολοι τὴν ὁμοιότητα τοῦ εὐαγγελίου καὶ τοῦ νόμου γινώσκουσι καὶ τὸν νόμον λαβόντες τὸ εὐαγγέλιον βλέπουσι καὶ εἰς τὸ εὐαγγέλιον παρακύπτοντες τὸν νόμον οὐκ ἀναιροῦσιν, οὗτοι δὲ τὰ ὅμοια ἀεὶ ἀνόμοια ἡγησάμενοι καὶ τὰ φίλα ἑαυτοῖς καὶ ἀδελφὰ ἄφιλα καὶ ἄσπονδα ὁμολογοῦντες, κακίας μὲν ἔλεγχον οὐ φεύγουσι, διιστᾶν δὲ καὶ διαιρεῖν τὰ ὅμοια ἐσπουδακότες, μὴ δυνάμενοι δὲ διαιρεῖν, ἐπεὶ οὐκ ἀνέχεται ὁ νόμος τοῦ εὐαγγελίου διαιρεῖσθαι, τῆς βασκανίας ἑαυτῶν τὴν ἐπιτιμίαν ἐκαρπώσαντο. Ἰδοὺ γὰρ ὅσα περὶ Πατρὸς ἐν νόμῳ, ταῦτα καὶ ἐν τοῖς εὐαγγελίοις κεῖται. Ὅσα περὶ Υἱοῦ, ταῦτα ἐν ἀμφοτέροις εἴρηται. Ὅσα περὶ Πνεύματος Ἁγίου, ταῦτα ἐν ἀμφοτέροις εὑρεῖν δυνησόμεθα. Οὐδὲ ὁπότερον γὰρ γράμμα τοῦ Πνεύματος τοῦ Ἁγίου ἀμνημονεῖ, ἀλλ' ἐν μὲν τῷ εὐαγ**69**γελίῳ ἡ δωρεά, ἐκεῖ

1. Ματθ. 3,17. 17,5. 2. Ψαλ. 2,7. Πρβλ. Πράξ. 13,33. Ἑβρ. 1,5. 3. Ἑβρ. 1,6. Πρβλ. Ψαλ. 96,7. Δευτ. 32,43. 4. Ἔνθ' ἀν. 5. Ψαλ. 8,7. Πρβλ. Α' Κορ. 15,27. Ἑβρ. 2,8. 6. Α' Κορ. 15,27. 7. Α' Κορ. 15,28. 8. Γεν. 2,24. Πρβλ. Ἐφ. 5,31. 9. Ἐφ. 5,32.

δὲ καὶ ἡ αἴτησις. Καί ποτε μὲν λέγει ὁ Δαυΐδ· «τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ»[1], ποτὲ δὲ τὸ εὐαγγέλιον· «λάβετε Πνεῦμα Ἅγιον»[2], ἵν' ὃ μὲν ἔχει μὴ ἀφαιρεθῇ, ὃ δὲ χαρίζεται οὕτως ἔχῃ λαβών. Καὶ τῇ συνουσίᾳ τοῦ Ἁγίου Πνεύματος τιμῶνται αἱ ψυχαί, μήτε ἀποσπώμεναι τῆς συνουσίας μήτε δίχα τῆς συνουσίας διατελοῦσαι. Καὶ δυνήσεταί τις περὶ ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν ἄλλων ἐξουσιῶν καὶ περὶ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἄλλων δημιουργημάτων ἐπεξεργασάμενος τὴν ὁμοιότητα ἔκ τε τοῦ νόμου καὶ τοῦ εὐαγγελίου θεωρῆσαι καὶ οὕτω κατιχνεύων μέχρι τοῦ ἐλαχίστου φθάσαι.

ΜΘ'. Ἡμεῖς δὲ τὸν τηλικοῦτον ὄγκον παραιτούμεθα, μόνον τῇ ὑποθέσει χρησάμενοι καὶ τοὺς φιλομαθεῖς ἐκκαλούμενοι τῆς ὑποθέσεως ἁψαμένους ἐπὶ πάντα τὰ θεωρήματα χωρεῖν. Ὅπερ δὲ μετά τινος κατηγορίας καταιτιῶνται οἱ αἱρεσιῶται, τοῦτο μόνον προσγράψομεν τῷ λόγῳ, ἵνα καὶ τὴν αἰτίαν ἐκείνων λύσωμεν καὶ τοῦ νόμου τὰς διαθέσεις κατοπτεύσωμεν. Εἰ γὰρ ἐκεῖνοι τὴν αἰτίαν τῶν γραμμάτων ἀναγινώσκοντες ὑβριστικῷ στόματι κέχρηνται, ἀλλ' ἡμεῖς καὶ τῇ ὁμοιότητι δυσωπήσωμεν αὐτῶν τὴν ἄνοιαν καὶ τὴν αἰτίαν παραθέσθαι μὴ παραιτησώμεθα. Ἐγκαλοῦσι γὰρ τῷ παλαιῷ νόμῳ ὡς τραχεῖ καὶ ἀπηνεῖ, ἐγκαλοῦσι καὶ τοῖς παλαιοῖς ὑπηρέταις ὡς αὐστηροτέροις καὶ μᾶλλον πρὸς τὴν ἐπιτιμίαν ῥέπουσι καὶ στοργῆς ἐλέους ἀπηλλαγμένοις, μὴ νοοῦντες τὸ γεγραμμένον· «ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε»[3], μήτε εἰδότες ὅτι ἡ τελειότης τῆς οἰκονομίας ἐξ ἐλέους καὶ ἐπιτιμίας ἤρτηται, καὶ διὰ τοῦτο ἀμβλυωποῦντες σιωπῶσι τοὺς οἰκτιρμοὺς τοῦ νόμου, μᾶλλον δὲ τῶν ἐπιτιμήσεων μνημονεύουσι καὶ ἄνω καὶ κάτω βοῶσιν. «Οὐχ ὁρᾶτε», φησίν, «ἵνα παιδία λοιδορήσωσι τὸν Ἐλισσαῖον, κατηρᾶτο καὶ δυσὶν ἄρκοις ἔκδοτα παρεδίδου τὰ νήπια, βορὰν καὶ θοίνην παρεσκευακὼς ταῖς ἄρκοις τὰ παιδία[4]. Οὐχ ὁρᾶτε», φησίν, «ἵνα τινὲς ἄκοντες στρατιῶται ἀπὸ τοῦ ἐπιτάττοντος ἀποσταλῶσι καλέσαι τὸν Ἠλίαν βαδίσαι μὲν ὤκνησε καὶ φθάσαι παρητήσατο, πῦρ δὲ κατήνεγκε καὶ τοὺς ἄνδρας ἐδαπάνα καὶ ἀνήλισκε, λέγων· εἰ ἄνθρωπος τοῦ Θεοῦ εἰμι ἐγώ, καταβήσεται πῦρ ἀπὸ τοῦ οὐρανοῦ καὶ καταφάγεταί σε καὶ τοὺς πεντήκοντά σου»[5]. Καὶ ἐπειδὴ τοιαύτας αἰτίας καὶ τοιαύτας ἐπιτιμίας ἐν τάξει πονηρίας καὶ κακίας τίθενται, τί ἐροῦσι περὶ Παύλου; Ὅτι ποτὲ διαλεγομένου Βαριησοῦ τῷ μάγῳ ἐπὶ Σεργίου Παύλου ἀνθυπάτου, ὡς κακοτεχνίᾳ τοῦ λόγου στρεφο**70**μένην τὴν διάνοιαν τῶν παιδευομένων ἑώρα, οὐκ ἤνεγκεν, ἐπετίμησε, στέρησιν τῶν ὀφθαλμῶν εἰργάσατο, ἐβόησεν· «ὦ πλήρης δόλου καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας; Καὶ ἰδοὺ χεὶρ Κυρίου ἐπί σε καὶ ἔσῃ τυφλός, μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ»[6]. Τί δὲ ἐροῦσι περὶ τοῦ Πέτρου; Ὅτε Ἀνανίας καὶ Σάπφειρα πωλήσαντες κτημάτια

---

1. Ψαλ. 50,13. 2. Ἰω. 20,22. 3. Ψαλ. 100,1. 4. Πρβλ. Δ' Βασ. 2,23-24. 5. Δ' Βασ. 1,10. 6. Πράξ. 13,10-11.

ἐνοσφίσαντο μέρος, μέρος δὲ κεκομίκασιν, ὅτι κρίνας καὶ ἐλέγξας τὸν μὲν Ἀνανίαν νεκρὸν ἔδειξε, τὴν δὲ Σάπφειραν τῷ αὐτῷ μνηματίῳ παραδέδωκεν»[1]. Ἔκειντο γὰρ νεκροί, λόγῳ ἀνῃρημένοι, κἀκεῖ μὲν τὸ πῦρ κομισθὲν ἀνήλισκε τοὺς ἀφικομένους, ὧδε <δὲ> λόγος προελθὼν ἐν ὄψεσι τῶν μαθητευομένων νεκροὺς ἔδειξε τοὺς τὴν πίστιν κεκαπηλευκότας. Κἀκεῖ μὲν Ἐλισσαῖος θηρσὶ τὰ σώματα τῶν νηπίων ἐδίδου, ὧδε Παῦλος ἀφῄρει τὴν βλέψιν τῶν ὀμμάτων καὶ τυφλὸν τὸν βλέποντα εἰργάζετο. Καὶ τοιαῦτα πράττοντες τὰς ἐπιτιμίας δεδώκασιν. Εἰ οὖν ἐπὶ ἀτόποις ἡ ἐπιτιμία λαμβάνεται, ἄτοποι Παῦλος καὶ Πέτρος· εἰ δὲ καλοί εἰσιν ὅτι ἀπόστολοί εἰσι καὶ καλοί εἰσιν ὅτι ἐπιτετιμήκασι, τί διαβάλλεις τὰς ἐπιτιμίας, καὶ τῶν ἀποστόλων ἐπιτιμίαις χρησαμένων; Εἰ τοὺς μὲν ἀποστόλους ἀποδεχόμεθα, τὰς δὲ ἐπιτιμίας μεμφόμεθα, οὐ κατὰ πρόσωπον οἱ νόμοι κρίνουσι τὰ πράγματα ἢ δικάζουσιν, οὐ πρὸς τὰ πρόσωπα ἐρεσχηλοῦσι, τῇ δὲ τῶν πράξεων ὁμοιότητι συντρέχουσιν. «Ἀλλά», φησί, «ἐλεήμων ὁ Υἱός, ἐλεήμων ὁ τὰ εὐαγγέλια γεγραφηκώς, καὶ ὁ ἐλεήμων ὢν γέννημά ἐστι τοῦ ἐλεήμονος. Ὁ δὲ νόμος τραχύς, οὐ συγγινώσκων τοῖς ἡμαρτηκόσι, σπλάγχνον δὲ ἔχει τὸ εὐαγγέλιον, συστέλλον μὲν τὰς πλημμελείας, κηρύττον δὲ τὰς μετανοίας. Ἰδοὺ γὰρ ὁ Σωτὴρ «λέξουσι», καὶ Πέτρου ἀρνησαμένου ἐφείσατο καὶ ἁμάρτημα τηλικοῦτον πεπλημμεληκότος παρίστησι καὶ ἀπειλὴν τῇ φιλανθρωπίᾳ προσπεποίηται, ὑπόδειγμα τὸν ἄνδρα παντὶ τῷ βίῳ καταλελοιπώς, ἵνα τῆς ἑαυτοῦ φιλανθρωπίας εἰκόνα ἐκείνῳ παράσχῃ». Τί οὖν ὁ νόμος; Ἆρα ἀπορεῖ τῆς μιμήσεως καὶ κατάλληλον εἰκόνα οὐκ ἔχει; Καὶ Πέτρος μὲν σπουδαῖος ὢν καὶ σφαλεὶς ἀφέσει καὶ συγχωρήσει τετίμηται, οὐδεὶς δὲ ἐν τῷ νόμῳ πλημμελήσας καὶ μέγα πλημμελήσας τῇ μετανοίᾳ τὴν ἄφεσιν ἐμνηστεύσατο; Εἰ μὲν γὰρ ἀγνοοῦσιν, ἐροῦμεν τὸ γεγραμμένον· «ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου. Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με[2]. **71** Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα»[3]. Εἰ δὲ ἴσασι, τῇ κακομυθίᾳ ἐχεμυθοῦσιν.

Ν΄. Ἀδελφὰ οὖν τὰ πράγματα, ὅμοιαι αἱ εἰκόνες. Καὶ ὧδε μὲν Πέτρος, ἐκεῖ δὲ ὁ ἱεροψάλτης, ὅπως καὶ μεγάλων ἀνθρώπων πτώματα μεγάλαις καὶ συγχωρήσεσιν ἰαθῇ. Καὶ τοῖς μεγάλα ἡττοπηκόσι μέγας καὶ ὁ γενόμενος ἔλεος. Εἰ μὲν οὖν θαυμάζουσι τὰ εὐαγγέλια ὅτι Πέτρος ἠλεήθη, θαυμαζέτωσαν ὅτι καὶ Δαυῒδ ἠλέηται, εἰ δὲ αἰτιῶνται ὅτι μετὰ τοσάδε οὐκ ἀφείθη ὁ Δαυῒδ, οὐδὲ φεύξεται δι' αὐτοὺς τὴν αἰτίαν οὐδὲ ὁ Πέτρος. Καὶ δόξει μὲν κατὰ μόνου Δαυῒδ εἶναι ἡ αἰτία, τῇ δὲ δυνάμει κατηγορηθήσεται καὶ ὁ Πέτρος τῇ αὐτῇ κατηγορίᾳ. Εἰ δὲ φήσουσιν ὅτι καλὴ μὲν ἡ συγχώρησις, μέχρι δὲ ἑνὸς ἡ συγχώρησις τοῦ παλαιοῦ νόμου ἔφθασε, πληθὺς δὲ ἐνταῦθα συγχω-

---

1. Πράξ. 5,1 ἑξ. 2. Ψαλ. 50,3-4. 3. Ψαλ. 50,6.

ρήσεως καὶ πέλαγος ἀφέσεως καὶ φωνή ἐστι βεβοηκυῖα, «δεῦτε πρός με, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς»[1], ἀναγνώτωσαν τὰ παλαιὰ καὶ θαῦμα τῶν γεγραμμένων λαμβανέτωσαν. Εἰ δὲ δι' ἀμελετησίαν τοῖς γράμμασιν ἐντυχεῖν οὐκ ἀνέχονται, κἂν τούτοις τῆς αἰτίας ταύτης ἀπαλλαττέσθωσαν. Ὁ Σωτὴρ λέγει· «δεῦτε πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι κἀγὼ ἀναπαύσω ὑμᾶς»[2], οὐδένα παρείς, μηδένα ἀπολιπών, πάντας περιλαβών. Ὁ δὲ ἱεροψάλτης λέγει· «πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας»[3]· καὶ πάλιν· «ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην οἵ τε γηγενεῖς καὶ υἱοὶ τῶν ἀνθρώπων, ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης»[4]· πάντες ἐξ εὐαγγελίου, πάντες ἐκ νόμου κεκίνηνται. Οὐδένα παραλέλοιπε τὸ εὐαγγέλιον, οὐδένα ἀφῆκεν ὁ νόμος. Ἐβόησε τὸ εὐαγγέλιον· «μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν»[5]. Πρὸς πάντας ἀφῆκε τὴν ὁμιλίαν ταύτην, πταίουσι διελέγετο, ἐσφαλμένοις ὡμίλει, ἤδη θάνατον ὀφείλουσιν ἐφθέγγετο, ἐλευθερίαν διὰ τοῦ κηρύγματος προεμνηστεύετο. Ἐπεδήμησε καὶ ὁ Ἰωνᾶς ἐν τῇ Νινευΐ, ἐν πόλει οὐ μικρᾷ, ἐν ἔθνει πολυανθρώπῳ. Τὴν ἀπειλὴν ἔδειξε, τὴν ἐπιτιμίαν οὐκ ἐσιώπησεν, ἐβόησε πληκτικῷ τῷ λόγῳ, εἶδε τοὺς ἐχθρούς, εἰς μετάθεσιν ἤνεγκεν, ἀπολύτους τῆς ἁμαρτίας εἰργάσατο, ἡ προκατηγγελμένη ἐπιτιμία ᾤχετο, ἔλεος διεδέχετο, τὸ ζητούμενον γέγονεν. Οὐ γὰρ ἡ τῶν ἀνθρώπων ἀναίρεσις ἐζητεῖτο, ἀλλ' ἡ τῶν τρόπων μεταβολὴ ἠρευνᾶτο. Καὶ ἐπειδὴ γέγονε τὸ ζητηθὲν καὶ μετεβλήθησαν οἱ ἄνδρες, ἐφάνη ἡ τοῦ φιλανθρώπου δωρεά, ἐβόησε συνηγορῶν ὁ δικάζων, εἶπε τῷ ἑαυτοῦ οἰκέτῃ· «εἰ σὺ ἐφείσω ὑπὲρ **72** τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας, ἣ ὑπὸ νύκτα ἐγένετο καὶ ὑπὸ νύκτα ἀπώλετο, ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευΐ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνδρῶν καὶ κτήνη πολλά»[6]; Καὶ φειδοῦς ἦν Θεὸς καὶ φανερὸς ἦν ὁ φθεγγόμενος ὁ νῦν μὲν ταῦτα εἰρηκώς, ἐν δὲ ἑτέρῳ προφήτῃ βεβοηκώς, «οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν»[7], ὁ ὑπὸ τῶν ἐπισταμένων ὑμνεῖν δοξολογούμενος, «οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος»[8]. Τηλικοῦτον γάρ ἐστιν πέλαγος οἰκτιρμῶν παρὰ τῷ Θεῷ, ὡς καὶ τὴν ἐλαχίστην καὶ βραχυτάτην καὶ τῶν πάνυ φαυλοτάτων πρὸς μετάνοιαν ῥοπὴν μὴ ἀτίμητον ἐᾶσαι. Σχεδὸν γὰρ εἰς πέρας κακίας ἐληλακότος τοῦ Ἀχαὰβ καὶ ὀλίγως πως κατανυγέντος, τετίμηκεν ὁ Θεὸς καὶ ἔδειξε τῷ οἰκέτῃ πρᾶγμα καὶ συνέστειλε τὴν ἀπειλήν, χρόνον τῆς ἐπιτιμίας μεταξὺ καταλιμπάνων. «Εἶδες», φησί, «πῶς κατενύγη Ἀχαάβ; Οὐ μὴ ἐπάξω τὰ κακὰ ἐν ταῖς ἡμέραις αὐτοῦ, ἀλλ' ἐν ἡμέραις, ἄλλαις»[9], ἵνα καὶ τὴν ἐλαχίστην ῥανίδα τῆς μετανοίας τιμήσῃ τῇ πρεπούσῃ τιμῇ ὁ Θεός.

1. Ματθ. 11,28. 2. Ἐνθ' ἀν. 3. Ψαλ. 46,2. 4. Ψαλ. 48,2-3. 5. Ματθ. 3,2. 6. Ἰω. 4,10-11. 7. Πρβλ. Ἰεζ. 33,11. 8. Ψαλ. 102,8. 9. Πρβλ. Γ' Βασ. 20,29.

ΝΑ'. Καὶ ταῦτα μὲν μέχρι τούτου προειρηκότες κατελήξαμεν, ἵνα καὶ ὁ περὶ <τοῦ> νόμου λόγος μὴ παντελῶς ἀγύμναστος καταλελειμμένος ὑπάρχῃ, μόνον τοῦτο προσγεγραφηκότες ὅτι «σκιὰ νόμος τῶν μελλόντων ἀγαθῶν»[1]. Καὶ γὰρ παιδαγωγὸς συμπράττει τῷ παιδὶ καὶ τῇ νέᾳ ἡλικίᾳ, μέχρις οὗ ὁ διδάσκαλος τὴν ἕξιν παραλαβὼν τοῖς μαθήμασι τοῖς μείζοσι παραδῷ. Καιριώτερον γάρ τις δυνήσεται, ταύτην ἰδέαν ὑπόθεσιν θέμενος, κατασκευάσαι, πῶς μὲν «διὰ Μωσέως ὁ νόμος, ἀπὸ δὲ Κυρίου ἡ χάρις καὶ ἡ ἀλήθεια ἐγίγνετο»[2]. Ἡμεῖς δὲ καὶ τῶν ἑτέρων ἐπιχειρήσεων τοῦ ἐκτρώματος ἐφαψώμεθα, τὴν ἄλλην ἄτοπον αὐτοῦ δόξαν ἐν τοῖς λογίοις παρατιθέντες καὶ ταῖς ἐξετάσεσι γυμνοῦντες, ὅπως (εἴ γε οἷόν τε ἐστί) τὰς αἱρεθείσας διανοίας τῆς ἀλόγου δόξης ἐξυφαιρῆσαι δυνηθῶμεν. Ἐξέτεινε γὰρ ἑαυτὸν καὶ μέχρι τοῦ δημιουργήματος, καὶ τοῦτο τὸ φαινόμενον ποίημα τοῦ ἀπατεῶνος ποίημα εἶναι βούλεται καὶ εἶναι μὲν τὸν ἄνθρωπον πλάσμα [μὲν] τοῦ πονηροῦ καὶ εἶναι μὲν τὴν ψυχὴν ἀπὸ Θεοῦ, εἶναι δὲ παρὰ τῷ πονηρῷ ἡρμοσμένην, καὶ γεγονέναι τὸν ἄνθρωπον τὴν μὲν οὐσίαν τοῦ σώματος ἀπὸ τῆς οὐσίας εἰληφότα τοῦ πονηροῦ, τὴν δὲ οὐσίαν τῆς ψυχῆς ὡς σκῦλον ἢ λάφυρον ἀπὸ Θεοῦ ληφθεῖσαν, ὑπὸ δὲ τοῦ πονηροῦ λαφυραγωγηθεῖσαν. Οὕτως ἔκ τε τῆς λαφυραγωγηθείσης καὶ τῆς οὐσίας τοῦ πονηροῦ γεγονέναι τὸν ἄνθρωπον ἐκ ψυχῆς καὶ σώμα**73**τος, καὶ τῆς μὲν ψυχῆς μὴ αἴτιον εἶναι τὸν πονηρὸν μήτε πεποιηκέναι οὐσίαν ψυχῆς, τῆς δὲ εἰσκρίσεως μόνης τῆς ἐν σώματι ἐνεργὸν εἶναι. Σκυλεύσας γάρ, ὥς φασιν, εἰσέκρινε τῇ σαρκί, τὴν δὲ σάρκα αὐτὴν καὶ τὴν πλάσιν αὐτὴν καὶ τὸν χαρακτῆρα καὶ τὴν τοιάνδε μορφὴν καὶ τὴν οὐσίαν ὅλην ἔργον εἶναι καὶ πλάσιν τοῦ ἀπατεῶνος. Ἐξ ἐναντίων οὖν γεγονέναι τὸν ἄνθρωπον ὁμολογοῦντες οὐδὲ τὸν τῶν ἐναντίων ἴσασι λόγον οὐδὲ ὅτι ἔστι τινὰ τῶν ἐναντίων, ἅτινα ἀμιγῆ ἐστιν ἑαυτοῖς, μηδεμίαν πρὸς ἑαυτὰ μεῖξιν καὶ κοινωνίαν δέξασθαι δυνάμενα, ἀλλὰ τῇ νομιζομένῃ κοινωνίᾳ ἀναιρέσεως ἑαυτῶν ὄντα αἴτια, μὴ δυνάμενα ὁμοῦ εἶναι, ἀλλὰ τοῦ ἑτέρου ἀναιρουμένου διὰ τὴν τοῦ ἑτέρου ἐπικράτησιν. Ἰδοὺ γὰρ ἐν ἑνὶ κοιτωνίσκῳ ἡμέρα καὶ νὺξ οὐκ ἂν εὑρεθείη, ἐπεὶ μόνον φῶς εὑρεθὲν προαναιρεῖ τὸ σκότος. Ἰδοὺ ἐν μιᾷ ψυχῇ σωφροσύνη καὶ πορνεία οὐκ ἂν φανείη, ἐπεὶ μόνη σωφροσύνη φανεῖσα ἐκποδὼν γενέσθαι τὴν πορνείαν ποιεῖ. Ἰδοὺ θεοσέβεια καὶ ἀσέβεια ἐν ἑνὶ ἀνθρώπῳ οὐκ ἂν γένοιτο· ὅπου γὰρ εὐσέβεια φαίνεται, οὐδὲ ῥανὶς ἀσεβείας φανείη. Ἐπικρίνει δὲ καὶ ὁ ἀπόστολος καὶ σφραγίζει τὰ εἰρημένα, «τίς κοινωνία φωτὶ πρὸς σκότος; Τίς μερὶς Χριστῷ πρὸς Βελίαρ»[3]; Τὰ γὰρ ἑαυτοῖς ἐναντία φίλα ἑαυτοῖς οὐκ ἂν γένοιτο, καὶ μία ἁρμονία οὐκ ἂν ποι<οί>η τὰ ἑαυτῆς διεστηκότα. Οὐδὲ γὰρ ἔκ τε ῥυθμοῦ καὶ ἀρρυθμίας μία γίγνεται ἁρμονία οὔτε ἐκ σιωπῆς καὶ λαλιᾶς μία γίγνεται σύστασις. Μόνον γὰρ

1. Πρβλ. Ἑβρ. 10,1. 2. Πρβλ. Ἰω. 1,17. 3. Πρβλ. Β' Κορ. 6,15.

τὸ ἓν εἶναι ὀφείλει, τοῦ ἑτέρου συστῆναι οὐκ ἀνεχομένου. Εἰ δὲ τὸ σῶμα ἦν τοῦ πονηροῦ καὶ ἡ ψυχὴ τοῦ Θεοῦ, πῶς εἰς μίαν ἁρμονίαν τὴν ἀνθρώπου ἀποδέδοται; Πῶς εἰς μίαν διάθεσιν καὶ φιλίαν; Ἰδοὺ γὰρ ἥρμοσται καὶ γέγονεν εἷς ἄνθρωπος καὶ τῇ ἁρμονίᾳ ἔστιν ἡ ψυχὴ εἷς. Ἰδοὺ ἡ ψυχὴ ἔχεται τοῦ σώματος καὶ φιλεῖ καὶ στέργει. «Οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν, ἀλλ' ἐκτρέφει καὶ θάλπει αὐτήν»[1]. Εἰ δὲ δὴ τῷ ἑτέρῳ μέλ[λ]ει περὶ τοῦ ἑτέρου καὶ τὴν ἀλγηδόνα τοῦ σώματος ἰδίαν ἀλγηδόνα ἡγεῖται ἡ ψυχὴ καὶ οὐ διαιρεῖται τῶν παθημάτων, ἀλλ' οἰκειοῦται πρὸς τὰ τραύματα, οἰκειοῦται πρὸς τὰ παθήματα, καὶ ὅτε μὲν ἀλγεῖ, τραυμάτων ἕνεκεν ἀνιᾶται, ἀνώδυνος εἶναι <μὴ> δυναμένη, ὅτε δὲ ἡδυπαθεῖ, καὶ ὑπὸ τῆς ἡδονῆς ἐρεθίζεται, μετέχει τῶν κινημάτων καὶ ἡ ψυχὴ καὶ συνεφάπτεται τῶν ἐρεθισμῶν καὶ λήγει μὲν ὁμοίως, λαμβάνει δὲ ἐπίδοσιν ὡσαύτως καὶ ληγούσης μὲν ψυχῆς ἀπὸ τῶν κινημάτων τῶν παθῶν, συλλήγει καὶ τὸ σῶμα καὶ καθησυχάζει, ἐπιτριβομένης δὲ τῆς **74** ἐπιθυμίας ἐν τῇ ψυχῇ καὶ τῶν ἐρεθισμῶν ἐπιτριβομένων, ἡδύνει καὶ τὸ σῶμα καὶ φλεγμαίνει καὶ γίγνονται ἴσως μὲν οἱ ἐρεθισμοί, ἴσως δὲ καὶ τῶν ἐρεθισμάτων αἱ ἀποθέσεις καὶ ἐκλείψεις. Εἰ δὲ ἐξ ἐναντίων ἦν καὶ τὸ μὲν σῶμα τοῦ πονηροῦ ἦν, ἡ δὲ ψυχὴ τοῦ Θεοῦ, πρῶτον μὲν οὐκ ἂν ἐγεγόνει σύνοδος οὔτε αὐτὴ ἡ μακρὰ κρᾶσις ἀπετελεῖτο, δεύτερον δὲ τὸ ἕτερον τοῦ ἑτέρου οὐκ ἂν παρεδέχετο, ἀλλ' ἑκάτερον ἴδια μὲν τὰ ἑαυτοῦ, ἀλλότρια δὲ τὰ τοῦ ἑτέρου ἐλογίζετο καί οὔτε ἡ ἡδονὴ τῶν σωμάτων ἡδονὴ ψυχῆς ἐγίγνετο οὔτε τὰ τραύματα τῶν σωμάτων ἀλγηδόνες ψυχῆς ἐγίγνοντο, ἀλλ' ἑκάτερον καθ' ἑαυτὸ καὶ τὴν ἡδονὴν ἑαυτῷ καὶ τὰ τραύματα ἐμερίζετο. Πῶς δὲ καὶ ὁ διάβολος ἴσχυσε τὸ μὴ ἴδιον ἐκεῖθεν λαβεῖν; Πῶς δὲ καὶ ἡ ψυχή, μὴ τούτου οὖσα, ἀλλὰ ἄλλου οὖσα καὶ μηδεμίαν ἐπιμειξίαν ἔχουσα πρὸς τὸ χωρίον τοῦτο, ἀλλ' οὖσα ἑτέρας οὐσίας καὶ πάντη ἠλλοτριωμένη τῆς οὐσίας τοῦ πονηροῦ ἐν τοῖς ἀλλοτρίοις ἐστὶ καὶ ξένοις καὶ τὴν τοῦ σώματος ἐπιμειξίαν φέρει δεσμὸν πονηροῦ καὶ δέδεται ἐν οὐκ ἰδίῳ καὶ ἰδιοποιεῖται τὴν σάρκα καὶ ἁγίαν αὐτὴν ποιεῖ καὶ πρὸς ἀρετὴν αὐτὴν παρασκευάζει, ὡς ἀφομοιοῦσθαι κατὰ τὸ δυνατὸν τῷ κρείττονι· ὅταν γὰρ ἁγνὸν ᾖ καὶ ἀρρύπαρον καὶ ἀκηλίδωτον, ὅταν ἅγιον ᾖ καὶ σεμνόν, ὅταν ἁγίας ἔχῃ τὰς λαλιάς, ὅταν δεξιὰς ἔχῃ λαλιάς, ὅταν δεξιὰς ἔχῃ τὰς βλέψεις, ὅταν θείας ἔχῃ τὰς κινήσεις, τί ἕτερον ἢ ἀφομοιοῦται τῷ κρείττονι; Καὶ ἐξεικάζεται τῷ καλῷ καὶ ἀναφέρει χαρακτῆρα τοῦ κρείττονος.

ΝΒ'. Καὶ ταῦτα μὲν οὕτως εἰρήσθω, ὀλίγα δὲ καὶ τῶν λογίων παραθώμεθα, ἵνα καὶ ἡ τῶν λογίων παράθεσις ἐντροπὴν μὲν ἐκείνοις, ἡμῖν δὲ πίστεως ἀκρίβειαν ἐμποιήσῃ. Ὁ γὰρ Σωτὴρ ἐν τῷ εὐαγγελίῳ, τῆς πλάσεως μεμνημένος ἀνδρὸς καὶ γυναικὸς καὶ τὴν πλάσιν

1. Ἐφ. 5,29.

ἀναφέρων ἐπὶ τὸν ἑαυτοῦ Πατέρα καὶ ποιητὴν τοῦ παντός, ἔλεγεν, «ὁ κτίσας ἀπ' ἀρχῆς ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς»[1], καὶ εἶπεν· «ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν[2]· ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω»[3]. Καὶ τὸν ὅρον τοῦ σώματος καὶ τῆς ψυχῆς αἴτιον ὁμολογῶν οἶδε καὶ Πατέρα ὁμολογεῖ καὶ ἐπέχει τὰς ἀνθρωπίνας ἐπινοίας, ἀχώριστα εἶναι τὰ πεποιημένα βουλόμενος καὶ μὴ ἀνθρωπίνῃ γνώμῃ χωρίζειν τινὶ τὰ καλῶς ἡρμοσμένα ἐπιτρέπων. Ἐν δὲ τῷ εὐαγγελίῳ τοῖς δοκήσει τῆς αὐτῆς ἐπιμελείας ἐχομένοις, ἠμεληκόσι δὲ τῶν **75** κρυπτῶν καὶ τῆς ἔνδον ἐπιμελείας φησίν· «ἄφρων, οὐχ ὁ ποιήσας τὸ ἔξωθεν καὶ τὸ ἔνδοθεν ἐποίησεν»[4]; Εἰ δὲ τὸ μὲν ἔσωθέν ἐστιν ἡ ψυχή, τὸ δὲ ἔξωθεν τὸ σῶμα, καὶ ὁ ποιήσας τὸ ἔσω τὴν ψυχὴν πεποίηκε καὶ ὁ ποιήσας τὸ ἔξω τὸ σῶμα πεποίηκεν, ὁ ψυχῆς ποιητὴς καὶ σώματος ἂν εἴη ποιητής, καὶ Θεός ἐστιν ὁ ἀμφότερα ποιῶν καὶ ἁρμόζων καὶ συνάπτων, ὁ τὴν ἁρμονίαν ταύτην τὴν ἱεροπρεπεστάτην ἡρμοσμένος. Αὐτὸς δὲ ὁ Σωτὴρ ἐν ταῖς ἑαυτοῦ διαλέξεσιν οἵαν ἐπιμέλειαν ποιεῖται τοῦ σώματος, ὅταν λέγῃ· «εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν· ὁ δυνάμενος χωρεῖν χωρείτω»[5]. Ταύτην γὰρ ἐπιμέλειαν τῷ σώματι ἀποδεδωκὼς καὶ ἅγιον αὐτὸ καὶ ἀπαθὲς καὶ ἀνήδονον παρασκευάζων καὶ πᾶσαν ἐπιθυμίαν ὑποτέμνων καὶ ὑποκείρων τῷ λόγῳ, τὴν πρὸς τὸ σῶμα ἐπιμέλειαν δείκνυσι καὶ τὴν πρὸς τὴν σάρκα κηδεμονίαν σημαίνει. Κηδόμενος δὲ καὶ φροντίζων τὴν ἰδιότητα ἐκ τῆς κηδεμονίας κηρύττει, μέχρι τοῦ βλέμματος φθάνων, ἵνα μὴ τὸ βλέμμα ὡς ἔτυχε κινούμενον ῥυπαρίας καὶ κηλῖδος ἐμπίπληται, ἀλλὰ τὴν εὔτονον ἔχον κίνησιν ἡρμοσμένως διατελῇ. Λέγει γὰρ ἐν τῷ εὐαγγελίῳ· «πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ»[6]. Καὶ τὸ ἐν τῷ σώματι πάθος τῇ καρδίᾳ συμμετρεῖ καὶ τοῦ βλέμματος ἐπιμελούμενος κοινὴν τὴν ἐπιμέλειαν τῆς καρδίας ποιεῖται, πάθος βλέμματος πάθος καρδίας εἰσηγησάμενος καὶ ἐπιμέλειαν ὀμμάτων ἐπιμέλειαν τοῦ διανοητικοῦ θέμενος. Οὐδὲ γὰρ ἑτέρως βλάψει τὸ ὄμμα ἢ ὡς βλάψει ὁ νοῦς. Οὐδὲ γὰρ οἷόν τέ ἐστι τὸ ὄμμα διαστρέφεσθαι, τὴν δὲ ψυχὴν μὴ διαστρέφεσθαι· ἐπιεικοῦς γὰρ ψυχῆς καὶ ἁπλῶς ὁρώσης ἐπιτηδείως ὄψεται τὰ ὄμματα. Ἐνταῦθα γοῦν τὴν ἄτοπον βλέψιν παραβλεψάμενος τὴν ἁγίαν παρεισάγει, ἵνα οἱ ὀφθαλμοὶ ὀρθὰ βλέπωσι καὶ τὰ βλέφαρα νεύῃ δίκαια. Ἐπαίρει γὰρ τὰ ὄμματα, κατ' αὐτὰ κεκάμφθαι μὴ ἐπιτρέπων, ἀλλὰ διανιστῶν αὐτὰ καὶ διεγείρων καὶ ἐπηρμένα αὐτὰ παρασκευάζων. Διὸ πολλὴν ἐπιμέλειαν τῶν σωμάτων ποιούμενος καὶ σῶμα πεφόρηκε καὶ εἰς σῶμα ἦλθεν.

---

1. Πρβλ. Γεν. 1,27. Μάρκ. 10,6. 2. Γεν. 2,24. Μάρκ. 10,7. 3. Μάρκ. 10,9. 4. Λουκ. 11,40. 5. Ματθ. 19,12. 6. Ματθ. 5,28.

ΝΓ'. Εἰ μὲν οὖν οὐκ ἦλθεν ἐν σώματι, τί φήσουσι περὶ τοῦ σταυροῦ καὶ τοῦ τύπου τῶν ἥλων καὶ τοῦ τύπου τῆς λόγχης καὶ τοῦ μνημείου καὶ τῆς ταφῆς; Εἰ δὲ ἐκ τούτων ἐλεγχόμενοι ὁμολογοῦσι σῶμα τὸν Σωτῆρα εἰληφέναι, τί ἐροῦσιν, εἰ μήτε καὶ αὐτὸν ὑπὸ τοῦ πονηροῦ πεπλάσθαι φήσουσι καὶ μηκέτι μόνον τὸ ἀνθρώπινον σῶμα **76** εἶναι τοῦ πονηροῦ, ἀλλὰ καὶ τὸ σῶμα τοῦ εὐεργέτου; Οὐ φείσονται γὰρ μέχρι καὶ ταύτης τῆς ἐπινοίας φθάσαι καὶ τὴν γλῶτταν ἐκτεῖναι κατὰ τοῦ Σωτῆρος; Ὁ γὰρ μελετῶν κατὰ τῶν ἐκείνῳ διαφερόντων διαλέγεσθαι, οὗτος ἀκονήσας τὴν γλῶτταν κατ' αὐτοῦ διαλεχθήσεται, ὁ δὲ Σωτὴρ καὶ βαπτίσματι ἀπελούετο ἐν τῷ Ἰορδάνῃ, ὕδασι περιερραίνετο, τίς ὢν καὶ τυγχάνων; Εἰ μὲν γὰρ οὐ σῶμα φέρων οὔτε σῶμα ἔχων, τί κοινὸν πνεύμασι καὶ ποταμοῖς; Τίς ἀγγέλων, ποία δύναμις, ποία κυριότης, ποία ἀρχή, ποία ἐξουσία καταβέβηκεν εἰς λουτρὸν καὶ πεῖραν ὑδάτων ἔσχεν; Εἰ δὲ οὐ δύναμις μὲν οὐδὲ ἐξουσία οὔτε θρόνος οὐδεὶς οὔτε δὲ ... εἰς ὕδατα κατῆλθεν, ἀζήτητον γέγονε τὸ πρᾶγμα καὶ σαφὲς καὶ δῆλον γέγονε τὸ ζητούμενον. Ἀλλὰ ἀνῄει ἀπὸ τῶν ὑδάτων, ἐπειράζετο ὑπὸ τοῦ διαβόλου, ἐπείνα, ἐδίψα, ἔπλει, ἐκοιμᾶτο, ὥδευεν, ἐκοπία, ἐβάδιζε, πεινῶν ἐπὶ τὴν συκῆν ἦλθε, τὸ τελευταῖον ἐκρίνετο, ἐσταυροῦτο. Τίς ταῦτα ἐβόα; Τίς ταῦτα ἐμαρτύρει; Σιωπάτωσαν αἱ γλῶσσαι, λαλείτωσαν αἱ πράξεις. Στόμα ἔχουσι τὰ πράγματα· μηκέτι τὸν ἀέρα κρούοντες τὸν ἦχον ἀποπέμψωμεν. Στόμα ἔχουσι τὰ γεγραμμένα, κἂν ἡμεῖς σιωπήσωμεν, οὐ σιωπᾷ τὰ πράγματα, κἂν ἡμεῖς μὴ λαλήσωμεν, οὐκ ἀνέχεται μὴ λαλεῖν τὰ γεγραμμένα. Ἐπειδὴ οὖν ταῦτα οὕτως ἔχει καὶ πισταί εἰσιν αἱ πράξεις καὶ τῶν πράξεων ἀληθεῖς οἱ λόγοι καὶ βοῶσιν αἱ τῶν πράξεων δυνάμεις ὅτι σῶμα εἶχεν ὁ Σωτὴρ καὶ σῶμα θνητὸν καὶ σῶμα ἐφόρεσε διὰ τὰ ἡμέτερα, τὸ ὅμοιον λοιπὸν ζήτει, ἥκει δι' ἡμᾶς ὁ ἐκείνου ποιητὴς καὶ τῶν ἡμετέρων ποιητής. Εἰ γὰρ ἕτερον ἦν, οὐκ ἂν περὶ ἑτέρων ἐκείνου πρόνοιαν ἐποιεῖτο, εἰ δὲ πεποίηται καὶ πεποίηται ὑπὸ Θεοῦ, πεποίηται δὲ ὑπὲρ ἡμῶν, ὑπὲρ τῶν ἰδίων ἐποιεῖτο. Ἵνα γὰρ τὰ ἴδια ἑαυτοῦ σώσῃ, ἐκεῖνο ἐποίησε, τῇ ἐκείνου ποιήσει πάντων τῶν ἰδίων τὴν ἐλευθερίαν ἐργασάμενος. Χάρις οὖν τῷ πεποιηκότι τὰ ἡμέτερα σώματα, τῷ προνοησαμένῳ καὶ ἐρραθυμηκότων αὐτῶν καὶ ἀποστείλαντι τὸν ἴδιον Υἱὸν ἐν σώματι καὶ δεδωκότι ἐνέχυρον τοῖς ἡμετέροις σώμασιν, ἵνα μηκέτι κάμπτωμεν καὶ χαμαὶ ὁρῶμεν, ἀλλὰ ὦμεν ἐπηρμένοι τῇ κοινωνίᾳ τῶν σωμάτων. Εὐτελίσωμεν οὖν καὶ ἐν τούτῳ τοὺς ἀπατεῶνας ἐκείνους, ὅτι καὶ κατὰ τῶν σωμάτων βεβαδίκασι καὶ κατὰ τοῦ πλάστου κεχωρήκασι καὶ κατὰ τῆς οἰκονομίας τοῦ Θεοῦ τὴν γλῶτταν ἐξέτειναν καὶ κατὰ τῆς ἐλευθερίας ἡμῶν πρὸς γλῶτταν λαλεῖν οὐ παρῃτήσαντο, ἀγύρται τινὲς ὄντες καὶ ἀγοραῖοι, ἄθροισμα λόγων πονηρίας συναγηοχότες. Ἔστι γὰρ τὸ ἓν ἐλάμενον τὸ ἕτερον αἰτιᾶσθαι, **77** ἀλλὰ πάντα ἐφεξῆς ἐπεξιόντας πάντα ἀχρεῖα καὶ ἔκφυλα ἡγεῖσθαι. Διὰ τοῦτο καὶ ἡμεῖς

εἰς ἅπαντα λόγον αὐτῶν κατιόντες μὴ πολὺ μῆκος παράσχωμεν τῷ λόγῳ. Μέχρι τούτων στῶμεν, διὰ τῶν ὀλίγων καὶ τὰ ἄλλα ὑποδείξαντες καὶ διὰ τῶν προλεχθέντων τὸν ἔλεγχον κατασκευάσαντες. Ἐπιμελείας δὲ τοῖς σπουδαίοις χρεία, ἵνα πᾶσαν γοητείαν ὑπερβεβηκότες ἀλήπτους τὰς ἀκοὰς ἀπὸ τῆς πονηρίας διαφυλάξωσιν, ὅπως κλειδοφύλακες ὦσι τῶν ἑαυτῶν ἀκοῶν καὶ πῇ μὲν ἀνοιγνύοντες, ὅτε κρούει ὁ ἀληθὴς λόγος, πῇ δὲ ἀποκλείοντες, ὅτε <ὁ> ψευδὴς καὶ πεφενακισμένος σχηματιζόμενος τὴν ἀλήθειαν εἰσβάλλειν ἐν τῷ ταμείῳ τῆς διανοίας σπουδάζει. «Πολλοὶ γὰρ πεπλασμένοι καὶ ἐσχηματισμένοι τὰς ἀκοὰς κρούουσι, λέγοντες· ἐγώ εἰμι ὁ Χριστός, καὶ πολλοὺς πλανήσουσιν»[1], εἷς δὲ μόνος ἔστιν ὁ Χριστός, ὁ ἐλευθερωτής, ὁ τροπαιοῦχος, ὁ εὐεργετικός, ὁ διαθέσει κρούων, ὁ ἐλευθερίαν τῇ εἰσόδῳ μνηστευόμενος, ὁ ἅμα τῷ εἰσβαλεῖν ἐξοικίζων τὰς ἁμαρτίας, ὁ ἐν τῇ εἰσόδῳ τὴν φιλίαν τὴν πρὸς τὸν πατέρα ἀποδιδούς, ὁ παραχρῆμα τῇ εἰσόδῳ τῇ ἑαυτοῦ τρόπαια κατὰ τῆς πονηρίας ἱστῶν, ὁ τὴν εὐεργεσίαν αὐτοῦ ἀποκρύπτων ἐν τῇ ψυχῇ. Οὗτος ἐὰν εἰσβάλῃ καὶ γένηται ἔνδον, πανηγύρεις θεῖαι καὶ ἱεροπρεπεῖς ἀποτελοῦνται, χοροὶ λαληθῆναι μὴ δυνάμενοι, θυμηδία σιωπῇ τετιμημένη. Εὐθὺς γὰρ ἀνέλκει τὴν διάνοιαν, καὶ πτεροῖ τὴν ψυχήν, καὶ μετάρσιον αὐτὴν πρὸς τὰ κρείττονα κατασκευάζει. Ἀμέλει, ἐάν τις ἐκεῖνον ἴδῃ, οὐκέτι πρὸς ἑαυτὸν βλέψει, ἀλλὰ τῷ θεωρηθέντι κάλλει καταπλήττεται· πάντα ἀκαλλῆ ἡγεῖται. Διὰ τὴν ἐκείνου εὐπρέπειαν βοᾷ· «ματαιότης ματαιότητος, τὰ πάντα ματαιότης»[2], βοᾷ· «πάντα ἡγοῦμαι σκύβαλα, ἵνα Χριστὸν κερδήσω»[3]. Ἐὰν δ' ἄρα οὕτως κρούῃ, καὶ βραδύνῃ ἡ διάνοια καὶ ὕπνῳ χρήσηται, καὶ τοῦ βράδους αἰτία γένηται, ἀφίησι φωνήν· «ἄνοιξόν μοι, ἀδελφή μου, νύμφη, ὅτι ἡ κεφαλή μου ἐνεπλήσθη δρόσου καὶ οἱ βόστρυχοί μου ψεκάδων νυκτός»[4], ἵνα τὴν φιλίαν δείξῃ καὶ τὴν κηδεμονίαν σημάνῃ· ὅτι καὶ ἀποκλειόμενος ὁ λόγος ἀνέχεται, καὶ ἔξω ὢν φέρει, καὶ οὐκ ἀφίσταται ἕως ἂν τῇ συνεχείᾳ τῆς αἰτήσεως καὶ τῆς κρούσεως ὑπανοίξῃ ἑαυτὴν ἡ διάνοια, τόπον τῷ κρούοντι παρέχουσα.

ΝΔʹ. Περιέρχονται δὲ καὶ οἱ γόητες καὶ οἱ ψευδοπροφῆται καὶ οἱ ψευδόχριστοι, πῇ μὲν κρούοντες, πῇ δὲ ὀρύττοντες· καὶ τῷ μὲν κρούσματι ἁπαλωτέρῳ χρώμενοι καὶ μιμούμενοι τὴν ἀληθῆ κροῦσιν. Τάχα τῇ ὁμοιότητι τῆς κρούσεως ἀπατηθεῖσα ἡ διάνοια ὡς οἰκείῳ καὶ γνωρίμῳ **78** ὑπανοίγει. Οὐ παραιτούμενοι δὲ [οὐδὲ] τοιχωρυχεῖν, ἀλλὰ καὶ διορύττειν ἐσπουδακότες, ἵνα ἢ ἀπάτῃ ἢ βίᾳ δελεάσωσι τὰς διανοίας ἀμέλει, τοὺς μὲν βίᾳ εἷλον, τοὺς δὲ ἀπάτῃ γεγοητεύκασι. Διὰ τοῦτο οἱ σοφοὶ καὶ σεμνοὶ κλειδοφύλακες ὄντες, ἐπιστήμην μετὰ τοῦ γρηγόρου κερασάμενοι, διὰ τὸ ἐγρηγορέναι οὐδέποτε διορύττονται, διὰ δὲ τὴν ἐπιστήμην οὐδέποτε ἀπατῶνται. Ἐ-

---

1. Πρβλ. Ματθ. 24,5. 2. Ἐκκλ. 1,2. 3. Φιλιπ. 3,8. 4. Ἆσμ. 5,2.

πιστήμη μὲν γὰρ τῇ γοητείᾳ, γρηγόρησις δὲ τόπον τοῖς διορύττουσιν οὐ δίδωσι. Τούτου χάριν οἱ σοφοὶ καὶ σεμνοὶ κλειδοφυλακήσωμεν ἑαυτῶν τὰς διανοίας, ἐπιστήμῃ μὲν τὴν ἀπάτην νικῶντες, τῇ δὲ γρηγορήσει τὸ ἄσυλον ἑαυτοῖς μνηστευόμενοι.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΣΑΡΑΠΙΩΝΟΣ ΕΠΙΣΚΟΠΟΥ ΘΜΟΥΕΩΣ ΚΑΤΑ ΜΑΝΙΧΑΙΩΝ

ΕΥΧΟΛΟΓΙΟΝ ΣΑΡΑΠΙΩΝΟΣ*

Α'. Εὐχὴ πρώτη Κυριακῆς (19)

99 Παρακαλοῦμέν σε τὸν Πατέρα τοῦ μονογενοῦς, τὸν κύριον τοῦ παντός, τὸν δημιουργὸν τῶν κτισμάτων, τὸν ποιητὴν τῶν πεποιημένων, καθαρὰς ἐκτείνομεν τὰς χεῖρας καὶ τὰς διανοίας ἀναπετάννυμεν πρὸς σέ, Κύριε· δεόμεθα, οἴκτειρον, φεῖσαι, εὐεργέτησον, βελτίωσον, πλήθυνον ἐν ἀρετῇ καὶ πίστει καὶ γνώσει· «ἐπίσκεψαι ἡμᾶς»[1], Κύριε, πρὸς σὲ τὰς ἀσθενείας ἑαυτῶν ἀναπέμπομεν· ἱλάσθητι καὶ ἐλέησον κοινῇ πάντας ἡμᾶς· ἐλέησον τὸν λαὸν τοῦτον, εὐεργέτησον, ἐπιεικῆ καὶ σώφρονα καὶ καθαρὸν ποίησον, καὶ δυνάμεις ἀγγελικὰς ἀπόστειλον, ἵνα ὁ λαός σου οὗτος ἅπας ἅγιος καὶ σεμνὸς ᾖ. Παρακαλῶ σε, Πνεῦμα Ἅγιον ἀπόστειλον εἰς τὴν ἡμετέραν διάνοιαν καὶ χάρισαι ἡμῖν μαθεῖν τὰς θείας γραφὰς ἀπὸ Ἁγίου Πνεύματος καὶ διερμηνεύειν καθαρῶς καὶ ἀξίως, ἵνα ὠφεληθῶσιν οἱ παρόντες λαοὶ πάντες· διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ ἐν Ἁγίῳ Πνεύματι, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Β'. Μετὰ τὸ ἀναστῆναι ἀπὸ τῆς ὁμιλίας εὐχή (20)

«Ὁ Θεὸς ὁ σωτήρ»[2], ὁ Θεὸς τοῦ παντός, ὁ τῶν ὅλων κύριος καὶ δημιουργός, ὁ γεννήτωρ τοῦ μονογενοῦς, ὁ τὸν «χαρακτῆρα»[3] τὸν ζῶντα καὶ ἀληθινὸν γεννήσας, ὁ πρὸς ὠφέλειαν τοῦ γένους τῶν ἀνθρώπων αὐτὸν ἀποστείλας, ὁ δι' αὐτοῦ καλέσας καὶ προσποιησάμενος τοὺς ἀνθρώπους· δεόμεθά σου ὑπὲρ τοῦ λαοῦ τούτου· Πνεῦμα Ἅγιον πέμψον καὶ ὁ Κύριος Ἰησοῦς ἐπισκεψάσθω, λαλησάτω ἐν ταῖς διανοίαις πάντων καὶ προοικονομησάτω εἰς πίστιν τὰς καρδίας· αὐτὸς πρὸς σὲ ἑλκυσάτω τὰς ψυχάς, Θεὲ τῶν οἰκτιρμῶν· **100** κτῆσαι λαὸν καὶ ἐν τῇ πόλει ταύτῃ, κτῆσαι ποίμνιον γνήσιον· διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ ἐν Ἁγίῳ Πνεύματι, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Γ'. Εὐχὴ ὑπὲρ τῶν Κατηχουμένων (21)

Βοηθὲ καὶ κύριε τῶν ἁπάντων, ἐλευθερωτὰ τῶν ἐλευθερωθέντων, προστάτα τῶν ῥυσθέντων, ἡ ἐλπὶς τῶν «ὑπὸ τὴν κραταιάν» σου «χεῖ-

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ F. E. Brightman. The Sacramentary of Serapion of Thmuis. The Journal of Theological Studies, vol. I. London 1900, σσ. 88-113, 247-277.

1. Πρβλ. Ψαλ. 105,4. 2. Πρβλ. Ψαλ. 26,9. 3. Πρβλ. Ἑβρ. 1,3.

ρα»[1] γεγονότων· σὺ εἶ ὁ τὴν ἀνομίαν καθῃρηκώς· ὁ διὰ τοῦ μονογενοῦς «καταργήσας τὸν σατανᾶν»[2] καὶ «λύσας» αὐτοῦ «τὰ τεχνάσματα»[3] καὶ ἀπολύσας τοὺς ὑπ' αὐτοῦ δεδεμένους»[4]· εὐχαριστοῦμέν σοι ὑπὲρ τῶν κατηχουμένων, ὅτι κέκληκας αὐτοὺς διὰ τοῦ μονογενοῦς καὶ γνῶσιν αὐτοῖς τὴν σὴν ἐχαρίσω· καὶ διὰ τοῦτο δεόμεθα, βεβαιωθήτωσαν ἐν τῇ γνώσει, «ἵνα γινώσκωσίν σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν»[5]· διαφυλαττέσθωσαν ἐν τοῖς μαθήμασι καὶ ἐν τῇ καθαρᾷ φρονήσει καὶ προκοπτέτωσαν ἄξιοι γενέσθαι τοῦ «λουτροῦ τῆς παλιγγενεσίας»[6] καὶ τῶν ἁγίων μυστηρίων· διὰ τοῦ μονογενοῦς Ἰησοῦ Χριστοῦ ἐν Ἁγίῳ Πνεύματι, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Δ'. Χειροθεσία Κατηχουμένων (28)

Τὴν χεῖρα ἐκτείνομεν, δέσποτα, καὶ δεόμεθα τὴν χεῖρα τὴν θείαν καὶ ζῶσαν ἐκταθῆναι εἰς εὐλογίαν τῷ λαῷ τούτῳ· σοὶ γάρ, ἀγένητε Πάτερ, διὰ τοῦ μονογενοῦς κεκλίκασι τὰς κεφαλάς· εὐλόγησον τὸν λαὸν τοῦτον εἰς εὐλογίαν γνώσεως καὶ εὐσεβείας, εἰς εὐλογίαν τῶν σῶν μυστηρίων· διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ε'. Εὐχὴ ὑπὲρ λαοῦ (27)

Ἐξομολογούμεθά σοι, φιλάνθρωπε Θεέ, καὶ προσρίπτομεν ἑαυτῶν τὰς ἀσθενείας καὶ δύναμιν ἡμῖν προσγενέσθαι παρακαλοῦμεν. Σύγγνωθι τοῖς προγεγενημένοις ἁμαρτήμασιν καὶ ἄφες πάντα τὰ **101** παρῳχημένα σφάλματα καὶ ποίησον καινοὺς ἀνθρώπους»[7]. Δεῖξον ἡμᾶς καὶ δούλους γνησίους καὶ καθαρούς· σοὶ ἀνατίθεμεν ἑαυτούς, δέχου ἡμᾶς, «Θεὲ τῆς ἀληθείας»[8], δέχου τὸν λαὸν τοῦτον· δὸς ὅλον γνήσιον γενέσθαι, δὸς ὅλον ἀμέμπτως καὶ καθαρῶς πολιτεύεσθαι· συμμετρηθήτωσαν τοῖς οὐρανίοις, συναριθμηθήτωσαν τοῖς ἀγγέλοις, ὅλοι ἐκλεκτοὶ καὶ ἅγιοι γενέσθωσαν. Παρακαλοῦμέν σε ὑπὲρ τῶν πεπιστευκότων καὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν ἐπεγνωκότων, «βεβαιωθήτωσαν ἐν τῇ πίστει»[9] καὶ τῇ γνώσει καὶ τῇ διδασκαλίᾳ.

Δεόμεθα ὑπὲρ παντὸς τοῦ λαοῦ τούτου, καταλλάγηθι πᾶσιν, γνώρισον ἑαυτόν, ἀποκάλυψόν σου τὸ φέγγος· «γνώτωσάν σε» πάντες τὸν ἀγένητον Πατέρα καὶ τὸν μονογενῆ σου Υἱὸν «Ἰησοῦν Χριστόν»[10].

Δεόμεθα ὑπὲρ πάντων ἀρχόντων, εἰρηνικὸν τὸν βίον ἐχέτωσαν ὑπὲρ ἀναπαύσεως τῆς καθολικῆς ἐκκλησίας.

Δεόμεθα, Θεὲ τῶν οἰκτιρμῶν, ὑπὲρ ἐλευθέρων καὶ δούλων, ἀρρέ-

---

1. Πρβλ. Α' Πέτρ. 5,6. 2. Πρβλ. Ἑβρ. 2,14. 3. Πρβλ. Α' Ἰω. 3,8. 4. Πρβλ. Λουκ. 13,16. 5. Ἰω. 17,3. 6. Τίτ. 3,5. 7. Πρβλ. Ἐφ. 4,24. 8. Πρβλ. Ψαλ. 30,6. 9. Πρβλ. Κολ. 2,7. 10. Πρβλ. Ἰω. 17,3.

νων καὶ γυναικῶν, γερόντων καὶ παιδίων, πενήτων καὶ πλουσίων· πᾶσι τὸ ἴδιόν σου δεῖξον χρηστὸν καὶ τὴν ἰδίαν σου πᾶσιν πρότεινον φιλανθρωπίαν· πάντας οἴκτειρον καὶ πᾶσι χάρισαι τὴν πρὸς σὲ ἐπιστροφήν.

Παρακαλοῦμεν ὑπὲρ ἀποδημούντων, χάρισαι αὐτοῖς ἄγγελον εἰρηνικὸν συνοδοιπόρον γενέσθαι, ἵνα μηδὲν ὑπὸ μηδενὸς ζημιωθῶσιν, ἵνα ἐν πολλῇ εὐθυμίᾳ τὸν πλοῦν καὶ τὰς ἀποδημίας αὐτῶν διανύσωσιν.

Παρακαλοῦμεν ὑπὲρ τεθλιμμένων καὶ δεδεμένων καὶ πενήτων· ἀνάπαυσον ἕκαστον, ἀπάλλαξον δεσμῶν, ἐξένεγκον τῆς πενίας, παρηγόρησον πάντας ὁ παρηγορῶν καὶ παραμυθούμενος.

Δεόμεθα ὑπὲρ νοσούντων, ὑγείαν χάρισαι καὶ τῆς νόσου ἀνάστησον καὶ ποίησον αὐτοὺς τελείαν ἔχειν ὑγείαν σώματος καὶ ψυχῆς.

Σὺ γὰρ εἶ ὁ σωτὴρ καὶ εὐεργέτης, σὺ εἶ ὁ πάντων κύριος καὶ βασιλεύς· σὲ παρακεκλήκαμεν ὑπὲρ πάντων διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ <κράτο>ς, ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ϛ'. Χειροθεσία λαϊκῶν (29)

Ἡ ζῶσα καὶ καθαρὰ χείρ, ἡ χεὶρ τοῦ μονογενοῦς, ἡ πάντα τὰ πονηρὰ καθηρηκυῖα καὶ πάντα τὰ ἅγια βεβαιώσασ<α> καὶ ἠσφαλισμένη ἐκταθήτω ἐπὶ τὰς κεφαλὰς τοῦ λαοῦ τούτου. Εὐλογηθείη ὁ **102** λαὸς οὗτος εὐλογίᾳ Πνεύματος, εὐλογίᾳ οὐρανοῦ, εὐλογίᾳ προφητῶν καὶ ἀποστόλων· εὐλογηθείη τὰ σώματα τοῦ λαοῦ εἰς σωφροσύνην καὶ καθαρότητα, εὐλογηθείησαν αἱ ψυχαὶ αὐτῶν εἰς μάθησιν καὶ γνῶσιν καὶ τὰ μυστήρια· εὐλογηθείησαν κοινῇ πάντες διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας <τῶν> αἰώνων. Ἀμήν.

Ζ'. Εὐχὴ περὶ νοσούντων (22)

Παρακαλοῦμέν σε τὸν ἔφορον καὶ κύριον καὶ πλάστην τοῦ σώματος καὶ ποιητὴν τῆς ψυχῆς, τὸν ἁρμοσάμενον τὸν ἄνθρωπον, τὸν οἰκονόμον καὶ κυβερνήτην καὶ σωτῆρα παντὸς τοῦ γένους τῶν ἀνθρώπων, τὸν καταλ<λ>ασσόμενον καὶ πραϋνόμενον διὰ τὴν ἰδίαν φιλανθρωπίαν· ἱλάσθητι δέσποτα· βοήθησον καὶ ἴασαι πάντας τοὺς νοσοῦντας. «Ἐπιτίμησον»[1] τοῖς νοσήμασιν, ἀνάστησον τοὺς κατακειμένους· «δὸς δόξαν τῷ ὀνόματί σου»[2] τῷ ἁγίῳ διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Η'. Χειροθεσία νοσούντων (30)

Κύριε Θεὲ τῶν οἰκτιρμῶν, ἔκτεινόν σου τὴν χεῖρα καὶ χάρισαι

1. Πρβλ. Λουκ. 4,39. 2. Πρβλ. Ψαλ. 113,9.

θεραπευθῆναι τοὺς νοσοῦντας πάντας· χάρισαι τῆς ὑγείας ἀξιωθῆναι, ἀπάλλαξον αὐτοὺς τῆς ἐπικειμένης νόσου· ἐν τῷ ὀνόματι τοῦ μονογενοῦς σου θεραπευθήτωσαν, γενέσθω αὐτοῖς φάρμακον τὸ ἅγιον αὐτοῦ ὄνομα εἰς ὑγείαν καὶ ὁλοκληρίαν· ὅτι δι' αὐτοῦ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν <αἰ>ώνων. Ἀμήν.

Θ'. Εὐχὴ ὑπὲρ καρποφορίας (23)

Οὐρανοῦ καὶ γῆς δημιουργέ, ὁ τὸν οὐρανὸν διὰ τοῦ χοροῦ τῶν ἀστέρων στεφανώσας καὶ διὰ τῶν φωστήρων λαμπρύνας, ὁ τὴν γῆν τοῖς καρποῖς τιμήσας πρὸς ὠφέλειαν τῶν ἀνθρώπων, ὁ χαρισάμενος τῷ γένει τῷ ὑπὸ σοῦ πεπλασμένῳ ἄνωθεν μὲν ἀπολαύειν τῆς αὐγῆς καὶ τοῦ φωτὸς τῶν φωστήρων, κάτωθεν δὲ τρέφεσθαι ἀπὸ τῶν καρπῶν τῆς γῆς· δεόμεθα χάρισαι τοὺς ὑετοὺς πληρεστάτους καὶ γονιμωτάτους· ποίησον δὲ καὶ τὴν γῆν καρποφορῆσαι καὶ πολλὴν ἐνέγκαι εὐφορίαν ἕνεκεν «τῆς» σῆς «φιλανθρωπίας καὶ χρηστότητος»[1]· μνήσθητι τῶν σὲ ἐπικαλουμένων, τίμησον τὴν ἁγίαν σου καὶ μόνην καθολικὴν ἐκκλησίαν καὶ εἰσάκουσον τῶν παρακλήσεων καὶ τῶν προσευχῶν ἡμῶν καὶ εὐλόγησον τὴν γῆν πᾶσαν· διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος **103** ἐν Ἁγίῳ Πνεύματι καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ι'. Εὐχὴ περὶ τῆς Ἐκκλησίας (24)

«Κύριε Θεὲ τῶν αἰώνων[2], Θεὲ τῶν» λογικῶν «πνευμάτων»[3], Θεὲ ψυχῶν καθαρῶν καὶ πάντων τῶν γνησίως σε καὶ καθαρῶς ἐπικαλουμένων, ὁ ἐν οὐρανῷ φαινόμενος καὶ γινωσκόμενος τοῖς καθαροῖς πνεύμασιν, ὁ ἐπὶ γῆς ὑμνούμενος καὶ κατοικῶν ἐν τῇ καθολικῇ ἐκκλησίᾳ, ὑπὸ ἀγγέλων ἁγίων λειτουργούμενος καὶ καθαρῶν ψυχῶν, ὁ ποιήσας καὶ ἐξ οὐρανῶν χορὸν ζῶντα εἰς δόξαν καὶ αἶνον τῆς ἀληθείας· δὸς τὴν ἐκκλησίαν ταύτην ζῶσαν καὶ καθαρὰν ἐκκλησίαν εἶναι, δὸς αὐτὴν ἔχειν θείας δυνάμεις καὶ καθαροὺς ἀγγέλους, λειτουργούς, ἵνα δυνηθῇ καθαρῶς ὑμνεῖν σε. Παρακαλοῦμεν ὑπὲρ πάντων ἀνθρώπων τῆς ἐκκλησίας ταύτης· πᾶσιν καταλλάγηθι, πᾶσιν συγχώρησον, πᾶσιν ἄφεσιν ἁμαρτημάτων δός· χάρισαι μηκέτι μηδὲν ἁμαρτάνειν, ἀλλὰ γενοῦ τεῖχος αὐτοῖς καὶ κατάργησον πάντα πειρασμόν· ἐλέησον ἄνδρας καὶ γυναῖκας καὶ παιδία καὶ φάνηθι ἐν πᾶσι καὶ «γραφήτω» σου ἡ γνῶσις «ἐν ταῖς καρδίαις αὐτῶν»[4] διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Πρβλ. Τίτ. 3,4. 2. Σοφ. Σειρ. 36,17. 3. Πρβλ. Ἀριθ. 16,22. 4. Πρβλ. Ἑβρ. 8,10.

ΙΑ'. Εὐχὴ ὑπὲρ Ἐπισκόπου καὶ τῆς Ἐκκλησίας (25)

Σὲ τὸν σωτῆρα καὶ κύριον ἐπικαλούμεθα, τὸν «Θεὸν πάσης σαρκὸς καὶ» κύριον παντὸς «πνεύματος»[1], τὸν εὐλογητὸν καὶ χορηγὸν πάσης εὐλογίας· ἁγίασον τὸν ἐπίσκοπον τόνδε καὶ διατήρησον αὐτὸν ἔξω παντὸς πειρασμοῦ καὶ δὸς αὐτῷ σοφίαν καὶ γνῶσιν, εὐόδωσον αὐτὸν ἐν ταῖς σαῖς ἐπιστήμαις.

Παρακαλοῦμεν δὲ καὶ ὑπὲρ τῶν συμπρεσβυτέρων· ἁγίασον αὐτούς, σοφίαν αὐτοῖς δὸς καὶ γνῶσιν καὶ ὀρθὴν διδασκαλίαν· ποίησον αὐτοὺς πρεσβεύειν τὰς ἁγίας σου διδασκαλίας ὀρθῶς καὶ ἀμέμπτως.

Ἁγίασον δὲ καὶ <τοὺς> διακόνους, ἵνα ὦσιν «καθαροὶ καρδίᾳ»[2] καὶ σώματι καὶ δυνηθῶσι «καθαρᾷ συνειδήσει»[3] λειτουργεῖν καὶ παραστῆναι τῷ ἁγίῳ σώματι καὶ τῷ ἁγίῳ αἵματι.

Παρακαλοῦμεν δὲ ὑπὲρ τῶν ὑποδιακόνων καὶ ἀναγνωστῶν καὶ ἑρμηνέων· πάντας τοὺς τῆς ἐκκλησίας <λειτουργοὺς> ἀνάπαυσον καὶ πᾶσιν «δὸς ἔλεος»[4] καὶ οἰκτιρμὸν καὶ προκοπήν.

Δεόμεθα ὑπὲρ τῶν μοναζόντων καὶ ὑπὲρ τῶν παρθενευουσῶν· «τελεσάτωσαν τὸν δρόμον»[5] ἑαυτῶν ἀμέμπτως καὶ τὸν βίον ἑαυτῶν
104 ἀδιαλείπτως, ἵνα δυνηθῶσιν ἐν καθαρότητι διατρῖψαι καὶ ἁγιότητι «τὰς ἡμέρας ἑαυτῶν πάσας»[6].

Ἐλέησον δὲ καὶ τοὺς γεγαμηκότας πάντας, τοὺς ἄνδρας καὶ τὰ γύναια καὶ τὰ παιδία, καὶ δὸς πᾶσιν εὐλογίαν προκοπῆς καὶ βελτιώσεως, ἵνα πάντες γένωνται ζῶντες καὶ ἐκλεκτοὶ ἄνθρωποι.

Διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΙΒ'. Εὐχὴ γονυκλισίας (26)

Πάτερ τοῦ μονογενοῦς, ἀγαθὲ καὶ «οἰκτίρμον, ἐλεῆμον»[7] καὶ φιλάνθρωπε καὶ «φιλόψυχε»[8], εὐεργέτα πάντων τῶν ἐπὶ σὲ ἐπιστρεφόντων, δέχου τὴν παράκλησιν ταύτην καὶ δὸς ἡμῖν γνῶσιν καὶ πίστιν καὶ εὐσέβειαν καὶ ὁσιότητα. Κατάργησον πᾶν πάθος, πᾶσαν ἡδονήν, πᾶσαν ἁμαρτίαν ἀπὸ τοῦ λαοῦ τούτου· ποίησον πάντας γενέσθαι καθαρούς· συγχώρησον πᾶσιν τὰ πλημμελήματα. Σοὶ γὰρ τῷ ἀγενήτῳ Πατρὶ διὰ τοῦ μονογενοῦς κλίνομεν τὸ γόνυ, δὸς ἡμῖν νοῦν ὅσιον καὶ τελείαν ὠφέλειαν, δὸς ἡμᾶς σὲ ζητεῖν καὶ ἀγαπᾶν, δὸς ἡμῖν ἐρευνᾶν καὶ ἐκζητεῖν τὰ θεῖά σου λόγια, δὸς ἡμῖν χεῖρα, δέσποτα, καὶ ἀνάστησον ἡμᾶς· ἀνάστησον, ὁ Θεὸς τῶν οἰκτιρμῶν, ποίησον ἀναβλέπειν· ἀνακάλυψον ἡμῶν τοὺς ὀφθαλμούς, παρρησίαν ἡμῖν χάρισαι, μὴ ἐπιτρέψῃς ἡμᾶς

---

1. Πρβλ. Ἀριθ. 16,22. 2. Πρβλ. Ματθ. 5,8. 3. Πρβλ. Α' Τιμ. 3,9. Β' Τιμ. 1,3. 4. Πρβλ. Β' Τιμ. 1,16. 5. Πρβλ. Β' Τιμ. 4,7. 6. Πρβλ. Λουκ. 1,75. 7. Πρβλ. Ψαλ. 85,15. 8. Πρβλ. Σοφ. Σολ. 11,26.

αἰσχύνεσθαι μηδὲ δυσωπεῖσθαι μηδὲ καταγινώσκειν ἑαυτῶν· «ἐξάλειψον τὸ καθ' ἡμῶν χειρόγραφον»[1], γράψον ἡμῶν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς»[2], συναρίθμησον ἡμᾶς «τοῖς ἁγίοις σου προφήταις καὶ ἀποστόλοις»[3]· διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΙΓ'. Εὐχὴ προσφόρου Σεραπίωνος ἐπισκόπου (1)

1. Ἄξιον καὶ δίκαιόν ἐστιν σὲ τὸν ἀγένητον Πατέρα τοῦ μονογενοῦς Ἰησοῦ Χριστοῦ αἰνεῖν, ὑμνεῖν, δοξολογεῖν. Αἰνοῦμέν σε, ἀγένητε Θεέ, ἀνεξιχνίαστε, ἀνέκφραστε, ἀκατανόητε πάσῃ γενητῇ **105** ὑποστάσει. Αἰνοῦμέν σε τὸν «γιγνωσκόμενον»[4] ὑπὸ τοῦ Υἱοῦ τοῦ μονογενοῦς, τὸν δι' αὐτοῦ λαληθέντα καὶ ἑρμηνευθέντα καὶ γνωσθέντα τῇ γενητῇ φύσει. Αἰνοῦμέν σε τὸν «γιγνώσκοντα τὸν Υἱὸν καὶ ἀποκαλύπτοντα»[5] τοῖς ἁγίοις τὰς περὶ αὐτοῦ δόξας· τὸν γιγνωσκόμενον ὑπὸ τοῦ γεγεννημένου σου Λόγου καὶ ὁρώμενον καὶ διερμηνευόμενον τοῖς ἁγίοις. Αἰνοῦμέν σε, Πάτερ ἀόρατε, χορηγὲ τῆς ἀθανασίας. Σὺ εἶ ἡ «πηγὴ τῆς ζωῆς»[6], ἡ πηγὴ τοῦ φωτός, ἡ πηγὴ πάσης «χάριτος καὶ» πάσης «ἀληθείας»[7], φιλάνθρωπε καὶ φιλόπτωχε, ὁ πᾶσι καταλλασσόμενος καὶ «πάντας πρὸς ἑαυτὸν» διὰ τῆς ἐπιδημίας τοῦ ἀγαπητοῦ σου Υἱοῦ «ἕλκων»[8]. Δεόμεθα, ποίησον ἡμᾶς ζῶντας ἀνθρώπους· δὸς ἡμῖν πνεῦμα φωτός, «ἵνα γνῶμέν σε τὸν ἀληθινὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν»[9]· δὸς ἡμῖν Πνεῦμα Ἅγιον, ἵνα δυνηθῶμεν ἐξειπεῖν καὶ διηγήσασθαι τὰ ἄρρητά σου μυστήρια. Λαλησάτω ἐν ἡμῖν ὁ Κύριος Ἰησοῦς καὶ Ἅγιον Πνεῦμα καὶ ὑμνησάτω σὲ δι' ἡμῶν.

Σὺ γὰρ ὁ ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυ<νά>μεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι»[10]· «σοὶ παραστήκουσι χίλιαι χιλιάδες καὶ μύριαι μυριάδες»[11] ἀγγέλων, ἀρχαγγέλων, «θρόνων, κυριοτήτων, ἀρχῶν, ἐξουσιῶν»[12]· σοὶ παραστήκουσιν τὰ δύο τιμιώτατα «Σεραφεὶμ» ἑξαπτέρυγα, «δυσὶν μὲν πτέρυξιν καλύπτοντα τὸ πρόσωπον, δυσὶ δὲ τοὺς πόδας, δυσὶ δὲ πετόμενα»[13] καὶ ἁγιάζοντα· μεθ' ὧν δέξαι καὶ τὸν ἡμέτερον ἁγιασμὸν λεγόντων· «Ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαώθ, πλήρης» ὁ οὐρανὸς καὶ «ἡ γῆ τῆς δόξης σου»[14].

Πλήρης ἐστὶν ὁ οὐρανός, «πλήρης ἐστὶν καὶ ἡ γῆ τῆς μεγαλοπρεποῦς σου δόξης[15], Κύριε τῶν δυνάμεων»[16]· πλήρωσον καὶ τὴν θυσίαν ταύτην τῆς σῆς δυνάμεως καὶ τῆς σῆς μεταλήψεως· σοὶ γὰρ προσηνέγκαμεν ταύτην τὴν ζῶσαν θυσίαν»[17], τὴν προσφορὰν τὴν ἀναίμακτον.

---

1. Πρβλ. Κολ. 2,14. 2. Πρβλ. Φιλιπ. 4,3. Ἀποκ. 13,8. 3. Πρβλ. Ἐφ. 3,5. 4. Πρβλ. Λουκ. 10,22. Ματθ. 11,27. 5. Πρβλ. Ματθ. 16,17. 6. Πρβλ. Ἱερ. 2,13. 7. Πρβλ. Ἰω. 1,14. 8. Πρβλ. Ἰω. 12,32. 9. Πρβλ. Ἰω. 17,3. 10. Ἐφ. 1,21. 11. Πρβλ. Δαν. 7,10. 12. Πρβλ. Κολ. 1,16. 13. Πρβλ. Ἡσ. 6,2. 14. Πρβλ. Ἡσ. 6,3. 15. Πρβλ. Β' Πέτρ. 1,17. 16. Ψαλ. 83,2. 17. Πρβλ. Ρωμ. 12,1.

Σοὶ προσηνέγκαμεν τὸν ἄρτον τοῦτον, τὸ ὁμοίωμα τοῦ σώματος τοῦ μονογενοῦς. Ὁ ἄρτος οὗτος τοῦ ἁγίου σώματός ἐστιν ὁμοίωμα, «ὅτι ὁ Κύριος Ἰησοῦς Χριστὸς ἐν ᾗ νυκτὶ παρεδίδοτο, ἔλαβεν ἄρτον καὶ ἔκλασεν καὶ ἐδίδου τοῖς μαθηταῖς ἑαυτοῦ λέγων· Λάβετε καὶ φάγετε, τοῦτό ἐστιν τὸ σῶμά μου τὸ ὑπὲρ ὑμῶν κλώμενον»[1] εἰς ἄφεσιν ἁμαρτιῶν. Διὰ τοῦτο καὶ ἡμεῖς, «τὸ ὁμοίωμα τοῦ θανάτου»[2] ποιοῦντες τὸν ἄρτον προσηνέγκαμεν καὶ παρακαλοῦμεν διὰ τῆς **106** θυσίας ταύτης· καταλλάγηθι πᾶσιν ἡμῖν καὶ ἱλάσθητι, «Θεὲ τῆς ἀληθείας»[3]· καὶ ὥσπερ ὁ ἄρτος οὗτος ἐσκορπισμένος ἦν ἐπάνω τῶν ὀρέων καὶ συναχθεὶς ἐγένετο εἰς ἕν, οὕτω καὶ τὴν ἁγίαν σου ἐκκλησίαν σύναξον[4] ἐκ παντὸς ἔθνους καὶ πάσης χώρας καὶ πάσης πόλεως καὶ κώμης καὶ οἴκου καὶ ποίησον μίαν ζῶσαν καθολικὴν ἐκκλησίαν.

Προσηνέγκαμεν δὲ καὶ τὸ ποτήριον τὸ ὁμοίωμα τοῦ αἵματος, «ὅτι ὁ Κύριος Ἰησοῦς Χριστὸς λαβὼν ποτήριον μετὰ τὸ δειπνῆσαι ἔλεγεν» τοῖς ἑαυτοῦ μαθηταῖς· «Λάβετε, πίετε, τοῦτό ἐστιν ἡ καινὴ διαθήκη, ὅ ἐστιν τὸ αἷμά μου τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτημάτων»[5]. Διὰ τοῦτο προσηνέγκαμεν καὶ ἡμεῖς τὸ ποτήριον ὁμοίωμα αἵματος προσάγοντες.

Ἐπιδημησάτω, «Θεὲ τῆς ἀληθείας»[6] ὁ ἅγιός σου Λόγος ἐπὶ τὸν ἄρτον τοῦτον, ἵνα γένηται ὁ ἄρτος σῶμα τοῦ Λόγου, καὶ ἐπὶ τὸ ποτήριον τοῦτο, ἵνα γένηται τὸ ποτήριον αἷμα τῆς Ἀληθείας. Καὶ ποίησον πάντας τοὺς κοινωνοῦντας φάρμακον ζωῆς λαβεῖν εἰς θεραπείαν παντὸς νοσήματος καὶ εἰς ἐνδυνάμωσιν πάσης προκοπῆς καὶ ἀρετῆς, μὴ εἰς κατάκρισιν[7], «Θεὲ τῆς ἀληθείας»[8], μηδὲ εἰς ἔλεγχον καὶ ὄνειδος.

Σὲ γὰρ τὸν ἀγένητον ἐπεκαλεσάμεθα διὰ τοῦ μονογενοῦς ἐν Ἁγίῳ Πνεύματι· ἐλεηθήτω ὁ λαὸς οὗτος, προκοπῆς ἀξιωθήτω, ἀποσταλήτωσαν ἄγγελοι συμπαρόντες τῷ λαῷ εἰς κατάργησιν τοῦ πονηροῦ καὶ εἰς βεβαίωσιν τῆς ἐκκλησίας.

Παρακαλοῦμεν δὲ καὶ ὑπὲρ πάντων τῶν κεκοιμημένων, ὧν ἐστιν καὶ ἡ ἀνάμνησις.

Μετὰ τὴν ὑποβολὴν τῶν ὀνομάτων.

Ἁγίασον τὰς ψυχὰς ταύτας, σὺ γὰρ πάσας γινώσκεις· ἁγίασον πάσας τὰς «ἐν Κυρίῳ»[9] κοιμηθείσας καὶ συγκαταρίθμησον πάσαις ταῖς ἁγίαις σου δυνάμεσι καὶ δὸς αὐτοῖς «τόπον καὶ μονὴν»[10] ἐν τῇ βασιλείᾳ σου.

Δέξαι δὲ καὶ τὴν εὐχαριστίαν τοῦ λαοῦ καὶ εὐλόγησον τοὺς προσενεγκόντας τὰ πρόσφορα καὶ τὰς εὐχαριστίας καὶ χάρισαι ὑγείαν

---

1. Πρβλ. Α' Κορ. 11,23-24. Ματθ. 26,26. Λουκ. 22,19. 2. Πρβλ. Ρωμ. 6,5. 3. Πρβλ. Ψαλ. 30,6. 4. Πρβλ. Διδαχὴ 9,4. 5. Πρβλ. Α' Κορ. 11,23-25. Ματθ. 26,27-28 Λουκ. 22,20. 6. Πρβλ. Ψαλ. 30,6. 7. Πρβλ. Α' Κορ. 11,34. 8. Πρβλ. Ψαλ. 30,6. 9. Πρβλ. Ἀποκ. 14,13. 10. Πρβλ. Ἰω. 14,2.

καὶ ὁλοκληρίαν καὶ εὐθυμίαν καὶ πᾶσαν προκοπὴν ψυχῆς καὶ σώματος ὅλῳ τῷ λαῷ τούτῳ διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ ἐν Ἁγίῳ Πνεύματι.

107 Ὥσπερ ἦν καὶ ἐστὶν καὶ ἔσται εἰς γενεὰς γενεῶν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΙΔ'. Μετὰ τὴν εὐχὴν ἡ κλάσις καὶ ἐν τῇ κλάσει εὐχὴ (2)

Καταξίωσον ἡμᾶς τῆς κοινωνίας καὶ ταύτης, «Θεὲ τῆς ἀληθείας»[1], καὶ ποίησον τὰ σώματα ἡμῶν χωρῆσαι ἁγνείαν καὶ τὰς ψυχὰς φρόνησιν καὶ γνῶσιν· καὶ σόφισον ἡμᾶς, Θεὲ τῶν οἰκτιρμῶν, διὰ τῆς μεταλήψεως τοῦ σώματος καὶ τοῦ αἵματος· ὅτι διὰ τοῦ μονογενοῦς σου ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΙΕ'. Μετὰ τὸ διαδοῦναι τὴν κλάσιν τοῖς κληρικοῖς χειροθεσία λαοῦ (3)

Ἐκτείνω τὴν χεῖρα ἐπὶ τὸν λαὸν τοῦτον καὶ δέομαι ἐκταθῆναι τὴν τῆς ἀληθείας χεῖρα καὶ δοθῆναι εὐλογίαν τῷ λαῷ τούτῳ διὰ τὴν σὴν φιλανθρωπίαν, Θεὲ τῶν οἰκτιρμῶν, καὶ τὰ μυστήρια τὰ παρόντα· χεὶρ εὐλαβείας καὶ δυνάμεως καὶ σωφρονισμοῦ καὶ καθαρότητος καὶ πάσης ὁσιότητος εὐλογησάτω τὸν λαὸν τοῦτον καὶ διατηρησάτω εἰς προκοπὴν καὶ βελτίωσιν· διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς <τούς> σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΙϚ'. Μετὰ τὴν διά<δο>σιν τοῦ λαοῦ εὐχὴ (4)

Εὐχαριστοῦμέν σοι, δέσποτα, ὅτι ἐσφαλμένους ἐκάλεσας καὶ ἡμαρτηκότας προσεποιήσω καὶ ὑπερτέθεισαι τὴν καθ' ἡμῶν ἀπειλὴν φιλανθρωπίᾳ τῇ σῇ συγχωρήσας καὶ τῇ μετανοίᾳ ἀπαλείψας καὶ τῇ πρὸς σὲ γνώσει ἀποβαλών. Εὐχαριστοῦμέν σοι, ὅτι δέδωκας ἡμῖν «κοινωνίαν σώματος καὶ αἵματος»[2]. Εὐλόγησον ἡμᾶς, εὐλόγησον τὸν λαὸν τοῦτον, ποίησον ἡμᾶς μέρος ἔχειν μετὰ τοῦ σώματος καὶ τοῦ αἵματος διὰ τοῦ μονογενοῦ<ς> σου Υἱοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΙΖ'. Εὐχὴ περὶ τῶν προσφερομένων ἐλαίων καὶ ὑδάτων (5)

108 Εὐλογοῦμεν διὰ τοῦ ὀνόματος τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ τὰ κτίσμα<τα> ταῦτα, τὸ ὄνομα τοῦ παθόντος ὀνομάζομεν τοῦ σταυρωθέντος καὶ ἀναστάντος καὶ καθεζομένου ἐν δεξιᾷ τοῦ ἀγενήτου ἐπὶ τὸ ὕδωρ καὶ ἐπὶ <τὸ> ἔλαιον τοῦτο· χάρισαι δύναμιν θε-

1. Πρβλ. Ψαλ. 30,6 2. Πρβλ. Α' Κορ. 10,16.

ραπευτικὴν ἐπὶ τὰ κτίσματα ταῦτα, ὅπως πᾶς πυρετὸς καὶ πᾶν δαιμόνιον καὶ πᾶσα νόσος διὰ τῆς πόσεως καὶ τῆς ἀλείψεως ἀπαλλαγῇ καὶ γένηται φάρμακον θεραπευτικὸν καὶ φάρμακον ὁλοκληρίας ἡ τῶν κτισμάτων τούτων μετάληψις ἐν ὀνόματι τοῦ μονογενοῦ<ς> σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΙΗ'. Χειροθεσία μετὰ τὴν εὐλογίαν τοῦ ὕδατος καὶ τοῦ ἐλαίου (6)

Φιλάνθρωπε «Θεὲ τῆς ἀληθείας»[1], συμπαραμεινάτω τῷ λαῷ τούτῳ ἡ «κοινωνία τοῦ σώματος καὶ τοῦ αἵματος»[2]· τὰ σώματα αὐτῶν ζῶντα ἔστω σώματα καὶ αἱ ψυχαὶ αὐτῶν καθαραὶ ἔστωσαν ψυχαί. Δὸς τὴν εὐλογίαν ταύτην εἰς τήρησιν τῆς κοινωνίας καὶ εἰς ἀσφάλειαν τῆς γενομένης εὐχαριστίας, καὶ μακάρισον κοινῇ πάντας καὶ ποίησον ἐκλεκτούς· διὰ τοῦ μονογενοῦ<ς> σου Ἰησοῦ Χριστοῦ ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΙΘ'. Ἁγιασμὸς ὑδάτων (7)

263 Βασιλεῦ καὶ κύριε τῶν ἁπάντων καὶ δημιουργὲ τῶν ὅλων, ὁ πάσῃ τῇ γενητῇ φύσει διὰ τῆς καταβάσεως τοῦ μονογενοῦ<ς> σου Ἰησοῦ Χριστοῦ χαρισάμε<νος> τὴν σωτηρίαν, ὁ λυτρωσάμενος τὸ πλάσμα τὸ ὑπὸ σοῦ δημιουργηθὲν διὰ τῆς ἐπιδημίας τοῦ ἀρρήτου σου Λόγου· «ἔπιδε» νῦν «ἐκ τοῦ οὐρανοῦ καὶ ἐπίβλεψον»[3] ἐπὶ τὰ ὕδατα ταῦτα καὶ πλήρωσον αὐτὰ Πνεύματος Ἁγίου. Ὁ ἄρρητός σου Λόγος ἐν αὐτοῖς γενέσθω καὶ μεταποιησάτω αὐτῶν τὴν ἐνέργειαν καὶ γεννητικὰ αὐτὰ κατασκευασάτω πληρούμενα τῆς σῆς χάριτος, ὅπως τὸ μυστήριον τὸ νῦν ἐπιτελούμενον μὴ κενὸν εὑρεθῇ ἐν τοῖς ἀναγεννωμένοις, ἀλλὰ πληρώσῃ πάντας τοὺς κατιόντας καὶ βαπτιζομένους τῆς θείας χάριτος. Φιλάνθρωπε εὐεργέτα, φεῖσαι τοῦ σοῦ ποιήματος, σῶσον τὸ ὑπὸ τῆς δεξιᾶς σου πεποιημένον κτίσμα, μόρφωσον πάντας τοὺς ἀναγεννωμένους τὴν θείαν καὶ ἄρρητόν σου μορφήν, ὅπως διὰ τοῦ μεμορφῶσθαι καὶ ἀνα<γε>γεννῆσθαι σωθῆναι δυνηθῶσιν καὶ «τῆς βασιλείας» σου «ἀξιωθῆναι»[4]. Καὶ ὡς κατελθὼν ὁ μονογενής σου Λόγος ἐπὶ τὰ ὕδατα τοῦ Ἰορδάνου ἅγια ἀπέδειξεν, οὕτω καὶ νῦν ἐν τούτοις κατερχέσθω καὶ ἅγια καὶ πνευματικὰ ποιησάτω πρὸς τὸ μηκέτι σάρκα καὶ αἷμα εἶναι τοὺς βαπτιζομένους, ἀλλὰ πνευματικοὺς καὶ δυναμένους προσκυνεῖν σοι τῷ ἀγεννήτῳ Πατρὶ διὰ Ἰησοῦ Χριστοῦ ἐν Ἁγίῳ Πνεύματι, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

1. Πρβλ. Ψαλ. 30,6. 2. Πρβλ. Α' Κορ. 10,16. 3. Πρβλ. Ψαλ. 79,15. 4. Πρβλ. Β' Θεσ. 1,5.

Κ΄. Εὐχὴ ὑπὲρ βαπτιζομένων (8)

Παρακαλοῦμέν σε, «Θεὲ τῆς ἀληθείας»[1], ὑπὲρ τοῦ δούλου σου τοῦδε καὶ δεόμεθα, ὅπως καταξιώσῃς αὐτὸν τοῦ θείου μυστηρίου καὶ τῆς ἀρρήτου σου ἀναγεννήσεως. Σοὶ γὰρ φιλάνθρωπε νῦν προσφέρεται, σοὶ αὐτὸν ἀνατίθεμεν· χάρισαι αὐτὸν τῇ θείᾳ ταύτῃ ἀναγεννήσει κοινωνῆσαι πρὸς τὸ μηκέτι αὐτὸν ὑπὸ μηδενὸς σκαιοῦ καὶ πονηροῦ ἄγεσθαι, ἀλλὰ σοὶ λατρεύειν διὰ παντὸς καὶ τὰ σὰ προστάγματα φυλάττειν ὁδηγοῦντος αὐτὸν τοῦ μονογενοῦς σου Λόγου· ὅτι δι᾽ αὐτοῦ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν **264** τῷ Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΑ΄. Μετὰ τὴν ἀποταγὴν εὐχὴ (9)

Κύριε παντοκράτορ, σφράγισον τὴν συγκατάθεσιν τοῦ δούλου σου τούτου τὴν πρὸς σὲ νῦν γεγενημένην καὶ ἀμετάβλητον αὐτοῦ τὸ ἦθος καὶ τὸν τρόπον διαφύλαξον, ἵνα μηκέτι τοῖς χείροσιν ὑπηρετῇ, ἀλλ᾽ ἐν «τῷ τῆς ἀληθείας Θεῷ»[2] λατρεύῃ καὶ σοὶ τῷ τῶν πάντων ποιητῇ δουλεύῃ πρὸς τὸ τέλειον αὐτὸν καὶ σοὶ γνήσιον ἀποδειχθῆναι· διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΒ΄. Εὐχὴ εἰς τὸ ἄλειμμα τῶν βαπτιζομένων (15)

Δέσποτα φιλάνθρωπε καὶ «φιλόψυχε[3], οἰκτίρμον καὶ ἐλεῆμον»[4], «<Θεὲ> τῆς ἀληθείας»[5], ἐπικαλούμεθά σε ἐξακολουθοῦντες καὶ πειθόμενοι ταῖς ἐπαγγελίαις τοῦ μονογενοῦς σου εἰρηκότος· «Ἐάν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς»[6]· καὶ ἀλείφομεν τῷ ἀλείμματι τούτῳ τοὺς προσιόντας ἢ τὰς προσιούσας τῇ θείᾳ ταύτῃ ἀναγεννήσει, παρακαλοῦντες, ὥστε τὸν Κύριον ἡμῶν Χριστὸν Ἰησοῦν ἐνεργῆσαι αὐτῷ ἰατικὴν καὶ ἰσχυροποιητικὴν δύναμιν καὶ ἀποκαλύψαι μὲν διὰ τοῦ ἀλείμματος τούτου καὶ ἀποθεραπεῦσαι ἀπὸ ψυχῆς σώματος πνεύματος αὐτῶν πᾶν σημεῖον ἁμαρτίας καὶ ἀνομίας ἢ σατανικῆς αἰτίας, τῇ δὲ ἰδίᾳ χάριτι τὴν ἄφεσιν αὐτοῖς παρασχέσθαι, «ἵνα τῇ ἁμαρτίᾳ ἀπογενόμενοι τῇ δικαιοσύνῃ ζήσουσι»[7] καὶ διὰ τῆς ἀλείψεως ταύτης ἀναπλασθέντες καὶ «διὰ τοῦ λουτροῦ καθαρισθέντες»[8] καὶ τῷ «πνεύματι ἀνανεωθέντες»[9] ἐξισχύσουσι κατανικῆσαι λοιπὸν τὰς προσβαλλούσας αὐτοῖς ἀντικειμένας ἐνεργείας καὶ ἀπάτας τοῦ βίου τούτου καὶ οὕτως συνδεθῆναι καὶ συνενωθῆναι τῇ ποίμνῃ «τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ»[10]

---

1. Πρβλ. Ψαλ. 30,6. 2. Ἔνθ᾽ ἀν. 3. Πρβλ. Σοφ. Σολ. 11,26. 4. Ψαλ. 85,15. 5. Πρβλ. Ψαλ. 30,6. 6. Ἰω. 20,23. 7. Πρβλ. Α΄ Πέτρ. 2,24. 8. Πρβλ. Ἐφ. 5,26. 9. Πρβλ. Τίτ. 3,5. 10. Β΄ Πέτρ. 3,18.

καὶ «συγκληρονομῆσαι» τοῖς ἁγίοις «τὰς ἐπαγγελίας»[1], ὅτι δι' αὐτοῦ <σοὶ> ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΓ'. Μετὰ τὴν † ἄλειψιν † εὐχὴ (10)

Φιλάνθρωπε εὐεργέτα «σωτὴρ πάντων»[2] τὴν ἐπιστροφὴν πρὸς σὲ πεποιημένων, ἵλεως γενοῦ τῷ δούλῳ σου τῷδε· ὁδήγησον
265 αὐτὸν ἐπὶ τὴν ἀναγέννησιν τῇ δεξιᾷ σου. Ὁ μονογενής σου Λόγος ὁδηγείτω αὐτὸν ἐπὶ τὸ λουτρόν· τιμηθήτω αὐτοῦ ἡ ἀναγέννησις, μὴ ἔστω κενὴ τῆς σῆς χάριτος· συμπαρίτω ὁ ἅγιός σου Λόγος, συνέστω τὸ ἅγιόν σου Πνεῦμα ἀποσοβοῦν καὶ ἀποβάλλον πάντα πειρασμόν· ὅτι διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ <σοὶ> ἡ δόξα καὶ τὸ κράτος καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΔ'. Μετὰ τὸ βαπτισθῆναι καὶ ἀνελθεῖν εὐχὴ (11)

Ὁ Θεός, «ὁ τῆς ἀληθείας Θεός»[3], ὁ τῶν πάντων δημιουργός, ὁ κύριος πάσης τῆς κτίσεως, εὐλόγησον τὸν δοῦλόν σου τοῦτον εὐλογίᾳ τῇ σῇ· καθαρὸν αὐτὸν δεῖξον ἐν τῇ ἀναγεννήσει, κοινωνὸν αὐτὸν ταῖς ἀγγελικαῖς σου δυνάμεσιν κατάστησον, ἵνα μηκέτι σάρξ, ἀλλὰ πνευματικὸς ὀνομάζηται μετασχὼν τῆς θείας σου καὶ ὠφελίμου δωρεᾶς· διατηρηθείη μέχρι τέλους σοὶ τῷ τῶν ὅλων ποιητῇ· διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΕ'. Εὐχὴ εἰς τὸ χρῖσμα ἐν ᾧ χρίονται οἱ βαπτισθέντες (16)

«Ὁ Θεὸς τῶν δυνάμεων»[4], ὁ βοηθὸς πάσης ψυχῆς ἐπιστρεφούσης ἐπὶ σὲ καὶ γινομένης «ὑπὸ τὴν κραταιάν» σου «χεῖρα»[5]· τοῦ μονογενοῦς, ἐπικαλούμεθά σε, ὥστε διὰ «τῆς θείας» καὶ ἀοράτου σου «δυνάμεως τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ»[6] ἐνεργῆσαι ἐν τῷ χρίσματι τούτῳ ἐνέργειαν θείαν καὶ οὐράνιον, ἵνα οἱ βαπτισθέντες καὶ χριόμενοι ἐν αὐτῷ τὸ ἐκτύπωμα τοῦ σημείου τοῦ σωτηριώδους σταυροῦ τοῦ μονογενοῦς, δι' οὗ σταυροῦ διετράπη καὶ ἐθριαμβεύθη Σατανᾶς καὶ πᾶσα δύναμις ἀντικειμένη, ὡς ἀναγεννηθέντες καὶ ἀνανεωθέντες «διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας»[7] καὶ οὗτοι μέτοχοι γένωνται «τῆς δωρεᾶς τοῦ Ἁγίου Πνεύματος»[8] καὶ ἀσφαλισθέντες τῇ σφραγῖδι ταύτῃ διαμείνωσιν «ἑδραῖοι καὶ ἀμετακίνητοι»[9], ἀβλαβεῖς καὶ ἄσυλοι, ἀνεπηρέαστοι καὶ ἀνεπιβούλευτοι, ἐμπολιτευόμενοι «ἐν τῇ πίστει καὶ ἐπιγνώσει τῆς ἀληθείας μέχρι

---

1. Πρβλ. Ἑβρ. 6,12. 11,9. 2. Πρβλ. Α' Τιμ. 4,10. 3. Πρβλ. Ψαλ. 30,6. 4. Ψαλ. 83,9. 5. Πρβλ. Α' Πέτρ. 5,6. 6. Πρβλ. Β' Πέτρ. 1,3. 3,18. 7. Πρβλ. Τίτ. 3,5. 8. Πρβλ. Πράξ. 2,38. 10,45. 9. Α' Κορ. 15,58.

τέλους»[1] ἀναμένοντες **266** τὰς οὐρανίους τῆς «ζωῆς ἐλπίδας»[2] καὶ αἰωνίους ἐπαγγελία‹ς›, «τοῦ Κυρίου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ»[3], δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚϚ'. Χειροθεσία καταστάσεως Διακόνων (12)

Πάτερ τοῦ μονογενοῦς, ὁ «τὸν Υἱόν» σου «ἀποστείλας»[4] καὶ διατάξας τὰ ἐπὶ τῆς γῆς πράγματα καὶ κανόνας τῇ ἐκκλησίᾳ καὶ τάξεις δεδωκὼς εἰς ὠφέλειαν καὶ σωτηρίαν τῶν ποιμνίων, ὁ ἐκλεξάμενος ἐπισκόπους καὶ πρεσβυτέρους καὶ διακόνους εἰς λειτουργίαν τῆς καθολικῆς σου ἐκκλησίας, ὁ ἐκλεξάμενος διὰ τοῦ μονογενοῦς σου τοὺς ἑπτὰ διακόνους[5] καὶ χαρισάμενος αὐτοῖς Πνεῦμα Ἅγιον· κατάστησον καὶ τόνδε διάκονον τῆς καθολικῆς σου ἐκκλησίας καὶ δὸς ἐν αὐτῷ «πνεῦμα γνώσεως καὶ διακρίσεως»[6], ἵνα δυνηθῇ μεταξὺ τοῦ λαοῦ τοῦ ἁγίου καθαρῶς καὶ ἀμέμπτως διακονῆσαι ἐν τῇ λειτουργίᾳ ταύτῃ· διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΖ'. Χειροθεσία καταστάσεως Πρεσβυτέρων (13)

Τὴν χεῖρα ἐκτείνομεν, δέσποτα «Θεὲ τῶν οὐρανῶν»[7], Πάτερ τοῦ μονογενοῦς σου, ἐπὶ τὸν ἄνθρωπον τοῦτον καὶ δεόμεθα, ἵνα «τὸ Πνεῦμα τῆς ἀληθείας»[8] ἐπιδημήσῃ αὐτῷ· φρόνησιν αὐτῷ χάρισαι καὶ γνῶσιν καὶ «καρδίαν ἀγαθήν»[9]· γενέσθω ἐν αὐτῷ Πνεῦμα θεῖον πρὸς τὸ δύνασθαι αὐτὸν οἰκονομῆσαι τὸν λαόν σου καὶ «πρεσβεύειν»[10] τὰ θεῖά σου λόγια καὶ «καταλλάξαι»[11] τὸν λαόν σου σοὶ τῷ ἀγενήτῳ Θεῷ. Ὁ χαρισάμενος «ἀπὸ τοῦ πνεύματος» τοῦ Μωσέως «ἐπὶ τοὺς» ἐκλελεγμένους «πνεῦμα»[12] ἅγιον, μέρισον καὶ τῷδε Πνεῦμα Ἅγιον ἐκ τοῦ Πνεύματος τοῦ μονογενοῦς εἰς χάριν «σοφίας καὶ γνώσεως καὶ πίστεως»[13] ὀρθῆς, ἵνα δυνηθῇ σοι ὑπηρετῆσαι «ἐν καθαρᾷ συνειδήσει»[14] **267** διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοὶ ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΗ'. Χειροθεσία καταστάσεως Ἐπισκόπου (14)

Ὁ τὸν Κύριον «Ἰησοῦν ἀποστείλας»[15] εἰς κέρδος ὅλης τῆς οἰκουμένης, ὁ δι' αὐτοῦ τοὺς «ἀποστόλους ἐκλεξάμενος»[16] ὁ «κατὰ γενεὰν

---

1. Πρβλ. Β' Θεσ. 2,13. Α' Τιμ. 2,4. Ἑβρ. 3,6. 2. Τίτ. 1,2. 3,7. 3. Πρβλ. Β' Πέτρ. 3,18. 4. Πρβλ. Α' Ἰω. 4,10. 5. Πρβλ. Πράξ. 6,5-6. 6. Πρβλ. Ἠσ. 11,2. Α' Κορ. 12,10. 7. Β' Ἔσδρ. 11,4 (Νεεμ. 1,4). 8. Πρβλ. Ἰω. 15,26. 9. Πρβλ. Λουκ. 8,15. 10. Πρβλ. Β' Κορ. 5,20. 11. Ἔνθ' ἀν. 12. Πρβλ. Ἀριθ. 11,17,25. 13. Πρβλ. Α' Κορ. 12,8-9. 14. Α' Τιμ. 3,9. Β' Τιμ. 1,3. 15. Πρβλ. Ἰω. 17,3. 16. Πρβλ. Λουκ. 6,13.

καὶ γενεὰν»[1] ἐπισκόπους ἁγίους χειροτονῶν· ποίησον, «ὁ Θεὸς τῆς ἀληθείας»[2], καὶ τόνδε ἐπίσκοπον ζῶντα, ἐπίσκοπον ἅγιον τῆς διαδοχῆς τῶν ἁγίων ἀποστόλων, καὶ δὸς αὐτῷ χάριν καὶ Πνεῦμα θεῖον, ὃ ἐχαρίσω πᾶσιν τοῖς γνησίοις σου δούλοις καὶ προφήταις καὶ πατριάρχαις· ποίησον αὐτὸν ἄξιον εἶναι «ποιμαίνειν» σου «τὴν ποίμνην»[3]· ἔτι τε ἀμέμπτως καὶ ἀπροσκόπως ἐν τῇ ἐπισκοπῇ διατελείτω· διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοι ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΚΘʹ. Εὐχὴ εἰς ἔλαιον νοσούντων ἢ εἰς ἄρτον ἢ εἰς ὕδωρ (17)

Ἐπικαλούμεθά σε τὸν «ἔχοντα πᾶσαν ἐξουσίαν»[4] καὶ δύναμιν, τὸν «σωτῆρα πάντων ἀνθρώπων, Πατέρα τοῦ Κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ»[5], καὶ δεόμεθα, ὥστε ἐκπέμψαι δύναμιν ἰατικὴν ἀπὸ τῶν οὐρανῶν τοῦ μονογενοῦς ἐπὶ τὸ ἔλαιον τοῦτο, ἵνα γένηται τοῖς χριομένοις ἢ μεταλαμβάνουσιν τῶν κτισμάτων σου τούτων εἰς ἀποβολὴν «πάσης νόσου καὶ πάσης μαλακίας»[6], εἰς ἀλεξιφάρμακον παντὸς δαιμονίου, εἰς ἐκχωρισμὸν παντὸς πνεύματος ἀκαθάρτου, εἰς ἀφορισμὸν παντὸς πνεύματος πονηροῦ, εἰς ἐκδιωγμὸν παντὸς πυρετοῦ καὶ ῥίγους καὶ πάσης ἀσθενείας, εἰς χάριν ἀγαθὴν καὶ ἄφεσιν ἁμαρτημάτων, εἰς φάρμακον ζωῆς καὶ σωτηρίας, εἰς ὑγείαν καὶ «ὁλοκληρίαν ψυχῆς σώματος πνεύματος»[7], εἰς ῥῶσιν τελείαν. Φοβηθήτω, δέσποτα, πᾶσα ἐνέργεια σατανική, πᾶν δαιμόνιον, πᾶσα ἐπιβουλὴ τοῦ ἀντικειμένου, πᾶσα πληγή, πᾶσα μάστιξ, πᾶσα ἀλγηδών, πᾶς πόνος ἢ ῥάπισμα ἢ ἐντίναγμα ἢ σκίασμα πονηρὸν τὸ ὄνομά σου τὸ ἅγιον, ὃ ἐπεκαλεσάμεθα νῦν ἡμεῖς, καὶ τὸ ὄνομα τοῦ μονογενοῦς, καὶ ἀπερχέσθωσαν ἀπὸ τῶν ἐντὸς <καὶ> τῶν **268** ἐκτὸς τῶν δούλων σου τούτων· ἵνα «δοξασθῇ τὸ ὄνομα»[8] τοῦ ὑπὲρ ἡμῶν σταυρωθέντος καὶ ἀναστάντος, τοῦ «τὰς νόσους ἡμῶν καὶ τὰς ἀσθενείας ἀναλαβόντος Ἰησοῦ Χριστοῦ»[9] καὶ ἐρχομένου «κρῖναι ζῶντας καὶ νεκρούς»[10]· ὅτι δι' αὐτοῦ σοι ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι καὶ νῦν καὶ εἰς τοὺς σύμπαντας αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λʹ. Εὐχὴ περὶ τεθνεῶτος καὶ ἐκκομιζομένου (18)

Ὁ Θεὸς «ὁ ζωῆς καὶ θανάτου τὴν ἐξουσίαν ἔχων[11], ὁ Θεὸς τῶν πνευμάτων καὶ» δεσπότης «πάσης σαρκός»[12], ὁ Θεὸς «ὁ θανα-

---

1. Πρβλ. Ἐσθ. 9,27. 2. Πρβλ. Ψαλ. 30,6. 3. Πρβλ. Πράξ. 20,28. 4. Πρβλ. Δαν. 4,17. 5. Πρβλ. Α' Τιμ. 4,10. Β' Κορ. 1,3. Β' Πέτρ. 2,20. 3,18. 6. Πρβλ. Ματθ. 4,23. 9,35. 10,1. 7. Πρβλ. Α' Θεσ. 5,23. 8. Πρβλ. Ψαλ. 85,9,12. 9. Πρβλ. Ματθ. 8,17. 10. Πρβλ. Β' Τιμ. 4,1. 11. Πρβλ. Σοφ. Σολ. 16,13. 12. Ἀριθ. 16,22.

τῶν καὶ ζωογονῶν, ὁ κατάγων εἰς πύλας ᾄδου καὶ ἀνάγων»[1], ὁ κτίζων «πνεῦμα ἀνθρώπου ἐν αὐτῷ»[2] καὶ παραλαμβάνων τῶν ἁγίων τὰς ψυχὰς καὶ ἀναπαύων· ὁ ἀλλοιῶν καὶ μεταβάλλων καὶ μετασχηματίζων τὰ κτίσματά σου, καθὼς δίκαιον καὶ σύμφορόν ἐστιν, «μόνος» αὐτὸς «ἄφθαρτος»[3] καὶ ἀναλλοίωτος καὶ αἰώνιος ὤν· δεόμεθά σου περὶ τῆς κοιμήσεως καὶ ἀναπαύσεως τοῦ δούλου σου τοῦδε (ἢ τῆς δούλης σου τῆσδε)· τὴν ψυχήν, τὸ πνεῦμα αὐτοῦ ἀνάπαυσον «ἐν τόποις χλόης»[4], ἐν ταμείοις «ἀναπαύσεως μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ»[5] καὶ πάντων τῶν ἁγίων σου, τὸ δὲ σῶμα ἀνάστησον ἐν ᾗ ὥρισας ἡμέρᾳ κατὰ τὰς ἀψευδεῖς σου ἐπαγγελίας, ἵνα καὶ τὰς κατ' ἀξίαν αὐτῷ κληρονομίας ἀποδῷς ἐν ταῖς ἁγίαις σου νομαῖς. Τῶν παραπτωμάτων αὐτοῦ καὶ «ἁμαρτημάτων μὴ μνησθῇς»[6] τὴν δὲ «ἔξοδον»[7] αὐτοῦ εἰρηνικὴν καὶ εὐλογημένην εἶναι ποίησον· τὰς λύπας τῶν διαφερόντων Πνεύματι παρακλήσεως ἴασαι καὶ ἡμῖν πᾶσι τέλος ἀγαθὸν δώρησαι· διὰ τοῦ μονογενοῦς σου Ἰησοῦ Χριστοῦ, δι' οὗ σοι ἡ δόξα καὶ τὸ κράτος ἐν Ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Πρβλ. Α' Βασ. 2,6. Σοφ. Σολ. 16,13. 2. Πρβλ. Ζαχ. 12,1. 3. Πρβλ. Α' Τιμ. 1,17. 4. Πρβλ. Ψαλ. 22,2. 5. Πρβλ. Ματθ. 8,11. 6. Πρβλ. Ψαλ. 24,7. 7. Πρβλ. Β' Πέτρ. 1,15.

ΕΡΜΗΝΕΥΤΙΚΑ ΑΠΟΣΠΑΣΜΑΤΑ

ΕΙΣ ΤΗΝ ΟΚΤΑΤΕΥΧΟΝ *

104 Γένεσις Α' 1 (Barberinianus 569 f. 2v). Σεραπίωνος ἐπισκόπου Θμούεως. Τίς ἡ ἀρχὴ τῶν πάντων, εἰ μὴ ὁ Κύριος καὶ Σωτὴρ πάντων Ἰησοῦς Χριστός, ὁ «πρωτότοκος πάσης κτίσεως»[1]; Ἐν αὐτῇ οὖν τῇ ἀρχῇ, τοῦτ' ἔστιν τῷ Λόγῳ αὐτοῦ, ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν ἐποίησεν[2], καθὼς καὶ ὁ εὐαγγελιστὴς Ἰωάννης τοῦ εὐαγγελίου ἤρξατο λέγων «Ἐν ἀρχῇ ἦν ὁ λόγος — δι' αὐτοῦ ἐγένετο»[3] καὶ τὰ ἑξῆς.

Α' 26 (ff. 29v-30). Σεραπίωνος ἐπισκόπου ἐκ τῆς ἑξαημέρου. Ὁ κατ' εἰκόνα Θεοῦ καὶ καθ' ὁμοίωσιν γενόμενος[4] ὁ ἔσω ἡμῶν ἄνθρωπός ἐστιν, ὁ ἀσώματος, ὁ ἀόρατος, ὁ ἄφθαρτος, ὁ ἀθάνατος· κατ' εἰκόνα γὰρ καὶ ὁμοίωσιν ταῦτα πάντα κέκτηται Θεός.

Γ' 15 (f. 69). Σεραπίωνος ἐπισκόπου. Καὶ μὴν σπέρμα ἡ γυνὴ οὐκ ἔχει, ἀλλ' ὁ ἀνήρ. Πῶς οὖν πρὸς τὴν γυναῖκα εἴρηται τοῦτο, ἢ δῆλον περὶ τοῦ Χριστοῦ, ὃν χωρὶς σπέρματος ἔτεκεν ἡ ἁγία παρθένος; Ἑνικὸν γὰρ ἐστι «τοῦ σπέρματος»[5], καὶ οὐ πληθυντικὸν «τῶν σπερμάτων»[6].

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ R. Devreesse. «Les anciens commentateurs grecs de l' Octateuque et des Rois» (Fragments tirés des chaînes). Città del Vaticano 1959 σ. 104.

1. Κολ. 1,15 2. Πρβλ. Γεν. 1,1. 3. Ἰω 1,1-3. 4. Πρβλ. Γεν. 1,26.
5. Πρβλ. Γεν. 3,15.
6. Αἱ λοιπαὶ τῶν ὑπὸ τῶν σειρῶν διδομένων σημειώσεων εἰς τὴν Γένεσιν (κεφ. Γ' στ. 6-10) ἀνήκουν εἰς τὴν VI ὁμιλίαν τοῦ Σεβηριανοῦ Γαβάλων εἰς τὴν Ἑξαήμερον (P.G. 66, 491-496).

ΕΠΙΣΤΟΛΑΙ

Τοῦ ἁγίου Σεραπίωνος ἐπισκόπου Θμούεως ἐπιστολὴ πρὸς Εὐδόξιον ἐπίσκοπον *.

[924] Μὴ ἀθύμει πάσχων, ἀλλ' εὐθύμει πιστεύων· καὶ μὴ κατάπιπτε νοσῶν, ἀλλ' εὐτόνει μὴ ἁμαρτάνων· καὶ μὴ νόμιζε χαλεπὴν τὴν νόσον, μόνη γὰρ χαλεπὴ ἡ ἁμαρτία· τὸ μὲν γὰρ ἀσθενῆσαι, κοινὸν καὶ καλῶν καὶ κακῶν ἀνδρῶν, τὸ δὲ ἁμαρτῆσαι ἴδιον τῶν φαύλων ὁρῶμεν καὶ ὁ μὲν νοσῶν, ἅμα τῷ θανάτῳ καὶ τὴν νόσον συναποθνήσκουσαν ἔχει, ὁ δὲ ἁμαρτήσας καὶ μετὰ τὸ μνῆμα εὑρήσει ἐκεῖ τὴν ἁμαρτίαν· μέχρι γε τοῦ μνήματος ἵσταται ἡ νόσος, **[925]** μετὰ δὲ τὸ μνῆμα ἐπιβῆναι τῷ τεθνηκότι οὐ δύναται· ἡ δ' ἁμαρτία τοῖς μὲν ζῶσιν ἐμφωλεύει καὶ ἐγκρύπτει, ἐν δὲ τοῖς τεθνηκόσι πλέον ἐξάπτεται, καὶ τὴν ἑαυτῆς φλόγα ἐνδείκνυται καὶ τὸν ἁμαρτήσαντα τιμωρεῖται. Ταῦτά σοι γεγράφηκα, ποθεινότατε ἀδελφέ, ἵνα μὴ πάνυ ἀθυμῇς ἐν Χριστῷ σεαυτὸν διατηρῶν· τοῦ βίου τὰς συγχύσεις φέρειν δεῖ, καὶ τοὺς θορύβους βαστάζειν προσήκει, καὶ πρὸς τὸ τέλος βλέπειν, καὶ εἰδέναι, ὅτι ὁ Θεὸς ἐπιστατεῖ καὶ ὀλίγον ἐπανείς, πάλιν ἡγεμονεύει· καὶ ὀλίγον συγχωρῶν, πάλιν προΐσταται, καὶ οὐδέποτε ἡ Ἐκκλησία καταλιμπάνεται· οὐδὲ γὰρ πύλαι ᾅδου κατισχύσουσιν αὐτῆς[1]. Τῆς σῆς οὖν ἀρετῆς τὴν διάθεσιν δείκνυε τῷ παντεπόπτῃ Θεῷ, ἵνα δυνηθῇ ἐν πᾶσιν εὐδοκιμεῖν· ἡμεῖς δὲ καλέσαι σε οὐκ ἂν ἐπασχόμεθα, ἵνα μὴ δόξωμεν τῆς πόλεως ἀφιστᾶν.

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΜΟΝΑΖΟΝΤΑΣ *

[925] Ἀγαπητοί, ἐπαινῶ ὑμῶν τὸν πόθον, καὶ μακαρίζω τὸν βίον, ὦ μακάριοι Θεῷ μονάζοντες, ὅτι **[928]** κοινὴν ἔχοντες τὴν φύσιν πᾶσιν ἀνθρώποις οὐ κοινὴν πρόθεσιν, ἀλλὰ γὰρ καὶ μέγα τι φρονήσαντες, πρὸς αὐτὰς οὐρανίους μονὰς τὸν νοῦν ἑαυτῶν ἐπτερώσατε, ἵνα τῶν ἐκεῖσε θείων παιδευμάτων πολυπραγμονήσαντες τὴν ὠφέλειαν, ὁμότροποι τῶν μακαρίων ἀγγέλων εὑρεθῆτε, ὧν ἡ δόξα ὑμᾶς ἐκδέχεται καὶ μακαριότης, περιμένει· ἄνθρωποι γὰρ ὄντες καὶ ἐξ ἀνθρώπων

---

* Κατὰ τὴν ἔκδοσιν J. - P. Migne, Patrologiae Cursus Completus. Series Graeca τ. 40 σ. 924-925.

** Κατὰ τὴν ἔκδοσιν J. - P. Migne, Patrologiae Cursus Completus. Series Graeca τ. 40, σσ. 925-941.

1. Πρβλ. Ματθ. 16,18.

προελθόντες, οὐ τοῖς ἀνθρωπίνοις συγκατηνέχθητε λογισμοῖς, οὐδὲ τὰ δοκοῦντα τοῦ βίου ποθεινὰ πράγματα, τοῦ εἰς Θεὸν ὑμῶν πόθου ἐλαττῶσαι τὸν τόνον δεδύνηνται· πᾶσι δὲ ἅπαξ ἁπλῶς ἀποταξάμενοι, ἕνα σκοπὸν ἔχετε τὸ ἀρέσαι Θεῷ. Καὶ τῆς ὑμετέρας εὐδοκιμήσεως ὁ ἀγὼν πᾶσι λελάληται· οὐ χρημάτων ὑμᾶς περιουσία, οὐδὲ προκειμένων δώρων ἐπαγγελίαι τὸν ἀγαθὸν ὑμῖν τοῦτον πόθον προεξένησαν, ἀλλὰ πίστις εὐσεβὴς καὶ διάνοια ἐρωμένη, Θεοῦ Σωτῆρος μεσιτεύσαντος καὶ εὐδοκήσαντος· τῆς ἀποδεκταίας ταύτης καὶ ἀγαθῆς προαιρέσεως ὁ χορηγὸς γενόμενος καὶ ἀρχηγὸς καὶ τελειωτής, ἔστιν Ἰησοῦς ὁ Χριστός[1], ὁ καὶ ὑμῖν τοῖς μονάζουσιν ὑπομονὴν καὶ χρηστὸν τέλος διδούς, καὶ πᾶσι τοῖς ἐθέλουσι σῴζεσθαι ἑτοίμη ὁδὸς εὑρισκόμενος· ἥντινα παρὰ τὴν ἀρχὴν προθυμηθέντες ὁδεῦσαι, συνοδοιπόρον ἔχετε τὸν Σωτῆρα Κύριον λέγοντα· «Οὐ μή σε ἀνῶ οὐδὲ μή σε ἐγκαταλείπω»[2].

Β'. Διὰ γὰρ αὐτόν, ἐμπόδιον οὐδὲν τὴν οὐράνιον ὑμῶν ἐκκόψαι πρόθεσιν δεδύνηται, οὐ χρημάτων πόθος, οὐ μνήμη γονέων, οὐδὲ πρὸς γένους κληρονομίαι, οὐδὲ ἀδελφῶν συνουσίαι, οὐ συγγενῶν διαθέσεις, οὐ τρυφαὶ καὶ λουτρὰ καὶ πότοι, οὐ φίλων συντυχίαι, οὐ κοσμικαὶ δόξαι, ἀλλὰ πάντα μὲν ὑπερφρονήσαντες, αὐτοῖς ἔργοις βοᾶτε ἀποστολικῷ κεχρημένοι λόγῳ· «Πάντα ἡγοῦμαι σκύβαλα, ἵνα Χριστὸν κερδήσω»[3]· διὸ καὶ τὴν ἔρημον αὐλίζεσθε, νηστείαις, ἁγνείαις, ἀσκήσεσιν, εὐχαῖς καθαραῖς τὸν Θεὸν ἱλασκόμενοι· οὐδὲν ὑμῖν οὐδὲ πώποτε βασιλεὺς ἐπίγειος φοβερός, οὐκ ἄρχων καὶ δικαστὴς καὶ ἡγούμενος, οὐδέ τις ἑτέρα ἐξουσία· «Δικαίῳ γὰρ νόμος οὐ κεῖται, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις, ἀσεβέσι καὶ ἁμαρτωλοῖς, πατρολῴαις καὶ μητρολῴαις ἀνδροφόνοις, πόρνοις καὶ ἀρσενοκοίταις, ἐπιόρκοις, καὶ εἴ τι ἕτερον τῇ ὑγιαινούσῃ διδασκαλίᾳ ἀντίκειται»[4]· οἱ γὰρ ἄρχοντες οὐκ εἰσὶ φόβος τῶν ἀγαθῶν ἔργων, ἀλλὰ τῶν κακῶν· καὶ πάλιν· «Θέλεις δὲ μὴ φοβεῖσθαι τὴν ἐξουσίαν; τὸν ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον ἐξ αὐτῆς»[5]· ὑμῖν οὖν οἱ ἔπαινοι δικαίως, ὡς καὶ τῶν ἐναντιουμένων ἡ τῶν ἀπειλουμένων τιμωρία πικρά.

Γ'. Θεὸς ὑμᾶς ἐξελέξατο ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων· «Ὑμεῖς ἐστε φῶς τοῦ κόσμου»[6], ὁ Σωτὴρ εἴρηκεν· καὶ ὧν ὁ ζῆλος ὁ αὐτὸς καὶ τὸ ἔργον τὸ αὐτὸ καὶ ὁ ἔπαινος ὁ αὐτὸς καὶ ὁ μισθὸς ὁ αὐτός· μακάριοι τοίνυν ἐστὲ καὶ τρισμακάριοι, ὦ τιμιώτατοι Θεῷ μονάζοντες· τίς ὑμῶν ἐπαξίως ἐπαινέσειε τὴν διαγωγήν; Ἔργα γὰρ ὑμῖν ἡμέρας καὶ νυκτὸς ψαλμοὶ καὶ ὕμνοι καὶ ᾠδαὶ πνευματικαὶ[7] καὶ πράξεις Θεῷ πρέπουσαι ἀγάπη γὰρ ὑμῖν πολιτεύε[929]ται, τὸ τῶν ἀγγέλων χρῆμα· εἰρήνη παρ' ὑμῖν ἐστήρικται, τῶν οὐρανῶν πε-

---

1. Πρβλ. Ἑβρ. 12,2. 2. Ἑβρ. 13,5. Πρβλ. Δευτ. 31,6,8. 3. Φιλιπ. 3,8. 4. Α' Τιμ. 1,9-10. 5. Ρωμ. 13.3. 6. Ματθ. 5,14. 7. Πρβλ. Ἐφ. 5,19. Κολ. 3,16.

ρίβολος· ἀφιλάργυρος ὑμῖν ὁ τρόπος, ἀεὶ τῇ χρείᾳ φιλούμενοι, ἐν νηστείαις εὔτονοι, ἐν εὐχαῖς εὐτονώτεροι, ἐν ἀγρυπνίαις ὑμῖν τὸ καθ' ἡμέραν τῇ ἐγρηγορήσει διανύεται· «Λαμψάτω τὸ φῶς ὑμῶν[1]», εἶπεν Κύριος· καὶ ὃ εἴρηκε, φαίνεται· μὴ ἀγαπητὸν κόσμον, μηδὲ τὰ ἐν τῷ κόσμῳ τούτῳ ὑμεῖς τετηρήκατε μακάριοι τοίνυν ὑμεῖς τῷ Θεῷ, μακάριος δὲ καὶ ὁ κόσμος δι' ὑμᾶς αἱ ἐρημίαι σεμνύνονται δι' ὑμᾶς, καὶ ἡ οἰκουμένη σῴζεται ταῖς ὑμετέραις προσευχαῖς· ὑετὸς τῇ γῇ· καταπέμπεται ταῖς ὑμετέραις ἱκεσίαις, ἡ γῆ χλοηφορεῖ, καὶ δένδρα καρποῖς βριθόμενα ἀβλαβῆ τὸν καρπὸν ἀποδίδωσιν· ποταμὸς δὲ ἐτησίως αὐξανόμενος καὶ ὅλην τὴν Αἴγυπτον ἀρδεύων, λίμναις τε φιλούμενος καὶ θαλάτταις πολὺ πλῆθος μεταδιδούς, τῶν ὑμετέρων ἱκεσιῶν γνωρίζει τὴν δύναμιν. Εἰ γὰρ Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθής, ὡς γέγραπται, καὶ προσευχῇ τὸν ὑετὸν συνέστειλεν, καὶ πάλιν προσήνεγκεν, καὶ ὁ οὐρανὸς ἔβρεξεν, καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς[2], πόσῳ μᾶλλον αἱ ὑμέτεραι πρεσβεῖαι τὰ κατ' εὐχὴν ἡμῖν ἀνοίσει χρήσιμα;

Δ'. Μακαρία τοίνυν ἡ Ἀλεξανδρέων πόλις ὑμᾶς ἔχουσα πρεσβευτάς· οὐκ ἂν αἱ Σοδόμων πόλεις τεφρωθεῖσαι κατέπεσον, εἰ δέκα δίκαιοι ἐκεῖσε διέτριβον[3]· οὐδ' αὖ πάλιν ἕτεραι πόλεις διεστράφησαν εὐμοιροῦσαι τῆς ὑμῶν ἁγιότητος· οἱ φίλοι τοῦ θεοσεβοῦς Ἰὼβ χαλεποὶ ὄντες ἐσώθησαν δι' αὐτόν, ὡς γέγραπται· «Ἰὼβ δὲ ὁ θεράπων μοι εὔξεται περὶ ὑμῶν, ὅτι εἰ μὴ πρόσωπον αὐτοῦ λήψομαι, εἰ μὴ γὰρ δι' αὐτόν, ἀπώλεσα ἂν πάντας ὑμᾶς»[4]· ἥμαρτεν πάλιν ποτὲ ὁ τῶν Ἰουδαίων λαός, ὅτε ὁ τοῦ Θεοῦ θεράπων τὸν νόμον ἐδέξατο· ὀλιγωρήσας τοῦ πρέποντος ὁ ἀεὶ ἀσύνετος καὶ ἀπαίδευτος λαὸς παρηνώχλει τῷ Ἀαρὼν λέγων· «Ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν»[5]· παραβάντων δὲ αὐτῶν, ὠργίσθη Κύριος αὐτοῖς καί φησιν· «Μωϋσῆ, Μωϋσῆ, σπεῦσον, κατάβηθι, ὁ γὰρ λαὸς ἠνόμησεν»[6], ὁ δὲ καταβὰς καὶ θεασάμενος τὴν παρανομίαν, ἀπεκρίνατο τῷ Θεῷ λέγων· «Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή γε, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας»[7]. Ὢ πόση τοῖς ἁγίοις διάθεσις! ὢ πόσον αἱ ὑμέτεραι εὐχαὶ τὰ κατ' εὐχὴν ἡμῖν ἀνοίσει χρήσιμα, τοῦ Θεοῦ ἐπισπῶσαι τὴν εὐμένειαν! ὢ πόση ἀποκείσεται ὑμῖν ἡ ἀνάπαυσις Θεῷ συναφθῆναι σπουδάζουσιν! ὢ πόσων ἀγαθῶν ἐμπλησθήσεσθε, πατέρα καὶ μητέρα καὶ ἀδελφοὺς καταλείψαντες[8]!

Ε'. Τῷ Ἀβραὰμ πάλαι ὁ Θεὸς ἔλεγεν· «Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω»[9] καὶ ὁ μὲν Ἀβραὰμ ὑπακούσας ἐξῆλθεν· ὁρῶ δὲ καὶ ὑμᾶς ἁρπάσαντας τὸν τοῦ Θεοῦ λόγον, ἵνα τῷ Ἀβραὰμ ἐξακολουθήσητε καὶ τῆς εὐλο-

---

1. Ματθ. 5,16. 2. Πρβλ. Ἰακ. 5,17-18. Γ' Βασ. 17,1. 18,1. 3. Πρβλ. Γεν. 18,13. 4. Ἰὼβ 42,8-9. 5. Γεν. 32,1. 6. Πρβλ. Ἐξ. 32,7. 7. Ἐξ. 32,32. 8. Πρβλ. Μάρκ. 10,29. 9. Πρβλ. Γεν. 12,1.

γίας συναπολαυθήσητε· «Ἀγαθὸν ἀνδρί, ὅτ' ἂν ἄρῃ ζυγὸν ἐκ νεότητος αὐτοῦ, καθιεῖται δὲ κατὰ μόνας καὶ σιωπήσεται»[1]· τοῦτο ἡ ὑμετέρα ἀνα[932]χώρησις ἑρμηνεύει· πλοῦτος ὑμᾶς οὐκ ἐδελέασεν, οὐδὲ κάλλη γυναικῶν ἐξηπατήθη, ἀλλ' ὥσπερ ἀσώματοι ὄντες τῷ θείῳ φόβῳ τὰς ἐναντίας ἡδονὰς ἐπατήσατε· οὐ προσηλώθητε ταῖς τοῦ κόσμου φροντίσιν, ἀλλ' ὑπεφύγετε τούτων τὸ μάταιον· ἡδὺς ὑμῖν ἐν ἐρημίᾳ λιτὸς ἄρτος καὶ ἅλας καὶ πότιμον ὕδωρ ἢ αἱ ἐν πόλει τρυφαὶ καὶ εὐφρασίαι μετὰ μόχθου· Κρεῖσσον γάρ, φησί, ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ ἢ οἶκος πολλῶν ἀγαθῶν καὶ ἀδίκων θυμάτων μετὰ μάχης[2], ἐκ πάλαι ὁ Παροιμιαστὴς συμβουλεύει ἐλεύθεροί ἐστε κατὰ πάντα, ὦ θεοφιλέστατοι Θεῷ μονάζοντες· γυνὴ ὑμᾶς οὐκ ἐνοχλεῖ περὶ γυναικείου σκεύους· υἱοὶ ἢ θυγατέρες ὑμᾶς οὐ συμπνίγουσι, διαφόρους αἰτήσεις ὑμῖν προσφέροντες· οὐ θεράπων ἀποσυλήσας τὸν πλοῦτον φεύγει· οὐ χρημάτων μέριμνα κλέπτει ὑμῶν τὸν ὕπνον. Τῷ γὰρ «ἐμπλησθέντι τοῦ πλουτῆσαι», φησὶν ὁ Ἐκκλησιαστής, «οὐκ ἔστιν ὁ ἀφίων αὐτὸν τοῦ ὑπνῶσαι»[3].

ϛʹ. Ταῦτα τοῦ βίου τὰ ἡδέα, ταῦτα τοῦ βίου τὰ περισπούδαστα· ὅτ' ἂν γήμῃ τις ἐν πόλει, ἀρχὴ περιστάσεως, ἀναλωμάτων χρεία· ἔγκυος ἡ γυνή; γεγέννηκεν; ἀπετέχθη τὸ βρέφος; φροντὶς τῷ ἀνδρὶ πῶς τῆς γυναικὸς τελέσει τὰ καταθύμια· θῆλυ τέτοκεν; ὁ ἀνὴρ ἀηδίζεται περὶ προικῶν περισπώμενος· ἄρσεν ἐτέχθη; φαιδρὸν αὐτοῦ πρὸς ὀλίγον τὸ πρόσωπον· μετ' οὐ πολὺ τὸ παιδίον νόσῳ συνεσχέθη· συμφορὰ τῷ ἀνδρί, οὐ διαλιμπάνει ἰατροὺς προσκαλούμενος· πολλὰ δίδωσιν, εἰ τὸ παιδίον σωθήσεται· κατηφὴς προϊὼν τοῖς φίλοις συντυγχάνει, Εὔξασθε, λέγων, ὅτι τὸ παιδίον νοσεῖ· ἐάν τι πάθῃ, ἀγχόνῃ ἐμαυτὸν ἀπολλύω. Οἱ φίλοι συνέχονται· ὁ δὲ Θεὸς οἰκείᾳ εὐμενείᾳ ζωὴν παρέχει· ὑγίανεν τὸ παιδίον, προέβη, ἐμηκύνθη, ἐγένετο παῖς· διδάσκαλοι τοῦτον διάφοροι παραλαμβάνουσιν, καὶ ὅσον προβαίνει παιδεύεται κατὰ τὸν κόσμον· νέος λοιπὸν ἐγένετο, ἁρμόδιος πρὸς γάμου συνουσίαν, ὁ πατὴρ αὐτοῦ πάλιν περὶ γάμων ἀσχολεῖται· ἕτοιμα πάντα, ὁ θάλαμος ἕτοιμος, καὶ ὁ θάνατος ἄφνω τὸν νέον ἀφήρπασεν· συμφορὰ αἰφνίδιος τῷ πατρὶ ἀνηκέστως· ὁ νέος ἐκκομίζεται, στεναγμοὶ λοιπὸν καὶ ὀλοφυρμοί, περὶ τὸ μνῆμα ἀπερχόμενος οἰμωγὰς πέμπων, καὶ ταῖς χερσὶν ψοφῶν τὴν κεφαλήν, δονούμενος καὶ τύπτων τὸ πρόσωπον, Οἴμοι, οἴμοι συνεχῶς ἐπιλέγων· καὶ μάλα δακνόμενος ὑπὲρ τῆς συμφορᾶς, πολλάκις δυσιάτῳ περιπίπτει νόσῳ, καὶ κατὰ βραχὺ δαπανώμενος θάνατον λοιπὸν ἐπικαλεῖται.

Ζʹ. Μάθετε, ὦ τιμιώτατοι Θεῷ μονάζοντες, πόσων ὑμᾶς περιστάσεων Χριστὸς ἠλευθέρωσεν· μάθετε πόσας συμφορὰς ἐκερδάνατε· γνῶτε οἷον μετέρχεσθε βίον· ἰσάγγελοί ἐστε τῇ πολιτείᾳ· ὥσπερ γὰρ ἐν τῇ ἀναστάσει τῶν νεκρῶν «οὔτε γαμοῦσιν οὔτε γαμίσκονται,

---

1. Θρ. Ἱερ. 3,27-28. 2. Πρβλ. Παρμ. 15,17. 3. Ἐκκλ. 5,11.

ἀλλ' ὡς ἄγγελοί εἰσιν ἐν οὐρανῷ οἱ δίκαιοι»[1]· τὸν αὐτὸν τρόπον καὶ ὑμεῖς οὕτω συμβιοτεύοντες, προελάβετε τῷ πόθῳ τὸ ἐσόμενον· τίς τοίνυν οὐκ ἂν ὑμᾶς μακαρίσειεν ἀπερίσπαστον ἑλομένους βίον; τίς οὐκ ἂν ἀποδέξοιτο ὑμῶν τὴν ἐν ἐρήμοις δίαιταν; τίς οὐκ ἂν ὑμῶν ποθήσειε τὴν ἡσυχίαν; βουλευτήρια ἐν πό[933]λεσιν συγκροτεῖται, καὶ ζητήσεις περὶ πολιτείας· τίς ὀρχηστῶν καὶ μιμολόγων καὶ αὐλητῶν ἐμπλήσει γαστέρας; τίς ἀθέσμοις θεωρίαις καὶ ματαίαις κενώσει τὸν πλοῦτον; καὶ τῆς τούτων ἐρεύνης ὑμεῖς ἐκτός ἐστε διὰ τὸν Κύριον· δημοσίαις λειτουργίαις ἢ πολιτικαῖς οὐχ ὑπόκεισθε, οὐδὲ χεὶρ φορολόγου θύραν τινὸς ὑμῶν κρούει ἵνα τέλος καταδράσητε· οὐδεὶς ὑμᾶς ἐν πραιτωρίῳ ἕλκει, οἷα συμβαίνει, ἀλλ' οὐδὲ δεσμωτήριον οἰκήσετε συκοφαντούμενοι, ἀλλ' οὐδὲ κλοιοὺς οἱ πόδες ὑμῶν δέξονται, συκοφαντούμενοι μεγάλα ἵνα δημόσια χρήματα καταβάλητε· οὐδὲ καλωδίοις αἱ χεῖρες ὑμῶν δεθήσονται δι' ἑτέραν τινὰ περίστασιν· στρατιωτῶν διασεισμοὺς οὐκ οἴδατε, ἀλλ' οὐδὲ ταξεωτῶν ἀπάνθρωπα κωμῴδια· οὐκ ἐμπορίαις μετέρχεσθε, ἵνα ταῖς ἐπιορκίαις πλοῦτον συνάξητε, ἐπιστάμενοι κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν· καθεύδοντας ὑμᾶς δανειστὴς οὐκ ἐξυπνίσειεν, γραμμάτιον ἐπιφέρων, οὐδὲ λιβέλλους καθ' ὑμῶν γράψας ἄρχοντι παρέστησεν· οὐδὲ πλῆθος τόκων ἀπαιτούμενοι ἐστενάξατε· ἀλλ' οὐδὲ θάλατταν δεδοίκατε, μὴ ἀθρόον χειμάσασα ἀπολέσει τὸν φόρτον, καὶ πένης παραχρῆμα ὁ πλούσιος εὑρεθῇ.

Η'. Ταῦτα τοῦ βίου τὰ ἐπιτηδεύματα, ταῦτα τοῦ βίου τὰ πράγματα, ταῦτα οἱ γάμῳ συναφθέντες ὑπομένουσιν· ὑμεῖς δὲ ἐν ἐρήμῳ ἀπερίσπαστοι διατελεῖτε, μόνου λαμπροῦ βίου ἐπιμελούμενοι· ὢ πόσης τιμῆς ὑπεροχὴν ἔχει τὸ ἅγιον καὶ ἱερὸν ὑμῶν σχῆμα! ὢ πόσης εὐωδίας πνευματικῆς πνέει! ὢ πηλίκου τοῦ ἐπαγγέλματος ἐψηφίσασθε! λόγος οὐδεὶς ἀνυμνῆσαι, δύναται! ὢ ἐπάγγελμα οὐρανοῦ ἁπτόμενον! ὢ ἐπάγγελμα Θεῷ συναπτόμενον! ὢ ἐπάγγελμα ἀγγέλοις ἐξεικονιζόμενον! ὢ ἐπάγγελμα τὸ κατ' εἰκόνα Θεοῦ σῷζον! ὢ ἐπάγγελμα Θεῷ παρεστηκός! ὢ ἐπάγγελμα Θεῷ τιμιώτατον! ὢ ἐπάγγελμα δι' οὗ σῴζεται ὁ κόσμος! Ὑμᾶς τις μακαρίζων, δικαίως ἂν λέξειεν, «Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ, οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου»[2]· τοῦτον γὰρ τὸν νόμον μελετῶντες ἡμέρας καὶ νυκτὸς[3] «ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσηται, καὶ πάντα ὅσα ἂν ποιεῖ κατευοδωθήσεται»[4] οὕτω τοίνυν καρποφοροῦντες λόγῳ καὶ ἔργῳ παρρησιαστικώτερον δύνασθε λέγειν Θεῷ· «Καταβήτω ἀδελφιδός μου εἰς κῆπον αὐτοῦ, καὶ φαγέτω καρπόν ἀκροδρύων αὐτοῦ»[5]· ἕκαστος γὰρ ὑμῶν, ὢ ἀξιοπόθητοι Θεῷ μονάζοντες, κῆπός ἐστε

1. Ματθ. 22,30. 2. Ψαλ. 118,1. 3. Πρβλ. Ψαλ. 1,2. 4. Ψαλ. 1,3. 5. Ἀσμ. 4,16.

Χριστοῦ παντοδαπῶν δένδρων εἴδη περιέχων, ταῖς τοῦ νόμου φυλακαῖς καὶ ἐντολαῖς γεωργούμενος· οὐκ ἐστὲ δρυμὸς ξύλων ἵνα ἄγρια θηρία ἐν ὑμῖν ἐνοικήσῃ, τῶν ἐναντίων δυνάμεων τὸ αἱμοβόρον σύστημα· ἀλλὰ γὰρ κῆπος κεκλεισμένος λίθοις τιμίοις τὴν ἐκ τοῦ νόμου φυλακὴν καὶ ἀσφάλειαν· διὸ οὐκ ἐγένεσθε ζωγρήματα τοῦ διαβόλου, ἀλλ' ἐσαγηνεύθητε τῇ σαγήνῃ τοῦ Χριστοῦ ἐκ τῆς ἁλμυρᾶς τοῦ κόσμου ἀκαταστασίας.

Θ'. Ὁ γάμῳ κοινωνῶν περὶ πολλὰ μερίζεται τὴν **[936]** διάνοιαν, ὡς λέγει Παῦλος· «Ὁ δὲ γήμας μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικί, καὶ μεμέρισται»[1] αὐτοὶ δέ, ὦ θαυμάσιοι Θεῷ γλιχόμενοι, ἀχώριστοι αὐτοῦ διατελεῖτε, ἀεὶ λέγοντες τὸ παρὰ τοῦ Δαβὶδ πόθῳ εἰρημένον· «Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου»[2]· οὐ γὰρ ὀπίσω ἀγρῶν ἢ οἰκιῶν ἢ ἑτέρας τινὸς οὐσίας ἐπορεύθητε, ἵνα ταῦτα καταλαβόντες κτήσησθε· ἀλλ' οὐδὲ ὀπίσω ἀλόγου ἐπιθυμίας ἢ καταλαλιᾶς ἢ φιλαργυρίας ἢ ἑτέρας τινὸς ἀπάτης, ἀλλ' ὡς γέγραπται· «Ὀπίσω Κυρίου τοῦ Θεοῦ σου πορεύσῃ, καὶ πρὸς αὐτὸν προσκολληθήσῃ»[3]· τοῦτο ἀληθείᾳ ὑμεῖς πεποιήκατε· «Ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι»[4]· καὶ τοῦ ῥήματος ἡ δύναμις ἐν ὑμῖν φαίνεται, ὃ οὐ παραδραμόντες παγίως ἀπετάξασθε τῷ κόσμῳ καὶ ταῖς τοῦ κόσμου φροντίσιν, λίαν θαρρήσαντες τῷ εἰπόντι Θεῷ· «Ζητεῖτε πρῶτον τὴν βασιλείαν τοῦ Θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν»[5].

Ι'. Διὸ ἐπαίνων καὶ μακαρισμῶν ἐστε ἄξιοι, οὕτως Χριστῷ τὴν ἀπαίδευτον ἀκοὴν ὑποτάξαντες, ἵνα μὴ ματαίαις αὐτὴν καταλαλιαῖς καταδουλώσητε· ἵνα δὲ καὶ τοὺς βλέποντας ὑμῶν ὀφθαλμοὺς ὀρθὰ παιδεύσητε μὴ ἐρᾷν ἀλλοτρίων κτημάτων, πρὸς Θεὸν αὐτοὺς ἀνατείνειν ἐμελετήσατε μετὰ τοῦ ὑμνογράφου Δαβὶδ λέγοντες· «Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ· ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσῃ ἡμᾶς»[6]· ἐπαίροντες ὁσίας χεῖρας ἀκαταπαύστως πάλιν πρὸς Θεὸν εἰώθατε ἐνατενίζειν διὰ καθαρῶν προσευχῶν, ἵνα μὴ ἁρπαγῶν καὶ κλοπῶν καὶ πολέμων αἴτιοι γένωνται· τοὺς δὲ πόδας ὑμῶν ἢ εἰς οἶκον Θεοῦ ἢ εἰς μονὰς ἁγίων Πατέρων τροχίαις ὀρθαῖς βαδίζειν εἰώθατε, ἵνα μὴ εἰς κακίαν δραμόντες βόθροις ὑποπεσοῦνται· περὶ γὰρ τῆς ἐλευθέρας ὑμῶν ὀσφρήσεως σύνηθες ὑμῖν λέγειν Θεῷ· «Εἰς ὀσμὴν μύρου σου δραμούμεθα»[7]· μεμαθήκατε γὰρ καὶ τὴν γεῦσιν εὐτελέσι τροφαῖς καὶ ποτῶν ὕδατι ἐθίζειν· ἵνα γὰρ μὴ γαστρὸς χάριν ὑποκρίνησθε πρόσωπα, καὶ ὅτι μάλιστα τῷ

---

1. Α' Κορ. 6,33-34. 2. Ψαλ. 62,9. 3. Πρβλ. Δευτ. 10,20. 4. Ματθ. 19,21. 5. Ματθ. 6,33. 6. Ψαλ. 122,1-2. 7. Ἀσμ. 1,4.

Ἀδὰμ ἡ παράβασις διὰ γεύσεως γέγονεν· πρὸς δὲ τούτοις ἅπασιν καὶ ἄμφια κέκτησθε ταπεινὰ καὶ τραχέα, τῆς ἀληθείας ἅμα καὶ ἀσκήσεως ἐπιδεικνύντες τὸν τρόπον· ἡδὺς ὑμῖν ψίαθος καὶ σεμνὸν περιβόλαιον δίχα παραπτώματος, ἢ στρωμναὶ μαλακαὶ μετὰ ἁμαρτίας· ἡδὺ ὑμῖν τὸ ἀκροᾶσθαι περὶ ἀναστάσεως καὶ φοβερᾶς κρίσεως ἢ ἀκοῦσαι αὐλῶν καὶ κιθάρας καὶ ᾀσμάτων ματαίων· αἱρετὸς ὑμῖν θάνατος εὐκλεής, ἢ ζῆν τρυφερῶς πολὺν χρόνον ἀσέμνως.

ΙΑ'. Μακάριοι τοίνυν ἐστέ, τιμιώτατοι· τοῦτο γὰρ συνεχῶς ὑμῖν λέγειν ἄξιον· μακάριοί ἐστε τῇ ὁμοου[937]σίῳ Τριάδι στρατευσάμενοι· στρατιώτην ἰδιώτης ἄνθρωπος οὐκ ἀπατᾷ, ἀλλ' οὐδὲ τὴν ὑμετέραν εὐλάβειαν οἱ δραπετεύσαντες δαίμονες· Θεὸς γὰρ ὑμῖν δωρεὰς διδοὺς ἔλεγεν· «Ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει»[1], οὐκ ἐστρατεύθητε ἀνθρωπίνῳ βασιλεῖ, ἵνα ἐν πολέμῳ θεάσησθε τὰς τῶν ὁμογενῶν ἀνθρώπων σφαγάς, ἀλλ' ἐστρατεύθητε τῷ Χριστῷ, ἵνα τῶν δαιμόνων θεάσησθε τὰ πτώματα· οὐδ' ἐκέκτησθε ὅπλα ἐκ χαλκοῦ καὶ σιδήρου, ἵνα τοὺς ὁμοδούλους ἀνέλητε· ἀλλ' ἐκτήσθε πίστιν ἰσχυράν, δι' ἧς ὁ διάβολος καταβάλλεται· οὐδὲ πάλιν ἐστρατεύσασθε ἵνα ἐκχέητε αἷμα ἀνθρώπινον, ἀλλ' ἐστρατεύσασθε Θεῷ ἵνα διηνεκῶς ἐκχέητε τὴν δέησιν ὑμῶν ἐνώπιον αὐτοῦ. «Ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν»[2]· δεήθητε οὖν ὑπὲρ τοῦ κόσμου, εὖ μάλα εἰδότες ὡς ὅτι εὐχαῖς δικαίων ὑπακούει, καὶ ὅτι πολὺ ἰσχύει ἡ δέησις δικαίου ἐνεργουμένη[3]· διηνεκῶς μέμνησθε ἡμῶν· ὑφ' ὑμῶν ὁ παράδεισος τῆς τρυφῆς εἰσοικισθήσεται· καὶ ἃς ἀπέκλεισε τοῦ παραδείσου θύρας ἡ τοῦ Ἀδὰμ παράβασις, ταύτας ὁ ὑμέτερος ἔρως ὁ εἰς Θεὸν ἀνοίξει· ὑφ' ὑμῶν γὰρ ὁ οὐρανὸς οἰκισθῆτε, ἵνα τοῖς ἀποστόλοις συναντήσητε, ἵνα προφήτας ἴδητε, ἵνα τοὺς μάρτυρας θεάσησθε, ἵνα πάντας τοὺς δικαίους περιπτύξησθε, ἵνα τοῖς ἀγγέλοις συνδιατρίψητε· ὑμεῖς ἐνθάδε μακάριοι, καὶ μετὰ τὴν ἐνθένδε ζωὴν μακαριώτεροι· ἐκεῖ Ἰωάννην τὸν Βαπτιστὴν ὄψεσθε, τὸν τῆς ὑμετέρας ἀσκήσεως εὑρετήν, τὸν ἐν ἐρημίᾳ τραφέντα καὶ ἐν ἀσκήσει διαπρέψαντα· ἐκεῖ ὄψεσθε τὸν ἀνδρειότατον Ἰὼβ πολλῇ περιβεβλημένον δόξῃ, τὸν τῶν ὑμετέρων πόνων ἐργάτην, καὶ τῆς ὑπομονῆς φίλον· ἐκεῖ ὄψεσθε τὸν προπάτορα ὑμῶν Ἀβραὰμ τὸν τῆς ὑμετέρας φιλοξενίας ἐραστὴν γνήσιον γενόμενον· ἐκεῖ ὑμῖν ἀπαντήσει πραότατος Δαβὶδ ὁ ἀσκητικώτατος, οὗ ὁ βίος καθ' ἡμέραν ὑμᾶς ἀλείφει· καὶ ἵνα μὴ ἕκαστον τῶν δικαίων ὀνομάζων μακρύνω τὸν λόγον, αὐτὸν τὸν Χριστὸν ὄψεσθε πάντων τῶν ἀγαθῶν τὸ κεφάλαιον, τὸν εἰπόντα ὅτι «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται»[4].

ΙΒ'. Τίς τοίνυν μακαριώτερος ἢ εὐδαιμονικώτερος ὑμῶν, ἵνα Θεὸν αὐταῖς ὄψεσιν ἴδητε; μακάριοί ἐστε ἐν ἡμέρᾳ κρίσεως, ποθεινό-

1. Λουκ. 10,19. 2. Ψαλ. 33,16. 3. Ἰακ. 5,16. 4. Ματθ. 5,8.

τατοι, ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν ἀνθρώπων· ὅτι τὰ πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ ἐστιν[1]· ὅτι «πάντας ἡμᾶς παραστῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος τὰ διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν, εἴτε ἀγαθὸν εἴτε φαῦλον»[2]· τρόμος ὑμᾶς οὐ λήψεται τὸ τηνικαῦτα ,ἀλλ' εὐφροσύνη καὶ χαρὰ καὶ στέφανος ἀγαλλιάματος ἐν Πνεύματι Ἁγίῳ· ὑμῖν οὐ κρίσις φοβερά, οὐδὲ πῦρ αἰώνιον[3], οὐδὲ σκώληξ ἀκοίμητος[4], ἀλλὰ τοῖς ἐναντίοις καὶ παραβαίνουσι τὴν ἐντολὴν τοῦ Θεοῦ· ὑμεῖς ἀκούσητε τὸ «Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου»[5], οἱ ἀμέμπτως τὰ Χριστοῦ φρονήσαντες· τῷ δὲ κοινῷ πάντων ἐχθρῷ [940] καὶ τοῖς τούτῳ ἀκολουθήσασι λέξει τὸ φρικῶδες ἐκεῖνο ῥῆμα· «Ἀρθήτω ὁ ἀσεβὴς ἵνα μὴ ἴδῃ τὴν δόξαν Κυρίου»[6]· ἐκεῖ ὑμεῖς ἀπελεύσεσθε μετ εὐφροσύνης καὶ χαρᾶς ἔνθα ἀπέδρα ὀδύνη καὶ λύπη καὶ στεναγμός[7], ἔνθα τιμὴ καὶ δόξα καὶ χαρίσματα ἀναφαίρετα.

ΙΓ'. Τὸ γὰρ ἐπιεικὲς ὑμῶν πανταχοῦ τῆς οἰκουμένης ὅλης διανέμεται[8]· ποία πόλις ἀκούσασα ὑμῶν τὸν ἐνάρετον καὶ ἀποστολικὸν βίον, οὐκ εὔχεται ὑμᾶς θεάσασθαι; ποῖος βασιλεὺς τῶν φθασάντων, ἢ καὶ τῶν νυνὶ χρόνων, ἀκούων ὑμῶν τὸν θεοπρεπῆ καὶ ἐνάρετον βίον, οὐκ ηὔξατο ὑμᾶς ἱστορῆσαι, καὶ μετὰ πολλοῦ πόθου περιπτύξασθαι; Ἐξ ὑμῶν ἀββᾶ Ἀντώνιος δι' ἀκρότατον βίον γενόμενος, οὗ καὶ ὁ βίος ἔγγραπτος παρ' ὑμῖν διασῴζεται· ἔτι τε καὶ ὁ ἀββᾶ Ἀμμοῦν, καὶ ἀββᾶ Ἰωάννης, καὶ ἀββᾶ Μακάριος, οἳ καθ' ὑπερβολὴν ἐναρέτως διέλαμψαν, οἳ καὶ σημεῖα καὶ ἑτέρας δυνάμεις τοῖς ἀνθρώποις ἐπεδείξαντο, κατὰ βούλησιν Θεοῦ δαιμόνια ἀπελάσαντες καὶ μεγάλας νοσημάτων ἀλγηδόνας ἰασάμενοι καὶ ἕτερά τινα πάθη, τῶν ἰατρῶν ἔδειξαν τὴν ἀσθένειαν· ἃ γὰρ οὐκ ἠδύναντο πάθη αἱ ἰατροὶ θεραπεῦσαι, ταῦτα ταῖς τούτων ἁγίαις εὐχαῖς καὶ ἰσχυρᾷ πίστει παρεχώρουν, τοῦ ἰᾶσθαι οἰκεῖον τρόπον ἐπιγινώσκοντες τοὺς ὅρους· ταῦτα βασιλεῖς ἀκούοντες, λίαν ἐθαυμάζοντο Θεὸν ὑμνοῦντες.

ΙΔ'. Ταῦτα μᾶλλον ἴστε ἡμῶν ἀκριβῶς· ὑμεῖς γὰρ αὐτοῖς καὶ συνδιατρίψατε καὶ οἱ πατέρες ὑμῶν· τίς τοίνυν ἐπαξίως ἐγκώμια δυνήσεται φράσαι; τίς δὲ οὐκ ἀποδέξεται ἢ ἐπαινέσειεν τὸ φιλόθεον, τὴν ὑπομονήν, τὴν σύνεσιν, τὸ ἀκέραιον ὁμοῦ καὶ φρόνιμον; ἀλλὰ τὸ πρᾶον καὶ ἡσύχιον, ἀλλὰ τὸ ἥμερον ἦθος, ἀλλὰ τὸ εἰρηνικόν, ἀλλὰ τὸ ἄπλαστον καὶ ἁπλοῦν, ἀλλὰ τὸ ἀπαθές, ἀλλὰ τὸ ἀφυλάργυρον, ἀλλὰ τὸ εὔσπλαγχνον, ἀλλὰ τὸ ἐλεημονικόν, ἀλλὰ τὸ εὐμετάδοτον, ἀλλὰ τὸ συμπαθές, ἀλλὰ τὸ φιλάδελφον καὶ φιλόξενον, ἀλλὰ τὸ φιλόπτωχον, ἀλλὰ τὸ ὁμιλητόν, ἀλλὰ τὸ φιλάληθες, ἀλλὰ τὴν εἰς Θεὸν ὁμόνοιαν, ἀλλὰ

1. Ἑβρ. 4,13. 2. Β' Κορ. 5,10. 3. Πρβλ. Ματθ. 18,8. 4. Πρβλ. Μάρκ. 9,48 5. Ματθ. 25,34. 6. Ἡσ. 26,10. 7. Πρβλ. Ἡσ. 35,10. 51,11. 8. Πρβλ. Φιλιπ. 4,5.

τὸ μελισταγὲς ὑμῶν ῥῆμα, ἀλλὰ τὸν ἡσύχιον λόγον, ἀλλὰ τὸ εὔτακτον βάδισμα ,ἀλλὰ τὴν ἀναχώρησιν, ἀλλὰ τὸ χρηστὸν ὄνομα, ἀλλὰ τὸ ὀρθόδοξον, ἀλλὰ τὴν εἰς Θεὸν πίστιν; Ὢ πόση ἀρετῇ συναναστρέφεσθε! ὢ πόσαι ἀρεταὶ ὑμᾶς περιστέφουσι, Θεῷ τιμιώτατοι! ὢ ἐκ πόσων ἀρετῶν διάδημα περίκεισθε! ὢ πόση παρ' ὑμῖν χρηστῶν ἔργων εὐστάθεια! Εἰρήνη παρ' ὑμῖν ἡγεμονεύει τῶν κακῶν ἀποχῇ· ταπεινοφροσύνη παρ' ὑμῖν ἡγεμονεύει, ὁ τοῦ Κυρίου χρηστὸς τύπος, οὗ ἀστοχήσας παρὰ τὴν ἀρχὴν ὁ διάβολος δικαίως καταβέβληται.

ΙΕ'. Ταῦτα δὲ ὑμῖν γράφειν καὶ λέγειν ἀναγκαῖον καὶ πρεπωδέστατον· ἐπειδὴ γέγραπται· «Μνήμη δικαίων μετ' ἐγκωμίων»[1]· καὶ ὅτι ἐγκωμιαζομένων δι**[941]**καίων εὐφρανθήσονται λαοί[2]· ὅτε τοίνυν τις ὑμῶν μνημονεύει, πάντως καὶ ἐγκωμίων ἐφάπτεται· διὸ ἀνδρειότατοι, σαφῶς ἐπιγιγνώσκοντες ὑμῶν τὸ ἀξίωμα καὶ τὴν ἑαυτῶν δόξαν, τελειῶσαι ὑμῶν τὸν μισθὸν ἐνισχύσατε, νήφοντες ἐπὶ πλεῖον τῇ τῶν μελλόντων ἐλπίδι· καὶ τὸ τοῦ Δαβὶδ ᾄδοντες· «Ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον»[3]· μηδὲ πώποτε κἂν ἔννοιά τις ἐμφωλεύῃ τὸ σύνολον, μηδὲ τοῦ τοσούτου χρόνου βραχεῖά τις ῥαθυμία τῶν ἀγαθῶν ὑμῶν τῆς ψυχῆς ἐναντίος ἄνεμος πνεύσας σβέσει τὰ λάμποντα φῶτα ὡς φωστῆρες ἐν κόσμῳ φαινόμενοι, ἵνα σὺν τοῖς ἀποστόλοις ἀκούσησθε· «Ὑμεῖς ἐστε φῶς τοῦ κόσμου»[4]· τοῦ δὲ Ἀποστόλου λέγοντος· «Ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες κοσμήσησθε τὴν ἐπαγγελίαν»[5]· μὴ ἀποκάμητε οὖν, τιμιώτατοι, ἀλλὰ τῇ ἀρχῇ τὸ τέλος συνάψατε, καὶ τῷ τέλει τὴν ἀρχὴν συνάψατε· «Ὁ γὰρ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται»[6]· γένοιτο δὲ ὑμᾶς καὶ ἡμᾶς μακαρίου καὶ ὁσίου τέλους τυχεῖν ἐντρεφομένους δόγμασι θείοις, ὑπὸ Θεοῦ ἀρχόμενοι καὶ παρ' αὐτοῦ ποιμαινόμενοι· καὶ τὰ εὐκταῖα ἐκεῖνα ῥήματα τῷ Ἀποστόλῳ κατορθώσαντας μετὰ παρρησίας λέξαι· «Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει μοι Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτής»[7]· ᾧ ἡ δόξα καὶ τὸ κράτος, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

1. Παρμ. 10,7. 2. Παρμ. 29,2. 3. Ψαλ. 26,14. 4. Ματθ. 5,14. 5. Ἑβρ. 10,36. 6. Ματθ. 24,13. 7. Β' Τιμ. 4,7-8.

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΜΑΘΗΤΑΣ ΤΟΥ ΑΓΙΟΥ ΑΝΤΩΝΙΟΥ

(Κατὰ τὴν συριακὴν μετάφρασιν)*

Μετὰ τὸν θάνατον τοῦ Παμμακαρίστου Μεγάλου Ἀντωνίου ὁ Σεραπίων Ἐπίσκοπος Ἀμοῦ ἔγραψεν εἰς τοὺς ἀσκητὰς Ἰσαὰκ καὶ Σαρμάτην τὰ ἑξῆς:

Ὁ κόσμος ἀπώλεσε γέροντα μέγαν καὶ οἱ οὐρανοὶ εὗρον ἄνδρα μέγαν. Πράγματι οἱ ἐπουράνιοι εὗρον ἐκεῖνον, τὸν ὁποῖον ἀνεζήτουν καὶ οἱ ἐπὶ γῆς ζῶντες ἀπώλεσαν τὸν καθοδηγητήν, τὸν ὁποῖον εἶχον. Οἱ οὐρανοὶ ἐπανηγύρισαν διὰ τὴν μετάβασίν του καὶ οἱ ἐπὶ γῆς ᾐσθάνοντο τὸ μέγα κενόν. Ἴδετε λοιπόν! Καθὼς ὁ μέγας γέρων, ὁ Μέγας Ἀντώνιος, ἀπήρχετο τῆς γῆς, προσηύχετο ὑπὲρ τοῦ σύμπαντος κόσμου· κατεστρέφοντο δὲ καὶ ἐδυσχεραίνοντο τὰ πάντα καὶ ὀργὴ ἠρήμωνε τὴν Αἴγυπτον.

Ἐὰν ἡ ἀποχώρησις ἐκείνου προὐξένησε τὴν ἡμετέραν ἐρήμωσιν, ἡ εἴσοδός του εἰς τοὺς οὐρανοὺς προὐκάλεσε χαράν, ἐπειδὴ εὑρίσκεται ἐν οὐρανοῖς. Διότι ἐφ' ὅσον ἦτο ἐν τῇ γῇ ὡμίλει καὶ προσηύχετο· ὅταν ἥπλωνε τὰς χεῖράς του ἐπεκαλεῖτο τὴν μεγαλοψυχίαν τοῦ Θεοῦ καὶ ὑψῶν τὴν διάνοιάν του ἠμπόδιζε ὅπως κατέλθῃ ἡ ὀργὴ Αὐτοῦ.

Ἀφ' ὅτου αἱ χεῖρες ἐκεῖναι ἀνῆλθον εἰς οὐρανούς, δὲν εὑρέθη ἄλλος τις διὰ νὰ ἐμποδίσῃ τὴν δύναμιν τῆς ὀργῆς· ἐξαίφνης αὕτη ηὐξήθη καὶ δυσχέρεια τηλικαύτη ὑπάρχει, ἥτις ἐρημώνει ὅλην τὴν χώραν.

Ὁ Ἀαρών, ὅταν αἱ πληγαὶ ἔπληξαν τὸν Ἰουδαϊκὸν λαόν, ἔλαβε τὸ θυμιατήριον καὶ ἀντεμετώπισε τὴν ὀργὴν μὲ σθένος καὶ ἔστη ἀναμέσον τῶν ζώντων καὶ νεκρῶν καὶ τοὺς ζῶντας ἠμπόδιζε νὰ ἀποθάνουν καὶ δὲν ἐπέτρεψε εἰς τὴν ὀργὴν νὰ κατέλθῃ, διατηρῶν οὕτω τοὺς ἀνθρώπους ἐν ζωῇ καὶ ἀναγκάσας τὸν θάνατον νὰ ὀπισθοχωρήσῃ καὶ νὰ μὴ ἐπέλθῃ.

Οὕτως ἡ ὀργὴ ἡσύχασε ἀπὸ σεβασμὸν πρὸς ἐκεῖνον τὸν δίκαιον.

Ὁ Μέγας Ἀντώνιος, ὁ γέρων τῆς γῆς, ἐφ' ὅσον ἦτο μεθ' ἡμῶν ἐκόμιζε πάντοτε τὴν εὐωδίαν τοῦ θυμιάματος τῶν ὁμιλιῶν του, οὕτω δὲ ἠμπόδιζε τὴν ὀργὴν νὰ κατέλθῃ ἐκ τῶν ἄνω πρὸς τὰ κάτω. Ἀλλὰ

---

* Μετάφρασις εἰς τὴν νέαν ἑλληνικὴν τοῦ εἰς συριακὴν μετάφρασιν διασωθέντος κειμένου τῆς ἐπιστολῆς δημοσιευθέντος ὑπὸ τοῦ R. Draguet, Une lettre de Sérapion de Thmuis aux disciples d' Antoine (a. D. 356) en version Syriaque et Arménienne. Le Muséon 64, Louvain 1951, σελ. 4-7.

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΜΑΘΗΤΑΣ ΤΟΥ ΑΓΙΟΥ ΑΝΤΩΝΙΟΥ

(Κατὰ τὴν ἀρμενικὴν μετάφρασιν)*

Λόγος τοῦ ἁγίου Σεραπίωνος πρὸς μαθητὰς τοῦ ἁγίου Ἀντωνίου τοῦ ἐρημίτου.

Μέγαν παράκλητον ἀπώλεσεν ὁ κόσμος καὶ μέγαν ἄνθρωπον ἐδέχθη ὁ οὐρανός. Ἐγνώριζε τὰ τοῦ ὕψους, ὅπερ ἐζήτει, καὶ κατέλιπε τὰ κάτωθεν, ἅπερ εἶχεν. Ἑορτὴ εἶναι σήμερον ἐν τοῖς ἄνω, διότι αὐτὸς ἐπορεύθη πρὸς τὰ ἄνω, πλείστη δὲ θλῖψις καὶ στενοχωρίαι παρέμειναν κάτω διὰ τὴν ἀναχώρησιν ἐκείνου ἐξ ἡμῶν. Νῦν ἴδετε, ἀδελφοί! Καθ' ἣν ὥραν ἀπήρχετο ἐξ ἡμῶν ὁ γέρων, ὁ μακάριος Ἀντώνιος, ὁ ὁποῖος ἦτο εἰσέτι παράκλητος διὰ τὴν ὑφήλιον, ἰδοὺ διὰ μιᾶς στερηθέντες τούτου κατεστράφημεν καὶ συγχρόνως πάντα τὰ στοιχεῖα εἶναι δυσχερῆ καὶ θυμὸς Θεοῦ ἐγερθεὶς ἐρημώνει κυρίως τὴν Αἴγυπτον. Ἰδοὺ ἡ ἀπομάκρυνσις ἐκείνου ἀφ' ἡμῶν ἐπεξέτεινε τὸ πῦρ τῆς ἡμετέρας καταστροφῆς. Ἀλλ' ὅμως ἡ ἐκ τοῦ σώματος ἀπελευθέρωσις ἐκείνου ηὔξησε τὴν ἡμετέραν χαράν, διότι εὑρίσκεται εἰς τὸν οὐρανόν.

Καὶ ἐφ' ὅσον ὁ ἅγιος ἦτο εἰς τὴν γῆν ὡμίλει καὶ ἤγειρε φωνὴν καὶ τὰς ἁγίας χεῖράς του εἶχε πάντοτε ἀνεῳγμένας πρὸς τὸν Θεόν, ὁμιλῶν δὲ πρὸς αὐτὸν πρεπόντως ἔλαμπεν ἐν Κυρίῳ καὶ δὲν ἐπέτρεπε νὰ κατέλθῃ ὁ θυμὸς καὶ συχνάκις ὑψώνων μετ' ἐμπιστοσύνης τὰς σκέψεις του ὁ ἅγιος ἠμπόδιζεν, ὅπως ἡ ὀργὴ τοῦ Θεοῦ ἔλθῃ εἰς ἡμᾶς. Ἀλλ' ἀφ' ὅτου ἐκείνη ἡ χείρ, ἡ ὁποία ὑψοῦτο, ἐκλείσθη καὶ οὐδεὶς πλέον εὑρίσκεται, ὁ ὁποῖος θὰ ἠδύνατο νὰ ἀποτρέψῃ ἀφ' ἡμῶν τὴν ὀργήν, αὕτη νῦν ἐξαίφνης ἐκχυθεῖσα πλήττει πᾶσαν χώραν καὶ ἐρημώνει τὸ πᾶν. Διότι ὁ Ἀαρών, ὅταν φοβεραὶ πληγαὶ ἔπληξαν τὸν λαόν, ἔλαβε τὸ θυμιατήριον, ἔστη ἔναντι τοῦ θυμοῦ τοῦ Θεοῦ θέτων αὐτὸ μεταξὺ νεκρῶν καὶ ζώντων, δὲν ἀφῆκε νὰ ἐπέλθῃ εἴς τινας ὁ θάνατος, δὲν ἐπέτρεψε νὰ κατέλθῃ ὁ θυμὸς καὶ διεφύλαξέ τινας ζῶντας, τὸν δὲ θάνατον ἀπέστρεψε καὶ ἔστη ἡ ὀργὴ τοῦ Θεοῦ σεβομένη τὸν δίκαιον.

Ὅταν δὲ ὁ γέρων μακάριος Ἀντώνιος ἦτο ἐν τῇ γῇ, τὸ ἅγιον θυμιατήριον συνεχῶς ἐκράτει ἀνυψωμένον καὶ τὴν ὀργὴν καταπραΰνων δὲν ἐπέτρεπε νὰ ἔλθῃ πρὸς ἡμᾶς. Πράγματι δέ, ἐφ' ὅσον ὁ ἅγιος ἐκεῖνος

---

* Μετάφρασις εἰς τὴν νέαν ἑλληνικὴν τοῦ εἰς ἀρμενικὴν μετάφρασιν διασωθέντος κειμένου τῆς ἐπιστολῆς δημοσιευθέντος ὑπὸ τοῦ R. Draguet, Une lettre de Serapion de Thmuis aux disciples d' Antoine (a. D. 356) en version Syriaque et Arménienne. Le Muséon 64, Louvain 1951, σελ. 7-11.

ἡ ὀργὴ εὗρε διέξοδον μετὰ τὸν θάνατόν του, καὶ κατῆλθε, διότι οὐδεὶς εὑρίσκετο νὰ τὴν ἐμποδίσῃ.

Ἐφ 'ὅσον ὁ ἅγιος ἐκεῖνος ἦτο μεθ' ἡμῶν, ἡ ὀργὴ δὲν ἐπήρχετο καὶ μακρὰν ἡμῶν ἵστατο.

Ἄράγε τί εἶδος δάκρυα πρέπει νὰ ἐκχύσωμεν ἢ ποῖον θρῆνον νὰ ψάλωμεν ὅσοι ἐστερήθημεν τοῦ ἁγίου; Διότι ἀδυνατοῦμεν νὰ εὕρωμεν φάρμακον! Ὅθεν ἀπευθυνόμεθα πρὸς ὑμᾶς, ὦ μακάριοι, παρακαλοῦντες καὶ λέγοντες, ὅτι πρέπον ἐστίν, ὅπως μιμηθῆτε αὐτόν.

Διότι, ἐὰν ἀπωλέσαμεν ἕνα, ἔχομεν πολλοὺς καὶ εἶναι δίκαιον νὰ εὕρωμεν τὴν δύναμιν τοῦ ἑνὸς εἰς τοὺς πολλούς. Προσευχόμεθα δὲ διὰ νὰ ἀποκτήσητε, ἐφ' ὅσον εἶσθε πολλοί, μεγάλην δύναμιν, ὥστε ὁ καθεὶς ἐξ ὑμῶν κατὰ τὴν ἀρετὴν νὰ καταστῇ ἅγιος Ἀντώνιος. Οὕτω δέ, ἀφοῦ ὑπάρξουν πολλοὶ Ἀντώνιοι, πολλαὶ ἀρεταὶ θὰ ἔλθουν εἰς ἡμᾶς καὶ μεγάλη ἀναπλήρωσις καὶ τελεία θεραπεία ἀφθόνως θὰ δοθῇ.

Ἀλλ' ἐφ' ὅσον εἶναι δύσκολον εἰς τὸν καθένα νὰ ἀποκτήσῃ τὴν δύναμιν ἐκείνου καὶ εἶσθε πολλοί, πρέπει νὰ φανερωθῇ ἡ δύναμις ἐκείνου εἰς τὸ σύνολον καὶ ὅ,τι ἐκεῖνος ἔπραττε μόνος διὰ τῆς προσευχῆς του, τοῦ Θεοῦ ἐπακούοντος διὰ τὴν ἁγνότητα καὶ ἁγιότητα τῶν λόγων του, τοῦτο ἂς τὸ πράξωμεν οἱ πολλοὶ διὰ τῆς καθαρότητος καὶ τῆς προσευχῆς, παρακαλοῦντες τὸν Θεὸν ὅπως, ἀφοῦ λάβῃ τέλος ἡ ὀργή, ἡ ἐκκλησία ἀποκτήσῃ τὴν χαράν.

Γράφω δὲ πρὸς ὑμᾶς ὅτι αἱ ἐκκλησίαι ἐπληρώθησαν ἀπελπισίας καὶ αἱ πλατεῖαι ἐπληρώθησαν ἀσεβείας. Ἡ ἡμετέρα πόλις ἐγένετο θῦμα τῆς κακίας καὶ τῆς μοιχείας καὶ παντὸς εἴδους πονηρίας. Καὶ τὸ ψεῦδος αἰχμαλωτίζει τὰς ψυχάς· ἐννοῶ τὰς διδασκαλίας τῶν Ἀρειανῶν, αἱ ὁποῖαι διαφθείρουν τὸν νοῦν τῶν ἀσθενῶν. Οὕτω δὲν εἶναι δυνατὸν νὰ παρεκκλίνωμεν ἄνευ δακρύων. Ἡ Ἐκκλησία τοῦ Θεοῦ στερεῖται τῶν διακόνων της, αἱ ἐκκλησίαι τοῦ Θεοῦ ὠρφανίσθησαν ἀπὸ λαόν, οἱ ναοὶ ἐγκατελείφθησαν ἀπὸ τὸν λαόν. Ὁ λαὸς τὰς ἐρήμους μετέβαλεν εἰς ἐκκλησίας καὶ ἡσύχασε τοὺς πόνους του μὲ

ἦτο μεταξὺ ἡμῶν, δὲν ἐπεξετείνετο αὕτη καὶ ἦτο μακρὰν ἡμῶν. Ὅταν δὲ ἀπεχώρησεν ἐξ ἡμῶν, πάλιν εὗρε τόπον ἡ ὀργὴ καὶ κατῆλθεν εἰς ἡμᾶς, ἐφ' ὅσον δὲν συνήντησε μεταξὺ ἡμῶν ἐκεῖνον, ὁ ὁποῖος θὰ τὴν ἠμπόδιζε. Καὶ ἐν ὅσῳ ἔζη ὁ ἅγιος τοῦ Θεοῦ δὲν ἔμενεν ἐν μέσῳ ἡμῶν. Νῦν ποῖα δάκρυα νὰ χύσωμεν, ποίαν ὀδύνην νὰ κλαύσωμεν ἢ νὰ ψάλωμεν ἡμεῖς, οἱ ὁποῖοι ἐστερήθημεν ἐκείνου τοῦ θαυματουργοῦ ἁγίου καὶ ἀπὸ τὴν μεγάλην ἐκείνην ὀργὴν ἔχομεν περικυκλωθῆ; Καὶ νῦν, ἐπειδὴ ἀδυνατοῦμεν νὰ εὕρωμεν φάρμακον, δι' αὐτὸ λοιπὸν καταφεύγομεν εἰς σᾶς, οἱ ὁποῖοι ὀφείλετε νὰ διατηρῆτε τὴν εἰκόνα ἐκείνου, ἅγιοι ἐκείνου μαθηταί, καὶ οἱ ὁποῖοι ὀφείλετε νὰ ἀνασχηματίσητε ἐντὸς ὑμῶν τὴν εἰκόνα καὶ τὴν διδασκαλίαν ἐκείνου. Νῦν δὲ πρέπει νὰ χωρίζηται ὁ μαθητὴς ἀπὸ τοῦ τρόπου τῆς ζωῆς τῶν μεγαλυτέρων καὶ διάδοχος νὰ εἶναι ἐκείνου, ὁ ὁποῖος ἐπαίδευσεν αὐτόν, ἀλλὰ δι' αὐστηρᾶς καὶ συνεχοῦς ἀσκήσεως τὴν εἰκόνα τοῦ διδασκάλου πάντοτε αὐστηρῶς καὶ ἐπιμελῶς νὰ διαμορφώνῃ ἐντὸς αὐτοῦ. Ὑμεῖς ὅμως, οἱ ὁποῖοι παρεμείνατε ἐπὶ καιρὸν μετὰ τοῦ ἁγίου οἰκοῦντες καὶ παραμένοντες πλησίον τοῦ μάρτυρος Θεοῦ, τὸν λόγον καὶ τὴν ἁγιωσύνην καὶ τὴν ἀσκητικὴν διαγωγὴν ἐκείνου κρατεῖτε, κατ' οὐδένα τρόπον νῦν ἐπιλήσμονες νὰ γίνεσθε· διὰ τοῦτο τοῦ ἑνὸς ἀπελθόντος ἐκ μέσου ἡμῶν καὶ ἀνελθόντος (εἰς τοὺς οὐρανούς), ἐφ' ὅσον παρ' ἡμῖν ὑπάρχουν πολλοί, συμφέρει ὅπως ἡμεῖς τὴν δύναμιν τοῦ ἑνὸς ἐκείνου ἀνεύρωμεν εἰς τοὺς μεταξὺ ἡμῶν πολλούς.

Ἐγὼ λοιπὸν προσεύχομαι ὅπως, ἐφ' ὅσον εἶσθε πολλοὶ καὶ ἔχετε μεγάλην δύναμιν ἐν ὑμῖν, —ἐπειδὴ καθεὶς ἐξ ὑμῶν ἦτο Ἀντώνιος καὶ ἐπειδὴ πολὺ ἐργάζεσθε καὶ σφόδρα πολλοὶ εἶσθε—, αἱ ἀρεταὶ πολλῶν Ἀντωνίων ἀναπτυχθοῦν ἐντὸς ὑμῶν, ὥστε μείζονα ἀναγέννησιν πολλαπλῶς ἐργαζόμενοι, νὰ τελειοποιηθοῦν (αὗται). Καὶ ἐπειδὴ εἶναι δύσκολον ὑμεῖς, ἐκεῖνον μιμούμενοι, τὴν δύναμιν αὐτοῦ νὰ ἀποκτήσητε, ὅμως, ἐπειδὴ εἶσθε πολλοί, νὰ δείξητε τὴν δύναμιν ἑνὸς καὶ ὅ,τι ἐκεῖνος μόνος ἔπραττεν, νὰ πράξωμεν ἡμεῖς οἱ πολλοὶ καὶ ὅ,τι ἐκεῖνος μόνος εἰργάζετο, νὰ ἐργασθῶμεν ἡμεῖς. Ὅπως ἐκεῖνος διὰ τῶν ἁγίων προσευχῶν του εἰρήνευε τὸν Θεόν, τώρα αὐτὸ καὶ ἡμεῖς θὰ πράξωμεν διὰ τῶν ἔργων τῶν ἀγαθῶν· καὶ διὰ τῆς ἁγιότητος τῶν ψυχῶν σας εἰρηνεύσατε τὸν Θεόν. Καὶ πιστεύω ὅτι πᾶσα ἡ ὀργὴ θὰ ἀπομακρυνθῇ ἀφ' ἡμῶν, ἐφ' ὅσον ἡ ἐκκλησία θὰ λάβῃ ὀλίγην ἀνάπαυσιν. Καὶ νῦν, ἀγαπητοί μου, γράφω εἰς ὑμᾶς διότι αἱ ἐκκλησίαι ᾐχμαλωτίσθησαν, αἱ βλασφημίαι τὰς ἀγορὰς τῶν πλατειῶν ἡμῶν ἐπλήρωσαν καὶ ἅπαντα τὰ ἀνομήματα καὶ αἱ κακίαι εἰς τὴν ἡμετέραν πόλιν ἐξηπλώθησαν καὶ ἡ ἀσέβεια ἔχει κυριεύσει τὰς ψυχὰς ἡμῶν. Αἱ πλάναι τῶν Ἀρειανῶν πληροῦν τὰς διανοίας ἡμῶν. Δὲν ὑπάρχει τρόπος νὰ μεταστραφοῦν καὶ δάκρυα καταλείπουν. Διότι ὁ ναὸς τοῦ Θεοῦ δὲν ἔχει τοὺς ὑπηρέτας του καὶ αἱ Ἐκκλησίαι αὐτοῦ ἐστερήθησαν τοῦ πλήθους τῶν πιστῶν. Νῦν δ' οἱ τόποι παραμένουν ἠρημωμένοι, ἀφοῦ δὲν εἰσέρχονται

τὴν ἀλλαγὴν τοῦ τόπου, διαμένει δὲ εἰς τὴν ἔρημον προσευχόμενος. Αἱ Ἐκκλησίαι ἔχουν περιπέσει εἰς βαθὺν θρῆνον, βοοῦν δὲ οἱ τοῖχοι αὐτῶν. Φοβοῦμαι δὲ νὰ εἴπω τὸ τῆς Γραφῆς· «Ὁδοὶ Σιὼν πενθοῦσι παρὰ τὸ μὴ εἶναι ἐρχομένους ἐν ἑορτῇ»[1].

Ταῦτα γράφω, ἠγαπημένοι, ὥστε ταῦτα ἀκούοντες καὶ ὑμεῖς νὰ ἀπευθύνητε τὰς προσευχάς σας πρὸς τὸν Θεόν. Διότι πιστεύω ὅτι ὁ Θεός, ὁ ὁποῖος εἶναι φιλεύσπλαχνος καὶ συγκινεῖται διὰ τὰ ἁμαρτήματα τῶν ἀνθρώπων, διὰ τῶν προσευχῶν σας, ἅγιοι Πατέρες, θὰ ἐλεήσῃ τοὺς ἁμαρτωλούς.

1. Θρ. Ἱερ. 1,4.

λαοί, καὶ εἰς τὴν θέσιν τῆς ἁγίας ἐκκλησίας ἡτοιμάσθησαν ἐρημίαι διὰ συναθροίσεις (τῶν πιστῶν). Ἡ νόσος αὕτη ἐθεραπεύθη διὰ τῆς μεταφορᾶς τῶν τόπων καὶ εἰς τὴν ἔρημον κατοικοῦν (οἱ πιστοὶ) καὶ ἐκεῖ τὰς προσευχὰς αὐτῶν προσφέρουν εἰς τὸν Θεόν. Αἱ ἐκκλησίαι δακρύουν καὶ τοσούτους ἀλαλαγμοὺς ἐκπέμπουν οἱ τοῖχοι αὐτῶν καὶ οἱ ἱεροὶ τόποι παραμένουν ἄνευ τιμῆς καὶ πληροῦνται δακρύων. Ἡμεῖς δὲ θλιβόμεθα λέγοντες τὸ τῆς Γραφῆς· «Ὁδοὶ Σιὼν πενθοῦσι παρὰ τὸ μὴ εἶναι ἐρχομένους ἐν ἑορτῇ»[1].

Καὶ νῦν γράφω εἰς ὑμᾶς, ὥστε τοῦτο ἀκούοντες νὰ καταφύγητε εἰς τὸν Θεὸν καὶ νὰ προσεύχησθε. Καὶ πιστεύομεν ὅτι ὁ Θεὸς θὰ ἐξευμενισθῇ καὶ συγκινούμενος διὰ τὰς ἁμαρτίας ἡμῶν, λίαν συντόμως θὰ δώσῃ τὴν ἄφεσιν, ἐπειδὴ ἡμεῖς οἱ ὁποῖοι ὡς ἁμαρτωλοὶ προκαλοῦμεν τὴν καταδίκην ἡμῶν, θὰ ἔχωμεν λάβει τὰς εὐχὰς τοῦ ἁγίου ἐκείνου.

1. Θρ. Ἱερ. 1,4.

ΑΠΟΣΠΑΣΜΑΤΑ

Τοῦ ἁγίου Σεραπίωνος ἐκ τῆς κγ' ἐπιστολῆς*.

Οὐδέποτε αἵρεσις τὴν ἐκκλησίαν ἐνίκησεν, ἀλλ' ἀεὶ μαίνεται, καὶ κατ' ὀλίγον προελθοῦσα, εὐθέως λύεται.

Τοῦ ἁγίου Σεραπίωνος ἐκ τῆς κατὰ Μανιχαίων πραγματείας**.

Φήσομεν οὖν ἡμεῖς οὐκ ἀργοὺς εἶναι τοὺς ἀποστόλους τοῦ Θεοῦ, ἀλλὰ ποιήματα καὶ πλάσματα· οὐ γὰρ ἀπὸ ρίζης καρποὶ προσηνέχθησαν, ἀλλ' ὡς ἀπὸ κτίστου καὶ ποιητοῦ κτίσματα καὶ ποιήματα, καὶ γεγένηνται ὑπὸ τοῦ πεποιηκότος· γενητοὶ γὰρ ἐκ τοῦ γενητοῦ, ποτὲ οὐκ ὄντες, ὕστερον δὲ πεποιημένοι.

* Κατὰ τὴν ἔκδοσιν J. - B. Pitra, Analecta sacra τόμ. 2, Paris 1884, Proleg. σελ. XL. Πρβλ. Analecta sacra et classica τόμ. 1, Paris 1888, σελ. 47.

** Κατὰ τὴν ἔκδοσιν J. - B. Pitra, Analecta sacra et classica τόμ. 1, Paris 1888, σελ. 48. Πρβλ. Analecta sacra τόμ. 2, Paris 1884, Proleg. σελ. XL.

ΑΜΦΙΒΑΛΛΟΜΕΝΑ*

Περικοπαὶ ἀπὸ τὸ «Περὶ Παρθενίας» κεφάλαιον Σεραπίωνος, Ἐπισκόπου Θεμιολέων

Οὐδεμία γυνὴ ἔρχεται εἰς συνάφειαν ἀνδρὸς παρὰ διὰ νὰ συλλάβῃ τέκνον, τὸ δὲ τεχθὲν ἔχει ἀνάγκην θηλασμοῦ καὶ προστασίας παρὰ τῆς μητρὸς αὐτοῦ, τὴν ὁποίαν ὁ τοκετὸς δὲν καθιστᾷ ἀνωφελῆ, ἐφ' ὅσον ἡ τροφή του δὲν ἔχει ἀπαλλαγῇ ἀπὸ κάθε κίνδυνον. Ἡ Παρθενία ὅμως ἀνέδειξε τὴν Μαρίαν—ἥτις συνάφειαν ἀνδρὸς δὲν ἐγνώρισε— μητέρα τοῦ Θεοῦ, ἐφ' ὅσον αὕτη ἔτεκε κατὰ νέον καὶ παρὰ τὸν συνήθη τῶν γυναικῶν τρόπον, ἀνατραπέντων τῶν ἐξ ἀρχῆς τῶν γενεῶν νόμων, ὅταν ἐγεννήθη ὁ Θεὸς καὶ ἐκείνη, ἡ ὁποία ἐγέννησε παρέμεινε παρθένος.

Νομίζω δέ, ὅτι τὸ γεγονὸς πρέπει νὰ πιστευθῇ, ὅτι ἡ Παρθένος κατέστη μήτηρ, τοῦθ' ὅπερ ἀποδεικνύεται διὰ μαρτυρίας μείζονος καὶ κατ' ἐξαίρεσιν. Ὁ γεννηθεὶς εἶναι Θεὸς καὶ διὰ τῆς Παρθένου ἐνηνθρώπησε καὶ ἐν ὅσῳ εἶναι μικρὸς αὐτὴν ὡς μητέρα ὀνομάζει καὶ μαρτυρεῖ.

Οὕτως ὁ Θεὸς τιμᾷ καὶ μακαρίζει τὸν ἄνδρα καὶ τὴν γυναῖκα, οἵτινες δὲν ἦλθον εἰς τὴν τοῦ γάμου ἕνωσιν καὶ δωρίζει αὐτοῖς τὰς ἐν οὐρανῷ ὑψίστας τιμάς.

Τοῦ αὐτοῦ

Ἐκ τῆς πρὸς τοὺς ὁμολογητὰς ἐπισκόπους ἐπιστολῆς.

Ἤδη ἐθριαμβεύσατε ὑποφέροντες μετὰ τοῦ Σωτῆρος, μετέχοντες τῶν πειρασμῶν αὐτοῦ, πιστεύσαντες ὅτι εἶναι Υἱὸς τοῦ Θεοῦ ὅμοιος πρὸς τὸν Πατέρα, πάντοτε μετὰ τοῦ Πατρὸς μένων, αἰτία ὑπάρχων ὁρατῶν τε καὶ ἀοράτων, κατὰ τὸ πλήρωμα τοῦ χρόνου ἐνανθρωπήσας καὶ σταυρωθεὶς ὑπὲρ πασῶν τῶν γενεῶν.

Τοῦ αὐτοῦ

Ὁ παθὼν Θεὸς (εἶναι) καὶ Υἱὸς τοῦ Θεοῦ, ὅστις ἐν τῇ κοιλίᾳ τῆς Παρθένου διαμείνας καὶ σαρκωθείς, ἐνεδύθη τὴν ἡμετέραν ἀδυναμίαν, ἵνα φθάσωμεν εἰς ἐκεῖνα, τὰ ὁποῖα κατὰ δύναμιν εἶναι δυνατὸν νὰ ἐπιτευχθοῦν.

---

* Μετάφρασις εἰς τὴν νέαν ἑλληνικὴν τοῦ εἰς τὴν συριακὴν διασωθέντος κειμένου τῶν ἀποσπασμάτων κατὰ τὴν ἔκδοσιν J. - B. Pitra, Analecta sacra τόμ. 4, Paris 1883, σελ. 214-215.

ΔΙΔΥΜΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

ΔΙΔΥΜΟΣ Ο ΑΛΕΞΑΝΔΡΕΥΣ

(† ca. 398)

I. Βίος. (Πηγαὶ καὶ κριτικὴ αὐτῶν).

1) Λιβάνιος. Ὅτι ἡ ἐπιστολὴ τοῦ Λιβανίου πρὸς τὸν δοῦκα καὶ κόμητα Σεβαστιανὸν (O. Seeck, Die Briefe des Libanius zeitlich geordnet. Leipzig 1906 TU, NF 15, 251), δι' ἧς συνίστα τὸν μαθητήν του Ῥητόριον, υἱὸν τοῦ γραμματικοῦ Διδύμου, ἤγειρε πολλὰς ἀμφισβητήσεις, ἀπὸ τοῦ Mingarelli (παρὰ Migne, PG 39, 154D-158C καὶ 1028D-1029B) μέχρι καὶ τοῦ Krüger (Didumus der Blinde von Alexandrien, RE 4, 638) ὀφείλεται εἰς τὸ ἐρώτημα ἂν ὁ Δίδυμος ἦτο ἔγγαμος ἢ οὔ. Ἡ ἐπιστολὴ ἐπεστάλη τὸ 357. (Edeltraut Staimer, Die Schrift «De Spiritu Sancto» von Didymus dem Blinden von Alexandrien. Eine Untersuchung zur altchristlichen Literatur und Dogmengeschichte. München 1960 σ. 161 ἑ. Δακτυλογραφημένη διατριβὴ ἐπὶ διδακτορίᾳ). Ὁ Ῥητόριος μεταβαίνει εἰς Αἴγυπτον «ὅπως οὗτος ἐγκρατὴς γένοιτο τῶν κτημάτων» τοῦ πατρός του Διδύμου. Ἐπιλέγει δ' ὁ Λιβάνιος «μικρὰ μὲν γὰρ ταῦτα, πένητι δὲ παραμυθία, Ῥητόριος δὲ τῶν οὐκ εὐπόρων». Καὶ ὅτι μὲν ὁ «υἱὸς» θὰ ἠδύνατο καὶ ἐν πνευματικῇ ἐννοίᾳ νὰ ἐκληφθῇ, εἴκασαν οἱ ἀρνούμενοι νὰ δεχθῶσι τὸν Δίδυμον ἔγγαμον καὶ δὴ καὶ μετὰ τέκνων (Leipoldt, σ. 6, σημ. 3 καὶ Bardy, σ. 7. Πρβλ. Staimer, σ. 162). Ἀλλὰ τὸ ἰσχυρότερον ἐπιχείρημα τῶν ἀρνουμένων τὸν ἔγγαμον βίον εἰς τὸν ἡμέτερον Δίδυμον εἶναι τὸ ὅτι ὁ Ῥητόριος μετέβη εἰς Αἴγυπτον τὸ 357, ὅπως αἰτήσηται κληρονομικῷ δικαίῳ τὰ κτήματα τοῦ ἀποβιώσαντος ἀσφαλῶς πατρός του. Ἀλλὰ μὴν ὁ ἡμέτερος Δίδυμος ἀπεβίωσε τὸ 398 καὶ ἐπομένως πρέπει νὰ δεχθῶμεν ὅτι δὲν πρόκειται περὶ αὐτοῦ, ἀλλὰ περὶ Διδύμου τοῦ γραμματικοῦ (περὶ 13 ἑτέρων Διδύμων, ὅρα Pauly-Wissowa-Krolls, RE, 5,444-475).

2) Ὁ Ἱερώνυμος ἀναφέρει, ὅτι τὸ ἔτος 392, καθ' ὃ συνέταξε τὸ περίφημον ἔργον του De viris illustribus, ὁ Δίδυμος ἦτο 83 ἐτῶν· «Περίεστιν ἄχρι τοῦδε, καὶ ὀγδοηκοστὸν τρίτον ἐπλήρωσεν ἐνιαυτόν». Σημειωτέον ὅτι ἄλλα χφφ. ἀναφέρουν τὸν ἀριθμὸν 80, 84 καὶ 87. Αἱ χρονολογίαι τῆς τε γεννήσεως καὶ τοῦ θανάτου αὐτοῦ ἀμφισβητοῦνται. Ὁ Παλλάδιος ἀναφέρει· «οὗ - δηλ. τοῦ Διδύμου - καὶ συντυχίας ἔσχηκα τέσσαρας, ἐκ δια-

λειμμάτων ἀπερχόμενος πρὸς αὐτόν, ἐπὶ δέκα ἔτη. Τελειοῦται δὲ οὗτος ἐτῶν ὀγδοήκοντα πέντε» (ἔνθ' ἀν.) Ὁ Παλλάδιος ἦλθε τὸ πρῶτον εἰς Αἴγυπτον τὸ 388, κατὰ τὸν Butler (The Lausiaca history of Palladius 1, Texts and studies 6,1. Cambridge 1898 σσ. 180-2). Προστιθεμένων τῶν δέκα ἐτῶν τῆς συντυχίας του ἐκ διαλειμμάτων μετὰ τοῦ Διδύμου συνάγεται τὸ 398, ὡς ἔτος τοῦ θανάτου τοῦ Διδύμου καὶ ὡς ἔτος γεννήσεως αὐτοῦ τὸ 313, ἐφ' ὅσον 85 ἔτη ἔζησε, κατὰ τὸν Παλλάδιον. Μόνον ἂν δεχθῶμεν τὸ ὑπὸ τοῦ Ἱερωνύμου μνημονευόμενον ἔτος 80, ὅτε συνέταξε τὸ ἔργον του De vir. ill. ὡς ἀκριβέστερον τοῦ ἐν ἄλλοις χφφ. ἀναφερομένου ἔτους 83, δύνανται νὰ συμπέσουν αἱ χρονολογίαι μετὰ τῶν ὑπὸ τοῦ Παλλαδίου ἀναφερομένων. Ὅτι ὁ Δίδυμος ἐτυφλώθη εἰς παιδικὴν ἡλικίαν, βεβαιοῦσι πάντες οἱ ἱστορικοί. Ἀλλ' ὁ μὲν Παλλάδιος ἀναφέρει ὅτι «τετραέτης» ἐτυφλώθη, ὁ δὲ Ἱερώνυμος εἰς τὴν ἐλευθέραν μετάφρασιν τῶν «Χρονικῶν» τοῦ Εὐσεβίου ἀναφέρει ὅτι «πενταέτης» ἔπαθε τοῦτο ὁ Δίδυμος (Hieron. Chronicon, ad annum Dom. 372, CSEG (Βερολινίου Ἀκαδημίας) 47,246,13), ὅπερ καὶ πιθανώτερον.

3) Ἰσίδωρος ὁ Πηλουσιώτης. Οὗτος ἐπεστείλατο πλείονας ἐπιστολὰς τῷ Διδύμῳ (Migne, PG 78, I 199, 201, 204, 205, 281, 330, 331. II 181, 182. IV 20, 152 καὶ V 28, 167, 206, 207, 433, 534. Τῶν ἐπιστολῶν ἄλλαι μὲν ἀπευθύνονται «Διδύμῳ» ἄνευ τίτλου τινός, ἄλλαι δὲ «Διδύμῳ πρεσβυτέρῳ» καὶ τέλος ἄλλαι «Διδύμῳ σχολαστικῷ». Τὸ περιεχόμενον δὲν ὑποβοηθεῖ νὰ γνωρίσωμεν ἂν πρόκειται περὶ τοῦ ἡμετέρου Διδύμου. Μία ἐξ αὐτῶν φέρει τὴν ἐπιγραφήν· «Διδύμῳ Σχολαστικῷ». Ἡ ἐπιστολὴ αὕτη καθ' ἡμᾶς δὲν ἀναφέρεται εἰς τὸν ἡμέτερον Δίδυμον, ἀλλ' εἰς ἕτερον ὁμώνυμον αὐτῷ. Ὁ Ἰσίδωρος συνιστᾷ τῷ Διδύμῳ νὰ προσπαθήσῃ νὰ συμφιλιώσῃ τοὺς διισταμένους πρὸς ἀλλήλους δύο υἱούς του. Ἰδοὺ καὶ τὸ κείμενον· «Τὸν πρεσβύτατόν σου τῶν παίδων πρὸς τὸν νεώτατον διαφέρεσθαί τινες φασι, καὶ σὲ μὲν εἰδέναι, περιποιεῖσθαι δὲ μὴ εἰδέναι. Θᾶττον τοίνυν ἀποθέμενος τὴν ἑκούσιον ἄγνοιαν, πειράθητι αὐτοὺς εἰς φιλίαν συναλλάξαι, μή ποτέ τι ἀνήκεστον τεχθείη κακόν· οὐ γάρ τι χρηστὸν ἡ φιλονεικία ὠδίνει· ἵν' ὥσπερ τοῦ εἶναι μετὰ τὴν Πρόνοιαν αὐτοῖς κατέστης αἴτιος, οὕτω καὶ τοῦ εὖ εἶναι κατασταίης». Ἀνωτέρω ἐξηγήσαμεν διατί ὁ Δίδυμος δὲν ἦτο ἔγγαμος. Ἑπομένως καὶ ἡ ἐν λόγῳ ἐπιστολὴ τοῦ Ἰσιδώρου θεωρηθήτω, ὡς ἀπευθυνομένη, οὐχὶ εἰς τὸν ἡμέτερον, ἀλλ' εἰς ἕτερον Δίδυμον.

4) Φίλιππος Σιδίτης. Οὗτος συνέταξε «Χριστιανικὴν Ἱστορίαν» ἐκ 36 βιβλίων, ἐξ ἧς ὀλίγα ἀποσπάσματα διεσώθησαν, (Κρίσις Φωτίου Βιβλ. κῶδ. 35· ἐκδόσ. C. de Boor, TU 5, 2, 1888, 165-184. E. Bratke, TU 19, 3, 1899, 153 ἑ. He-

seler, Byzantion 10, 1935, 440. Honigmann, 1953, 82-91). Δέχονταί τινες ὅτι ἡ Ἱστορία αὕτη ἤρχετο ἀπὸ δημιουργίας τοῦ κόσμου καὶ ἐξικνεῖτο μέχρι τοῦ ἔτους 426. Ἄλλοι δέχονται ὅτι τὸ ἔργον συνετάγη μεταξὺ τῶν ἐτῶν 434 καὶ 439 (Altaner, Patrologie. Freiburg 1963[6] σ. 214). Ἀλλὰ μὴν διασωθὲν ἀπόσπασμα ἐν κώδ. Baroccianus 142 τῆς ἐν Ὀξφόρδῃ Βιβλιοθήκης ἐκδοθὲν καὶ ἐν Migne, PG 39,229, ὑπ' ἀγνώστου προφανῶς συνταχθέν, ἀναφέρει τὰ λίαν ἐνδιαφέροντα ταῦτα· «Καί φησι Φίλιππος ὁ Σιδίτης ἐν λόγῳ κδ'· Τοῦ διδασκαλείου τοῦ ἐν Ἀλεξανδρείᾳ Ἀθηναγόρας πρῶτος ἡγήσατο.... (Πάνταινος, Κλήμης). Τέταρτος προέστη τῆς χριστιανικῆς διατριβῆς, Ὠριγένης· μετὰ Ὠριγένην Ἡρακλᾶς· μετὰ τοῦτον Διονύσιος· μετὰ τοῦτον Πιέριος· μετὰ Πιέριον Θεόγνωστος· μετὰ τοῦτον Σεραπίων· μετὰ τοῦτον Πέτρος ὁ μέγας ἐπίσκοπος, μάρτυς γενόμενος· μετὰ Πέτρον Μακάριος, ὃν Πολιτικὸν ἐκάλουν οἱ ἐπιχώριοι· μετὰ τοῦτον Δίδυμος· μετὰ Δίδυμον Ῥόδων, ὅς καὶ μετήγαγε κατὰ Φίλιππον τὴν διατριβὴν ἐν τῇ αὐτῇ (γρ. αὐτοῦ) πόλει τῇ Σίδῃ κατὰ τοὺς χρόνους τοῦ μεγάλου Θεοδοσίου· τούτῳ τῷ Ῥόδωνι λέγει μαθητεῦσαι ὁ Φίλιππος».

Τὸ ἐν λόγῳ ἀπόσπασμα εἶναι σπουδαῖον. Πρῶτον, διότι ὡς πρῶτον διδάσκαλον τῆς Κατηχητικῆς Σχολῆς Ἀλεξανδρείας ἀναφέρει τὸν Ἀθηναγόραν· δεύτερον, διότι δίδει ὅλην τὴν σειρὰν τῶν προσώπων, ἅτινα ἀνεδείχθησαν διευθυνταὶ τῆς ἐν λόγῳ Σχολῆς· τρίτον, διότι ἀναφέρει τὸν ἡμέτερον Δίδυμον, ὡς διαδεχθέντα τὸν Μακάριον τὸν Ἀλεξανδρέα ἢ «Πολιτικόν»· τέταρτον, διότι οὕτω πως παρέχει ἀσφαλῆ ἔνδειξιν τοῦ χρόνου, καθ' ὃν ὁ Δίδυμος ἀνέλαβε τὴν διεύθυνσιν τῆς Σχολῆς· πέμπτον, διότι ἀναφέρει τὸν Ρόδωνα, ὡς διάδοχον τοῦ Διδύμου. Μαθητὴς τοῦ Ρόδωνος ἐχρημάτισεν ὁ Φίλιππος Σιδίτης, μετὰ τὴν ὑπ' ἐκείνου μετάθεσιν τῆς Κατηχητικῆς Σχολῆς Ἀλεξανδρείας εἰς Σίδην τῆς Παμφυλίας, τὴν πατρίδα τοῦ Φιλίππου.

Εἶναι ἀληθὲς ὅτι ἡ γνησιότης τοῦ ἀποσπάσματος τούτου ἠμφισβητήθη (Bardenhewer III, 105 σημ. 5 καὶ τ. II, 13.195.203), ἀλλ' ἄνευ ἰσχυρῶν ἐπιχειρημάτων. Τοὐναντίον, νεώτεροι (ὅρα Edeltraut Staimer, μν. ἔ. σ. 163-8) δέχονται ἀξιόπιστον τὸ ἐν λόγῳ ἀπόσπασμα, ἰδίᾳ διὰ τὸν ἡμέτερον Δίδυμον. Τοποθετοῦσι δὲ τὴν ὑπ' αὐτοῦ ἀνάληψιν τῆς διευθύνσεως τῆς Κατηχητικῆς Σχολῆς Ἀλεξανδρείας εἰς τὸ ἔτος 340. Καθ' ἡμᾶς ἴσως καὶ τὸ 339 νὰ ἀνέλαβε τὴν διεύθυνσιν ὁ Δίδυμος, κληθεὶς ὑπὸ τοῦ μεγάλου Ἀθανασίου, ἢ τοὐλάχιστον ἐνωρίτατα τοῦ ἔτους 340, ἐφ' ὅσον τὸ ἔτος τοῦτο ἠναγκάσθη ὁ Μ. Ἀθανάσιος καὶ πάλιν, μετὰ τὴν κατ' αὐτοῦ ἀπόφασιν τῆς ἐν Ἀντιοχείᾳ συνόδου τοῦ 339, νὰ καταφύγῃ εἰς τὴν αὐλὴν τοῦ Ρωμαίου Ποντίφηκος Ἰουλίου Α' (δευτέρα ἐξορία)

(Altaner, σ. 241. Δ. Σ. Μπαλάνου, Πατρολογία. Ἀθῆναι 1930, σ. 235 ἑ. καὶ ΒΕΠ, τ. 30, σ. 15 ἑ.ἑ.). Ὁ Mingarelli (Migne, PG 39, 229) θεωρεῖ τὸ ἔτος 335, ὁ δὲ Guerike (Leipoldt σ. 6, σημ. 2) τὸ ἔτος 340 ὅτι ὁ Δίδυμος ἀνέλαβε τὴν διεύθυνσιν τῆς Σχολῆς. Ἄλλοι πάλιν νεώτεροι συγγραφεῖς διαφόρως ἀποφαίνονται. Ὁ Ehrhard, (Die griechische und die lateinische Kirche, Rom 1937, σ. 90) δέχεται τὰ μέσα τοῦ 340, ὁ Weigl, (Christologie vom Tode des Athanasius bis Ausbruch des Nestorianischen Streites, Kempten 1925) δέχεται τὸ 340, ὁ Zoepfl (Didymus der Blinde, ἐν Lexikon für Theologie une Kirche τ. III, 305) μετά τινος ἀμφιβολίας προτείνει τὸ 340, τέλος τὸ Dictionnaire de Theologie Catholique παραλείπει ν' ἀναφέρῃ τὸ ἔτος τῆς ὑπὸ τοῦ Διδύμου ἀναλήψεως τῆς διευθύνσεως τῆς Κατηχητ. Σχολῆς. Ὁ Krüger (Realencyklop. f. prot. Theologie u. Kirche IV, 638/9) δέχεται ὅτι ὁ Δίδυμος ἔδρασεν ἐν τῇ Σχολῇ «ὑπὲρ τὰ 50 ἔτη», δεχόμενος δ' ὅτι ἀπέθανε τὸ 394 (395) ἀφίνει νὰ ἐννοηθῇ, ὅτι περὶ τὸ 344/5 ἀνέλαβε τὴν διεύθυνσιν τῆς Σχολῆς. Πάντα ταῦτα πάντως εἶναι εἰκασίαι, μηδαμόθεν ἐπιβεβαιούμεναι. Τὴν κλεῖδα τῆς χρονολογικῆς τοποθετήσεως τῆς ὑπὸ τοῦ Διδύμου ἀναλήψεως τῆς διευθύνσεως τῆς Σχολῆς τῆς Ἀλεξανδρείας, δίδει ἡ παρ' αὐτῷ ἐπίσκεψις τοῦ Μ. Ἀντωνίου, ὡς διηγεῖται ταύτην ὁ Παλλάδιος, περὶ οὗ εὐθὺς ἀμέσως ὁ λόγος.

5) Παλλάδιος Ἑλενοπόλεως († πρὸ τοῦ 431). (Migne, PG 34, 1012/17) ἐν τῇ «Πρὸς Λαῦσον Ἱστορίᾳ» του, λέγει· «Πλεῖστον μὲν οὖν σύστημα χοροῦ ἁγίου ἀνδρῶν τε καὶ γυναικῶν ἐτελειώθησαν τότε ἐν τῇ Ἀλεξανδρέων Ἐκκλησίᾳ, ἄξιοι εὑρεθέντες τῆς γῆς τῶν πραέων. Ἐν οἷς τελειοῦται καὶ ὁ μακάριος Δίδυμος ὁ συγγραφεύς, ὁ ἀπὸ ὀμμάτων τυφλὸς γενόμενος· οὗ καὶ συντυχίας ἔσχηκα τέσσαρας, ἐκ διαλειμμάτων ἀπερχόμενος πρὸς αὐτόν, ἐπὶ δέκα ἔτη. Τελειοῦται δὲ οὗτος, ἐτῶν ὀγδοήκοντα πέντε. Οὗτος ἀπ' ὀμμάτων ὑπῆρχεν, ὡς αὐτός μοι διηγήσατο, τετραέτης τὰς ὄψεις ἀποβαλών, μήτε γράμματα μεμαθηκώς, μήτε παρὰ διδασκάλοις φοιτήσας (εἶχε γὰρ τὸν κατὰ φύσιν διδάσκαλον ἐρρωμένον· τὸ ἴδιον συνειδός)· ὃς τοσαύτῃ χάριτι ἐκεκόσμητο γνώσεως πνευματικῆς, ὡς καθ' ἱστορίαν πληροῦσθαι τὸ γεγραμμένον· «Κύριος σοφοῖ τυφλούς». Παλαιὰν μὲν γὰρ καὶ Καινὴν Γραφὴν ἡρμήνευσε κατὰ λέξιν. Τῶν δὲ δογμάτων οὕτως ἐπεμελήθη λεπτῶς καὶ πάνυ ἰσχυρῶς ἐκθέμενος τὸν περὶ αὐτῶν λόγον, ὡς πάντας ὑπερβεβηκέναι τοὺς ἀρχαίους ἐν γνώσει. Τούτου ποτὲ ἀναγκάζοντός με ποιῆσαι εὐχὴν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ μὴ βουλομένου μου, ἔλεγέ μοι διηγούμενος, ὅτι «Εἰς τὴν κέλλαν ταύτην τρίτον εἰσῆλθεν ὁ μακάριος Ἀντώνιος ἐπισκεψόμενός με, καὶ παρακληθεὶς παρ' ἐμοῦ ποιῆσαι εὐχήν, εὐθὺς ἔκλινε γόνυ ἐν τούτῳ τῷ κελλίῳ, καὶ οὐ παρεσκεύασέ με

δευτερῶσαι τὸν λόγον, ἔργῳ με παιδεύσας, ἐν τῇ ὑπακοῇ. Ὥστε οὖν, εἰ κατ' ἴχνος βαίνεις καὶ σὺ τῆς ἐκείνου πολιτείας, ὅσα τε μονάζων, καὶ δι' ἀρετὴν ξενιτεύων, ἀπόθου πᾶσαν φιλονεικίαν». Ὁ αὐτὸς διηγήσατό μοι καὶ τοῦτο, ὅτι «Ἐν μιᾷ τῶν ἡμερῶν φροντίζοντός μου περὶ τῆς ζωῆς Ἰουλιανοῦ τοῦ ἀθλίου βασιλέως, ὡς διώκτου, καὶ ἀδημονοῦντός μου, ἔτυχέ ποτε ἄχρις ἑσπέρας βαθείας μηδενὸς γεύσασθαί με, ἕνεκεν ταύτης τῆς φροντίδος καὶ καθεζομένου μου ἐν τῷ θρόνῳ, κατενεχθῆναι ὕπνῳ καὶ ἰδεῖν ἐν ἐκστάσει ἵππους λευκοὺς διατρέχοντας μετὰ τῶν ἐπιβατῶν καὶ κηρύττοντας· «Εἴπατε Διδύμῳ· σήμερον ἑβδόμην ὥραν ἐτελεύτησεν Ἰουλιανός. Ἀναστὰς οὖν φάγε καὶ σύ, καὶ γνῶσιν ἀπόστειλον τῷ ἐπισκόπῳ Ἀθανασίῳ ἐν τῇ οἰκίᾳ, ἵνα κἀκεῖνος γνῷ περὶ τούτου». Καὶ ἐσημειωσάμην, φησί, καὶ τὴν ὥραν καὶ τὴν ἡμέραν καὶ τὴν ἑβδομάδα καὶ τὸν μῆνα· καὶ εὕρηται οὕτως».

Παρατηρητέα ἡ ὑπὸ τοῦ Παλλαδίου μνημονευομένη δήλωσις αὐτοῦ τοῦ Διδύμου, ὅτι ὁ Μ. Ἀντώνιος «τρὶς» ἐπεσκέφθη τοῦτον. Ἀλλὰ πότε; Ἐν τῇ Εἰσαγωγῇ τοῦ «Βίου τοῦ Μ. Ἀντωνίου» (ΒΕΠ 40,20 § 8 καὶ ἐν Ἀνατύπῳ σ. 18 ἑ.) ἐσημειώσαμεν καὶ ταῦτα· «Κατὰ τὸν ἐπὶ Μαξιμίνου (307-13) διωγμὸν ἐν ἔτει 311 ὁ Μ. Ἀντώνιος ἦλθεν εἰς Ἀλεξάνδρειαν τῇ συνοδείᾳ καὶ ἑτέρων μοναχῶν». Καὶ ἐν § 10 σημειοῦμεν· «Περὶ δὲ τὸ ἔτος 338, παρακληθεὶς παρά τε τῶν ἐπισκόπων καὶ τῶν ἀδελφῶν πάντων, κατῆλθεν ἀπὸ τοῦ ὄρους· καὶ εἰσελθὼν εἰς τὴν Ἀλεξάνδρειαν, τοὺς Ἀρειανοὺς ἀπεκήρυξεν, αἵρεσιν ἐσχάτην λέγων εἶναι ταύτην, καὶ πρόδρομον τοῦ Ἀντιχρίστου», καθὰ λέγει ὁ Μ. Ἀθανάσιος. Καὶ προστίθεμεν· Ὁ Μ. Ἀθανάσιος φαίνεται ὑπαινισσόμενος πλείονας ἐπισκέψεις τοῦ Μ. Ἀντωνίου εἰς Ἀλεξάνδρειαν ἐν τῷ ἐν συνεχείᾳ κ. 71. Μάλιστα ἐν πληθυντικῷ ὁμιλῶν, ἐμφανίζει καὶ ἑαυτὸν μετὰ τῶν τιμώντων καὶ προπεμπόντων αὐτὸν κατὰ τὴν ἐπιστροφήν του εἰς τὴν ἔρημον, ἐν οἷς λέγει· «Ὅτε δὲ ἀπεδήμει, καὶ προεπέμπομεν αὐτόν». Προφανῶς ὁ Μ. Ἀντώνιος θὰ ἐπεσκέφθη τὸν Δίδυμον κατὰ τὸ ἔτος 338, ἤτοι ἐπὶ αὐτοκράτορος Κωνσταντίου (337-61) ὡς ἄλλωστε βεβαιοῖ τὸ «Συριακὸν Χρονικὸν» (Ἰούλιος 338. Ὅρα Le Bachelet, DThC 1,2146 (λ. Athanase). Πλείονας γνώμας περὶ τοῦ χρόνου τῆς ἐλεύσεως τοῦ Μ. Ἀντωνίου εἰς Ἀλεξάνδρειαν, ὅρα ἐν Staimer, μν. ἔ. σ. 164). Τὸ ὅτι «τρὶς» ἐπεσκέφθη ὁ Μ. Ἀντώνιος τὸν Δίδυμον δὲν πρέπει νὰ ἑρμηνευθῇ, ὅτι τοῦτο συνέβη κατὰ τρεῖς διαφόρους ἀφίξεις τοῦ μεγάλου ἀναχωρητοῦ εἰς Ἀλεξάνδρειαν, ἀλλ' ἁπλούστατα κατὰ τὸν αὐτὸν χρόνον (338), καθ' ὃν ὁ Μ. Ἀντώνιος εὑρίσκετο ἐν Ἀλεξανδρείᾳ, ἐπεσκέφθη «τρὶς» καὶ τὸν Δίδυμον. Τοῦτο ὑπαινίσσεται τὸ ὅτι ὁ Δίδυμος κατεῖχεν ἤδη θέσιν ὑψηλὴν ἐν τῇ Ἐκκλησίᾳ τῆς Ἀλεξανδρείας καὶ ὄνομα σεβαστὸν παρὰ τοῖς χριστιανοῖς.

6) Σωκράτης ('Εκκλ. Ἱστ. IV, 25. Migne, PG 525B-528B). Ὁ ἱστορικὸς οὗτος καὶ ταῦτα περὶ Διδύμου ἀναφέρει, πιθανῶς ἐξ ἄλλης πηγῆς ἀντλῶν, πέραν τοῦ Παλλαδίου· «Λέγεται καὶ Ἀντώνιον ἤδη πρότερον κατὰ τὸν Οὐάλεντος(;) χρόνον, ὅτε διὰ τοὺς Ἀρειανοὺς ἐν τῇ Ἀλεξανδρείᾳ ἐκ τῆς ἐρήμου κατῆλθεν, ἐντυχεῖν, Διδύμῳ, καὶ μαθόντα τὴν τοῦ ἀνδρὸς σύνεσιν, εἰπεῖν πρὸς αὐτόν· «Μηδέν, ὦ Δίδυμε, ταραττέτω σε ἡ τῶν αἰσθητῶν ὀφθαλμῶν ἀποβολή· τοιοῦτοι γάρ σοι λείπουσιν ὀφθαλμοί, οἷς καὶ μυῖαι καὶ κώνωπες βλέψαι ἰσχύουσιν· χαῖρε δὲ ὅτι ἔχεις ὀφθαλμούς, οἷς καὶ ἄγγελοι βλέπουσι, δι' ὧν Θεὸς θεωρεῖται, καὶ τὸ αὐτοῦ φῶς καταλαμβάνεται». Σχετικῶς παρατηροῦμεν τὰ ἑξῆς· α') Οἱ λόγοι τοῦ Μ. Ἀντωνίου πρὸς τὸν Δίδυμον ἁρμόζουν ἄριστα καὶ πρὸς ὅσα ὁ Παλλάδιος ἀφηγεῖται καὶ οὐδεὶς ἀποχρῶν λόγος ὑπάρχει πρὸς ἀμφισβήτησιν τούτων. β') Οἱ ὡς ἄνω λόγοι ὑποδηλοῦσι τὴν πρώτην μεταξὺ τῶν δύο ἀνδρῶν συνάντησιν. γ') Ἡ συνάντησις αὕτη θὰ ἐπραγματοποιήθη ἀσφαλῶς κατὰ τὸν ὃν ἐμνημονεύσαμεν χρόνον, ἤτοι περὶ τὸν Ἰούλιον τοῦ 338. δ') Ἐὰν οὕτως ἔχῃ τὸ πρᾶγμα ὡς βεβαιοῦται καὶ ὑπὸ τοῦ Chronicum syriacum, τότε ὁ Δίδυμος θα ἦτο 25έτης τὴν ἡλικίαν, ἐφ' ὅσον ἐδέχθημεν ὅτι πρέπει νὰ ἐγεννήθη τὸ 313, κατὰ τὸν Παλλάδιον, ἐν συνδυασμῷ πρὸς τὰ ὑπὸ τοῦ Ἱερωνύμου περὶ Διδύμου λεγόμενα. ε') Ὁ Δίδυμος, καίτοι 25ετής, κατεῖχε καὶ ὄνομα καὶ θέσιν ὑψηλήν, διὰ νὰ τὸν ἐπισκέπτεται εἷς ὀνομαστὸς γέρων ἀναχωρητής, καὶ μάλιστα 87 ἐτῶν τὴν ἡλικίαν!

7) Σωζομενὸς ('Εκκλησ. Ἱστ. III, 15 παρὰ Migne, PG 67, 1084A-C). Καὶ οὗτος ἀναφέρει τὸν ἔπαινον τοῦ Μ. Ἀντωνίου πρὸς τὸν Δίδυμον, διαφέρει δὲ μόνον ἐν τῇ ἀφηγήσει κατὰ τὸν καλλωπισμὸν τῶν λέξεων, ἐκφράζων κατ' οὐσίαν τὰ αὐτὰ μετὰ τοῦ Σωκράτους. Τὰ προστιθέμενα ὑπὸ τοῦ Σωζομενοῦ, λίαν ἀξιόλογα καθ' ἑαυτά, εἶναι ταῦτα· «Ὑπὸ δὲ τοῦτον τὸν χρόνον καὶ Δίδυμος ἐκκλησιαστικὸς συγγραφεὺς διέπρεπε, προϊστάμενος ἐν Ἀλεξανδρείᾳ τοῦ ἱεροῦ Διδασκαλείου τῶν ἱερῶν μαθημάτων. Ἐν τούτῳ δὲ καὶ παντοδαπὴ σοφία ᾤκει, ποιηταί τε καὶ ῥήτορες, ἀστρονομία τε καὶ γεωμετρία καὶ ἀριθμοὶ καὶ δόξαι φιλοσόφων. Πάντων δὲ νῷ μόνῳ καὶ ἀκοῇ εἴδησιν ἐκτήσατο· νέος γὰρ ἔτι τυφλὸς ἐγένετο ἐν τῇ πρώτῃ πείρᾳ τῆς μαθήσεως τῶν στοιχείων. Ἤδη δὲ εἰς ἐφήβους τελῶν, ἐπεθύμησε λόγων καὶ παιδείας· καὶ τοῖς ταῦτα διδάσκουσι φοιτῶν, ἠκροᾶτο μόνον· καὶ ἐπὶ τοσοῦτον ἦλθε σοφίας, ὡς καὶ τῶν ἐν τοῖς μαθήμασι σκολιῶν θεωρημάτων ἐφικέσθαι. Λέγεται δὲ τοὺς χαρακτῆρας τῶν γραμμάτων, σανίδι καταχαραχθέντας εἰς βάθος, ἐκμαθεῖν, τοῖς δακτύλοις ἐφαπτόμενος· συλλαβὰς δὲ καὶ ὀνόματα καὶ τὰ ἄλλα ἐφεξῆς, καταλήψει νοῦ καὶ συνεχεῖ ἀκροάσει καὶ ἀναμνήσει τῶν ἀκοῇ θηρωμένων. Ἦν δὲ οὐ τὸ τυχὸν θαῦμα·

καὶ πολλοὶ κατὰ κλέος τοῦ ἀνδρὸς εἰς Ἀλεξάνδρειαν παρεγίνοντο, οἱ μὲν αὐτοῦ ἀκουσόμενοι, οἱ δὲ ἱστορήσοντες μόνον. Ἐλύπει δὲ οὐ μετρίως τοὺς Ἀρείου, τῷ δόγματι τῆς ἐν Νικαίᾳ συνόδου συνιστάμενος. Ἔπειθε γὰρ ῥᾳδίως, οὐ βίᾳ λόγων τοῦτο ποιεῖν δοκῶν· ἀλλ' ὑπὸ τῆς ἄγαν πειθοῦς, ἕκαστον αὐτῶν οἱονεὶ κριτὴν καθίστη τῶν ἀμφιβόλων. Τοῖς δὲ ἀπὸ τῆς καθόλου Ἐκκλησίας περισπούδαστος ἦν. Ἐπήνει δὲ αὐτὸν καὶ τὰ τάγματα τῶν ἐν Αἰγύπτῳ μοναχῶν, καὶ Ἀντώνιος ὁ μέγας· ὅν φασι τότε ἐπὶ μαρτυρίᾳ τῆς Ἀθανασίου πίστεως ἐκ τῆς ἐρήμου παραγενόμενον εἰς Ἀλεξάνδρειαν, τάδε πρὸς αὐτὸν εἰπεῖν· «Οὐ χαλεπόν, οὐδὲ λύπης ἄξιον, ὦ Δίδυμε, ὀφθαλμῶν ἀπορεῖν σε, ὧν μέτεστι σαύραις καὶ μυσὶ καὶ τοῖς εὐτελέσι ζῴοις· μακάριον δὲ καὶ χαρίεν, ὅτι παραπλησίως ἀγγέλοις τοὺς ὀφθαλμοὺς ἔχεις, δι' ὧν τρανῶς τὸ θεῖον κατανοεῖς, καὶ τὴν ἀληθῆ γνῶσιν ἀκριβῶς ὁρᾷς».

Τὸ ἰδιαίτερον, ὅπερ ὁ Σωζομενὸς προστίθησιν εἶναι, ὅτι· α') ὁ Δίδυμος, εἶχεν ἀποκτήσει τηλικαύτην φήμην, ὥστε «πολλοὶ κατὰ κλέος τοῦ ἀνδρὸς εἰς Ἀλεξάνδρειαν παρεγίνοντο». β') ὅτι «ἐλύπει δὲ οὐ μετρίως τοὺς Ἀρείου, τῷ δόγματι τῆς ἐν Νικαίᾳ συνόδου συνιστάμενος». γ') Ὅτι ἔπειθε τοὺς ἀντιτιθεμένους τῇ ὀρθοδόξῳ πίστει, «οὐ βίᾳ λόγων», ἀλλὰ «ὑπὸ τῆς ἄγαν πειθοῦς, ἕκαστον αὐτῶν οἱονεὶ κριτὴν καθίστη τῶν ἀμφιβόλων». δ') Ὅτι «ἀπὸ τῆς καθόλου Ἐκκλησίας περισπούδαστος ἦν». ε') Ὅτι «ἐπήνει αὐτὸν καὶ τὰ τάγματα τῶν ἐν Αἰγύπτῳ μοναχῶν, καὶ Ἀντώνιος ὁ μέγας» καὶ ς') ὅτι ὁ Μ. Ἀντώνιος «ἐπὶ μαρτυρίᾳ τῆς Ἀθανασίου πίστεως ἐκ τῆς ἐρήμου» παρεγένετο εἰς Ἀλεξάνδρειαν. Ἡ φήμη ἑπομένως τοῦ Διδύμου προηγεῖτο τῆς προσωπικῆς γνωριμίας τούτου μετὰ τοῦ Μ. Ἀντωνίου.

8) Θεοδώρητος (Ἐκκλ. Ἱστ. IV, 26, παρὰ Migne, PG 82,88). Οὗτος σύντομος ὤν, οὐδὲν τὸ ἀξιόλογον προστίθησιν, εἰ μὴ τὴν πολλὰ σημαίνουσαν φράσιν· «Ἐν μὲν οὖν ἀσκηταῖς καὶ τῆς ἀρετῆς φροντισταῖς, οὗτοι (δηλ. ὁ Ἐφραὶμ καὶ ὁ Δίδυμος) κατ' ἐκεῖνον διέλαμπον τὸν καιρόν».

9) Ρουφῖνος (Historiae ecclesiasticae 11,7. Ὅρα καὶ Εὐσεβίου, Ἐκκλ. Ἱστ. ἐκδ. Βερολινίου Ἀκαδημίας ἐν CSEG 9, 1012,5-1013,20. Ἐπίσης Migne, PL 21). Ὁ Τυράννιος Ῥουφῖνος, ὁ περὶ τὸ 345 ἐν Concordia τῆς Ἀκυληίας ἐκ χριστιανῶν γονέων γεννηθείς, ἐλθὼν εἰς Αἴγυπτον μετὰ τῆς περιφήμου Ῥωμαίας μοναχῆς Μελανίας περὶ τὸ 371, διετέλεσεν ἐπὶ ἓξ ἔτη μαθητὴς τοῦ Διδύμου, δυνάμενος ὡς ἐκ τούτου νὰ παράσχῃ ἀσφαλεῖς περὶ τοῦ διδασκάλου του εἰδήσεις. Μεταξὺ ἄλλων καὶ τὰ πολλὰ σημαίνοντα ταῦτα ὁ Ῥουφῖνος προστίθησιν· «Οὕτως ἐν βρα-

χεῖ χρόνῳ, ὁ θεοδίδακτος (δηλ. Δίδυμος) ἐν πᾶσι τοῖς θείοις πράγμασιν, τηλικαύτην μόρφωσιν καὶ σοφίαν ἐκτήσατο, ὥστε οὗτος διδάσκαλος τῆς ἐκκλησιαστικῆς Σχολῆς ἐγένετο, ὑπὸ τοῦ ἐπισκόπου Ἀθανασίου καὶ τῶν λοιπῶν σοφῶν ἀνδρῶν τοῦ Θεοῦ ἐν τῇ Ἐκκλησίᾳ ὑπεράγαν τιμώμενος». Παρατηρητέα ἡ φράσις «ἐν βραχεῖ χρόνῳ», σημαίνουσα ἀσφαλῶς, ὅτι ὁ Δίδυμος ἐνωρίτατα καὶ εἰς νεαρὰν ἡλικίαν ἀνεδείχθη διδάσκαλος τῆς Κατηχητικῆς Σχολῆς Ἀλεξανδρείας. Τὸ «διδάσκαλος» βεβαίως δὲν σημαίνει ὅτι καὶ τὴν διεύθυνσιν τῆς Σχολῆς εὐθὺς ἀμέσως ἀνεδέχθη. Ἐκ τούτου εἴκασάν τινες ὅτι ὁ Δίδυμος ναὶ μὲν ἐκλήθη ὡς διδάσκαλος τῆς Σχολῆς τὸ 337/8, ὅτε καὶ ἐπεσκέφθη τοῦτον ὁ Μ. Ἀντώνιος, ἀλλὰ τὴν διεύθυνσιν ἀνέλαβε τὸ 341 ἢ 342. Ἡ τελευταία αὕτη γνώμη στηρίζεται εἰς τὸν Χρονογράφον τοῦ ΙΑ' αἰ. Γεώργιον Κεδρηνὸν (Migne, PG 121,567), ὅστις βεβαιοῖ ὅτι τὸ ἕκτον ἔτος τῆς βασιλείας τοῦ Κωνσταντίνου, ἤτοι τὸ 341 ἢ 342 «ἐγνωρίζετο» ἀνήρ, ὀνόματι Δίδυμος, σοφός, ἀλλὰ τυφλός. (Πρβλ. Staimer σ. 168). Ἡ μόνη δυσχέρεια νὰ δεχθῶμεν τὸ ἔτος 341/2, ὡς ἔτος ἀναλήψεως τῆς διευθύνσεως τῆς Σχολῆς ὑπὸ τοῦ Διδύμου εἶναι, ὅτι ὁ Μ. Ἀθανάσιος ἠναγκάσθη μετὰ τὴν κατ' αὐτοῦ ἀπόφασιν τῆς ἐν Ἀντιοχείᾳ συνόδου τὸ 339, νὰ φύγῃ πιθανῶς ἀρχομένου τοῦ 340, ἐλθὼν δ' εἰς Ῥώμην, ἐγένετο δεκτὸς φιλικώτατα ὑπὸ τοῦ Πάπα Ἰουλίου Α'. Ὅρα ἀνωτέρω τὴν σημειωθεῖσαν βιβλιογραφίαν. Πῶς θὰ δεχῶμεν τὸν Δίδυμον ἀνυψούμενον εἰς τὴν ὑψηλὴν θέσιν τοῦ διευθυντοῦ τῆς ἀνωτέρας Κατηχητικῆς Σχολῆς Ἀλεξανδρείας, χωρὶς τὴν συγκατάθεσιν τοῦ οἰκείου Ἀρχιεπισκόπου, καθ' ἣν στιγμὴν ὁ μὲν Ἀθανάσιος διετέλει ἐν ἐξορίᾳ, ἐπὶ δὲ τοῦ θρόνου αὐτοῦ εὑρίσκετο ὁ ἀρειανόφρων ἐπιβήτωρ Καππαδόκης Γεώργιος (340/6); Ἡμεῖς θεωροῦμεν ὀρθότερον, καὶ παρὰ τὰ ὑπὸ τοῦ χρονογράφου Κεδρηνοῦ λεγόμενα, νὰ δεχθῶμεν τὸ ἔτος 340 καὶ μάλιστα τὰς ἀρχὰς τοῦ ἔτους τούτου καὶ πρὸ τῆς φυγῆς τοῦ Μ. Ἀθανασίου, ὡς ἔτος ἀνυψώσεως τοῦ Διδύμου εἰς τὴν διεύθυνσιν τῆς Σχολῆς. Τοῦτο συνᾴδει καὶ πρὸς τὴν ἀνωτέρω μνημονευθεῖσαν εἴδησιν τοῦ ἱστορικοῦ Φιλίππου Σιδίτου, ὅτι ὁ Δίδυμος διεδέχθη εἰς τὴν διεύθυνσιν τὸν Μακάριον, παραιτηθέντα καὶ ἐλθόντα εἰς τὴν ἔρημον πρὸς ἄσκησιν (Ὅρα περὶ αὐτοῦ· Κ. Μπόνη, Οἱ ἀσκητικοὶ συγγραφεῖς τοῦ Δ' αἰ. Ἀθῆναι 1970, σ. 81-83).

Συμπέρασμα. Ἐκ τῆς ἀναλύσεως τῶν πηγῶν διεπιστώθησαν τὰ ἑξῆς περὶ τοῦ Διδύμου· Ἐγεννήθη ἐν Ἀλεξανδρείᾳ τὸ 313 καὶ ἀπέθανεν τὸ 398. Ἐτυφλώθη εἰς νεαρὰν ἡλικίαν. Διὰ τῆς ὑπομονῆς καὶ ἐπιμονῆς του ἐξέμαθε τὰ στοιχεῖα τῶν γραμμάτων «σανίδι καταχαραχθέντα εἰς βάθος, τοῖς δακτύλοις ἐφαπτόμενος» (Σωζο-

μενός)· «συλλαβὰς δέ, καὶ ὀνόματα καὶ τὰ ἄλλα ἐφεξῆς, καταλήψει νοῦ, καὶ συνεχεῖ ἀκροάσει, καὶ ἀναμνήσει τῶν ἀκοῇ θηρωμένων» (αὐτόθι). Οὕτω πως ἀνεδείχθη εἷς τῶν σοφωτέρων θεολόγων τῆς ἐποχῆς του, μέγας πολέμιος τοῦ Ἀρειανισμοῦ, τοῦ Ἀετίου καὶ τοῦ Εὐνομίου, φίλος τοῦ Μ. Ἀθανασίου, καὶ φανατικὸς ὑποστηρικτὴς τῶν ἀποφάσεων τῆς Νικαίας. Ὁ Krüger (ἔνθ' ἀν.) ἐδέχθη ὅτι ὁ Δίδυμος ἔδρασεν ἐν τῇ Σχολῇ ὑπὲρ τὰ 50 ἔτη. Ἔμεινε λαϊκός, ἀλλὰ κατὰ τὸν Παλλάδιον (Λαυσ. Ἱστ. 4) τὰ τελευταῖα ἔτη τοῦ βίου του ἔζη ἐν αὐστηρᾷ ἀσκήσει. Τὸ παράδοξον εἶναι πῶς κατώρθωσε νὰ διατηρήσῃ τὴν θέσιν του καὶ μετὰ τὴν ἀπομάκρυνσιν τοῦ προστάτου του Μ. Ἀθανασίου, καὶ τὴν κατάληψιν τοῦ θρόνου τῆς Ἀλεξανδρείας ὑπὸ τῶν ἀρειανοφρόνων, ὧν μέγας πολέμιος ἦτο. Δυστυχῶς αἱ πηγαὶ σιωποῦν. Ἆρά γε ἡ διασημότης τοῦ ἀνδρὸς καὶ τὸ πάθος τῆς τυφλώσεως κατέστησαν διστακτικοὺς τοὺς ἐπιβήτορας τοῦ πατριαρχικοῦ θρόνου, ὀπαδοὺς τοῦ Ἀρείου, ἔναντι τοῦ Διδύμου; Ἢ μήπως ὁ πρᾶος καὶ ὑπομονητικὸς χαρακτὴρ τοῦ ἀνδρός, ὡς καὶ τὸ ἀνεξίκακον αὐτοῦ, καθ' ἃ ἱστορεῖ ὁ Σωζομενὸς (ἔνθ' ἀν.), ἐπέδρασαν εἰς ἐπίδειξιν ἀνοχῆς πρὸς αὐτὸν ὑπὸ τῶν ἀντιφρονούντων ἀρειανῶν;

II. Ὁ Δίδυμος ὡς συγγραφεύς

1. Ἡ συγγραφικὴ δρᾶσις καὶ ἡ καθόλου φιλολογικὴ παραγωγὴ τοῦ Διδύμου ὑπῆρξε πλουσιωτάτη καὶ σπουδαιοτάτη. Ὁ Παλλάδιος (ἔνθ' ἀν.) λέγει σχετικῶς· «Παλαιὰν μὲν γὰρ καὶ Καινὴν Γραφὴν ἡρμήνευσε κατὰ λέξιν· τῶν δὲ δογμάτων οὕτως ἐπεμελήθη, λεπτῶς καὶ πάνυ ἰσχυρῶς ἐκθέμενος τὸν περὶ αὐτῶν λόγον, ὡς πάντας ὑπερβεβηκέναι τοὺς ἀρχαίους ἐν γνώσει». Ὁ Ἱερώνυμος, προσεπάθησε ν' ἀριθμήσῃ τὰ ἔργα τοῦ Διδύμου, ἀλλὰ πρὸ τοῦ πλήθους αὐτῶν ὀρρωδήσας, κατέκλεισε διὰ τῆς ῥήσεως· «Et infinita alia quae ligerere proprii indicis est» (De vir. ill. 109· Καὶ ἄπειρα ἄλλα, ἅτινα πρέπει νὰ τακτοποιηθοῦν δι' ἰδίου πίνακος). Ἀλλ' ἐν ἀντιθέσει πρὸς τὸν πλοῦτον τῆς παραγωγῆς τοῦ Διδύμου, πτωχοτάτη σχετικῶς ὑπῆρξεν ἡ διὰ τῶν χφφ. μέχρις ἡμῶν παράδοσις αὐτῶν. Τὰ περισσότερα γνωρίζομεν ἐκ τῶν Σειρῶν. Ἀλλὰ καὶ πάλιν πολλοὶ συντάκται τοιούτων Σειρῶν ἐθεώρησαν καλύτερον νὰ παραλείψουν τὸν Δίδυμον. Οὕτως ὁ Νικήτας Ἡρακλείας παρέλειψε σκοπίμως τὸν Δίδυμον ἐκ τῆς ἑαυτοῦ Σειρᾶς τῶν Ψαλμῶν μὲ τὴν ἑξῆς δικαιολογίαν· «Τούτοις δὲ καὶ τὸν πηρὸν συνεξηλάσαμεν Δίδυμον ὡς μὴ βλέποντα τὴν ἀλήθειαν, ἀλλ' ἀνοδίαις ἐννοιῶν καὶ κρημνοῖς περιπίπτοντα» (Karo et Lietzmann, Catenarum graecarum catalogus, Gott. 1902,34). Ὁ τοσοῦτον παρὰ τῶν συγχρόνων του τιμώμενος ἀνήρ, περιέπεσεν αἴφνης εἰς ἀνυποληψίαν, διότι εἶχε τὸ θάρρος ν' ἀμυνθῇ τῆς ὀρθοδοξίας τοῦ

Ὠριγένους. Ἀλλ' ἐν τῇ προσπαθείᾳ του νὰ δικαιολογήσῃ καὶ τὰς κακοδοξίας τοῦ Ὠριγένους, τὰς ἐκτιθεμένας ἐν τῷ «περὶ Ἀρχῶν» ἔργῳ αὐτοῦ, αἵτινες τοσαύτην ἀντίδρασιν προὐκάλεσαν κατὰ τὸν Γ' αἰῶνα, συναπεδέχθη ταύτας, μάλιστα δὲ τὴν περὶ προϋπάρξεως τῶν ψυχῶν καὶ περὶ ἀποκαταστάσεως τῶν πάντων κακοδοξίαν. Καὶ αὐτὸς ὁ Ἱερώνυμος ἠναγκάσθη νὰ ὁμολογήσῃ ὅτι εἰς σημεῖά τινα παρεσύρθη ὑπὸ τῶν ὠριγενιστικῶν ἀντιλήψεων, ὡς ἐν τοῖς «de angelorum ruina, de animarum lapsu, de resurrectionis praestigiis» κλπ. (Hieron., Contra Rufinum 1,6). Κατὰ τὴν Ε' οἰκουμενικὴν σύνοδον (553) ἐπὶ Ἰουστινιανοῦ (527-65) κατεδικάσθησαν αἱ κακοδοξίαι τοῦ Ὠριγένους καὶ Θεοδώρου Μοψουεστίας περὶ προϋπάρξεως τῶν ψυχῶν καὶ ἀποκαταστάσεως τῶν πάντων. Ὁ ἱστορικὸς Εὐάγριος (Ἐκκλ. Ἱστ., γραφεῖσα τὸ δεύτερον ἥμισυ τῆς ϛ' ἑκατοντ., 4,38, παρὰ Migne, PG 86, 2415-2886 καὶ Bidez-Parmentier, London 1898), ὡς καὶ ὁ Κύριλλος ὁ Σκυθοπολίτης (ἔκδ. Ed. Schwartz, Kyrillos von Skythopolis. Leipzig 1939, Βίος τοῦ ἁγίου Σάβα κ. 90, σ. 199, περὶ τὸ 557 γραφεὶς) δὲν ὁμιλοῦσι σαφῶς περὶ προσωπικῆς καταδίκης τοῦ Ὠριγένους καὶ τῶν ὀπαδῶν αὐτοῦ, ἀλλὰ περὶ καταδίκης τῶν κακοδοξιῶν αὐτῶν. (Ὅρα καὶ Β. Στεφανίδου, Ἐκκλ. Ἱστορ. σ. 216-7). Ὅπως ποτ' ἂν ᾖ, ὁ Δίδυμος, ὁ φανατικὸς ὀπαδὸς τῶν ἀποφάσεων τῆς Νικαίας, ὁ φίλος τοῦ Μ. Ἀθανασίου καὶ ὁ μέγας πολέμιος τῶν Ἀρειανῶν, περιέπεσεν εἰς ἀνυποληψίαν, λόγῳ τῶν ὠριγενιστικῶν του ἀντιλήψεων, καὶ μάλιστα ἀφ' ὅτου καὶ ἡ Ε' οἰκουμενικὴ σύνοδος, ἡ ἐν Λατερανῷ τὸ 649, ἡ ϛ' οἰκουμενικὴ σύνοδος τοῦ 680 καὶ ἡ πενθέκτη τοῦ 691-3 κλπ. κατεδίκασαν μετὰ τοῦ Ὠριγένους καὶ τοῦ Θεοδώρου Μοψουεστίας καὶ τὸν ἡμέτερον Δίδυμον μετὰ τοῦ Εὐαγρίου τοῦ Ποντικοῦ. Ἐκ τούτου καὶ αἱ ὑπηρεσίαι τοῦ Διδύμου ἐν τῷ δόγματι τοῦ Τριαδικοῦ συνεσκιάσθησαν εἰς τοὺς μετὰ ταῦτα αἰῶνας καὶ τὰ ἔργα αὐτοῦ ἀπεσιωπήθησαν. Εὐτυχῶς ἐν ἔτει 1941 ἀνεκαλύφθησάν τινα ἐξ αὐτῶν ἐν Toura τῆς Αἰγύπτου. Σημειωτέον δ' ὅτι ἐπὶ τοῦ Τριαδικοῦ δόγματος, περὶ τοῦ ὁποίου εἴμεθα περισσότερον πεπληροφορημένοι, ὁ Δίδυμος ἀποκρούων πάντα ὠριγένειον subordinatianismus, ἠκολούθει πλήρως τὸν Μ. Ἀθανάσιον ἐν τῷ «ὁμοουσίῳ» τῶν προσώπων τῆς Ἁγίας Τριάδος. Ὀρθῶς δὲ καὶ ὁ Ἱερώνυμος ἀπεφήνατο ὡς πρὸς τοῦτο, ὅτι ὁ Δίδυμος «Certe in trinitate catholicus est» (Contra Ruf. 2,16).

Καὶ διερωτᾶταί τις. Ἄνδρες, διακριθέντες ἐν τῷ ὑπὲρ τῆς ὀρθοδοξίας ἀγῶνι καὶ βίον ἅγιον ἐπιδείξαντες, ἔστω καὶ ἂν ἠστόχησαν εἴς τι ἐπικαίρως μεμπτόν, καὶ καταδικασθέντες, λόγῳ κυρίως τῆς σκοπιμότητος τῶν καιρῶν, δὲν θὰ ἔπρεπε κἄποτε ν' ἀποκατασταθῶσι; Δὲν θὰ ἠδύνατο ἡ τὴν αὐτὴν ἐξουσίαν τῆς καταδίκης ἀσκοῦσα Ἐκκλη-

σία, νὰ ἄρῃ κἄποτε τὴν καταδικαστικὴν ἀπόφασιν τοῦ παρελθόντος, διὰ ν' ἀποκαταστήσῃ εἰς τὴν συνείδησιν τῆς Ἐκκλησίας ἄνδρας βίον ἅγιον ἄχρι τέλους ἐπιδείξαντας καὶ ὑπὲρ τῆς Ἐκκλησίας γενικώτερον ἐργασθέντας καὶ ὑπὲρ τῶν θεμελιωδῶν ἀρχῶν τῆς ὀρθοδοξίας ἀγωνισθέντας καὶ ὑπερμαχήσαντας διά τε τοῦ λόγου καὶ διὰ τῆς γραφίδος; Ἀσφαλῶς δύναται ἡ Ἐκκλησία νὰ πολιτευθῇ καὶ οὕτως καὶ «κατ' οἰκονομίαν» ν' ἀποφανθῇ, ἐπιεικὲς πνεῦμα ἐπιδεικνύουσα πρὸς τὰ ὀλισθήσαντα ἔξω τῆς ὀρθῆς ὁδοῦ τῆς πίστεως, ἐν ἀπολύτῳ καὶ ὁλοκληρωτικῇ ἐννοίᾳ, τέκνα της, πολλαπλῶς ἄλλως ὠφελήσαντα αὐτήν. Τὸ μόνον ἴσως κώλυμα εἶναι τὸ ὅτι ἐφ' ὅσον ἡ καταδίκη ἐπεβλήθη ὑπὸ οἰκουμενικῆς τινος συνόδου, Οἰκουμενικὴ σύνοδος δύναται καὶ δικαιοῦται ex officio νὰ ἄρῃ καὶ τὴν ἐπιβληθεῖσαν πρότερον μομφὴν ἢ καταδίκην.

3. Ὁ Δίδυμος δὲν ἔδιδε προσοχὴν εἰς τὸ ὕφος καὶ τὴν μορφὴν τῶν ἔργων του. Περισσότερον ἐνδιεφέρετο διὰ τὴν σαφήνειαν, ἐξ οὗ καὶ πλατειαστικὸς ἀποβαίνει. Ἐν τούτοις πολλάκις ἐξικνεῖται εἰς πανηγυριστήν. Ὁσάκις ἀναφέρεται εἰς τοὺς ἀγγέλους ἢ εἰς ὀνόματα ἱερῶν προσώπων τῆς Ἁγίας Γραφῆς, αἰσθάνεται τὴν ὑποχρέωσιν νὰ προσαρτήσῃ αὐτοῖς καὶ ἀπὸ ἓν τοὐλάχιστον διακοσμητικὸν ἐπίθετον (epitheton ornans), ὡς π.χ. «ἱεροψάλτης, ἱεροφάντης, ἱεροκήρυξ» κλπ. Διὰ τὸν Δαυῒδ π.χ. λέγει ὅτι εἶναι «ὁ ἄσας τῇ λύρᾳ» καὶ διὰ τὸν Παῦλον «ἡ σάλπιγξ τῆς πίστεως» (Πρβλ. Leipoldt, μν. ἔ. σ. 38 ἑ. Bardenhewer III, 107). Τὴν μητέρα τοῦ Κυρίου ὀνομάζει οὗτος ἐν εὐλαβείᾳ καὶ κατὰ προτίμησιν «Θεοτόκον—ἀειπαρθένον» καὶ «ἀδιόδευτον παρθενικὴν πύλην» (Πρβλ. Leipoldt σ. 93. Ἀλλ' οὗτος εἶναι ἄξιος μομφῆς, διότι τὴν «Μαριολατρείαν» καὶ «Ἀγγελολατρείαν» τοῦ Διδύμου χαρακτηρίζει κακῶς-κάκιστα ὡς «πολυθεϊστικὰς κλίσεις» τοῦ τυφλοῦ).

III. Συγγράμματα

α') Δογματικὰ ἔργα. 1) «Περὶ Τριάδος» τρία βιβλία ἑλληνιστί. Ἐγράφη πιθανῶς μεταξὺ τῶν ἐτῶν 381 καὶ 392, εἰς τὴν ἡλικίαν δηλ. τῶν 68-79 ἐτῶν! (Ed. princ. κατὰ ἐλλιπὲς χφ. τοῦ ΙΑ' αἰ., ὅπερ ἀνῆκεν εἰς τὸν Καρδινάλιον Β. Passionei, νῦν δ' ἀπόκειται ἐν τῇ Bibl. Angelica ὑπ' ἀριθ. 116 (B. 1,6), ὑπὸ τοῦ I. A. Mingarelli, Bologna 1769. Ἀνατύπωσις ἐν Migne, PG 39, 269-992. Ὁ Δίδυμος ἐν τῷ ἔργῳ του τούτῳ παρέλαβε πλείστας θέσεις ἔκ τινος «Διαλόγου» μετά τινος ὀπαδοῦ τοῦ αἱρετικοῦ Μακεδονίου. Ταῦτα ἰσχυρίζεται ὁ F. Loofs, Berl. Ak. Sb. 1914, 526 ἑ.ἑ. Περὶ παραπομπῶν, εἰλημμένων ἐξ Ἑλλήνων ποιητῶν ὅρα A. Jahn, παρὰ J. Dräseke, ZwTh. 45 (1902) 410 ἑ.ἑ.). Τὸ ἔργον τοῦτο εἶναι τὸ σπουδαιότερον δογματικὸν πόνημα

ἐκ τῆς γραφίδος τοῦ Διδύμου. Ἐν αὐτῷ καταπολεμεῖται ἐν ὀρθοδόξῳ πνεύματι ἡ διδασκαλία τοῦ τε Ἀρείου καὶ ἐκτενέστερον τοῦ Μακεδονίου. Ἡ περὶ Τριάδος διδασκαλία ἐκτίθεται ἐν ὁμοφωνίᾳ πρὸς τὴν ὑπὸ τοῦ Μ. Ἀθανασίου διατυπωθεῖσαν. Εἴκασάν τινες, ὅτι ἡ διάσωσις τοῦ ἔργου ὀφείλεται εἰς τὴν ὀρθόδοξον κατὰ πάντα ἔκθεσιν τοῦ περὶ Τριάδος δόγματος. Νεωστὶ ἠμφισβητήθη ἡ γνησιότης τοῦ ἔργου ὑπὸ τοῦ L. Doutreleau, Le De trinitate est-il l' oeuvre de Didyme l' Aveugle? RechSR 45 (1957) 514-557, ἄνευ ὅμως ἰσχυρῶν ἐπιχειρημάτων, παρὰ τὰς ὀξείας διατυπώσεις αὐτοῦ.

2) «Λόγος περὶ τοῦ Ἁγίου Πνεύματος», ἐν λατινικῇ μόνον μεταφράσει τοῦ Ἱερωνύμου διασωθείς. (De Spiritu Sancto. Ed. princ. Köln 1531. Ἀνατύπωσις ἐν Migne, PG 39, 1031-1086. Ἐπίσης ἐν Migne, PL 23, 107 ἑ.). Ὁ Δίδυμος δὶς ἀναφέρει τὸ ἔργον του τοῦτο ἐν τῷ «Περὶ Τριάδος» συγγράμματί του, ἤτοι ἐν 3,16 (Migne, PG 39,872B) καὶ 3,31 (39,949 C). Θεωρεῖται ὅτι ἐγράφη πρὸ τοῦ 381, ἐφ' ὅσον ὁ Ἀμβρόσιος τὸ ἔτος τοῦτο συνέταξε τὸ ὁμώνυμον ἔργον του, ἀντλήσας τὰ πλεῖστα ἐκ τοῦ περὶ οὗ ὁ λόγος ἔργου τοῦ Διδύμου. Ἡ μετάφρασις τοῦ Ἱερωνύμου θεωρεῖται ὅτι ἐγένετο μεταξὺ τῶν ἐτῶν 384-389, κατ' ἐντολὴν τοῦ Πάπα Δαμάσου Α' (366-384). Πβλ. Ἐπιστ. 36 πρὸς Δάμασον, ἐν Migne, PL 22,453. Τὸ πράγματι ἀξιολογώτατον καὶ κατὰ πάντα ὀρθόδοξον τοῦτο ἔργον τοῦ Διδύμου διαιρεῖται συνήθως εἰς δύο μέρη. Ἐν τῷ πρώτῳ (κ. 4-29) καταδεικνύεται ὅτι τὸ Ἅγιον Πνεῦμα εἶναι «ὁμοούσιον» τῷ τε Πατρὶ καὶ τῷ Υἱῷ καὶ οὐχὶ «κτίσμα». Ἐν τῷ δευτέρῳ (κ. 30-59) καταπολεμεῖται ἡ κατὰ τοῦ Ἁγίου Πνεύματος αἱρετικὴ διδασκαλία τῶν Πνευματομάχων δι' ἀποδεικτικῶν χωρίων τῆς Ἁγίας Γραφῆς. Ἀξίζει ἐπιστημονικὴ διερεύνησις τῆς σχέσεως τοῦ ἔργου τούτου μετὰ τῶν «Περὶ Ἁγίου Πνεύματος» ἔργων τοῦ τε Μ. Ἀθανασίου καὶ τοῦ Μ. Βασιλείου. (Τὸ τελευταῖον συνετάγη πιθανώτατα πρὸ τοῦ 375 ἢ τὸ ἔτος τοῦτο καὶ ἀπεστάλη εἰς τὸν Ἀμφιλόχιον Ἰκονίου μικρὸν πρὸ τῆς ὑπ' αὐτοῦ συγκλήσεως τῆς ἐν Σίδῃ τῆς Παμφυλίας ἐν ἔτει 375/6 συνόδου. (Πβλ. K. Holl, Amphilochius von Ikonium in seinem Verhaltnis zu den grossen Kappadoziern. Tübingen und Leipzig 1904, σ. 25, σημ. 2). Τοῦ ἔργου τοῦ Διδύμου ἐπωφελήθη τόσον ὁ ἅγιος Αὐγουστῖνος (Quaest. in Heptat. II, 25 ἐν Migne, PL 34,604. Πρβλ. Κ. Μπόνη, Ὁ ἅγιος Αὐγουστῖνος ἐπίσκοπος Ἱππῶνος (13 N/βρίου 354-28 Αὐγ. 430). Βίος καὶ Συγγράμματα. Ἀθῆναι 1964 σ. 88 § 4), ὅσον καὶ ὁ ἀνώνυμος ἐν τῷ ἔργῳ De ecclesiasticis dogmatibus (Migne, PL 42, 1216 καὶ δὴ κ. 11.20).

3) «Κατὰ Μανιχαίων». Σύντομον ἐργίδιον, ἐκ τοῦ ὁποί-

ου ἐλλείπει ἡ ἀρχὴ ἐν τῷ χφ. (Ed. princ. ἐκ τοῦ κώδ. Laur. IX 23 τοῦ Ι' αἰ. ὑπὸ τοῦ F r. C o m b e f i s, Bibl. Graec. Patr. auct. noviss., Paris. 1672, II,1,21 ἑ.ἑ., ἐκ τῆς ἐκδόσεως δὲ ταύτης καὶ ἡ ἀνατύπωσις παρὰ M i g n e, PG 39,1085-1110). Ἀπόσπασμα τοῦ ἔργου περιέλαβεν ὁ ἱερὸς Δ α μ α σ κ η ν ὸ ς εἰς τὰ «Ἱερὰ Παράλληλα» αὐτοῦ (M i g n e, PG 95, 1532A) ἐπ' ὀνόματι τοῦ Δ ι δ ύ μ ο υ, τοῦθ' ὅπερ μαρτυρεῖ τὸ ἀναμφίβολον τῆς γνησιότητος τοῦ ἔργου. Ἐν αὐτῷ καταπολεμεῖται ὁ Μανιχαϊσμὸς διὰ λεπτοτάτων φιλοσοφικῶν ἀποδείξεων καὶ βαθυστοχάστων λογικῶν ἐπιχειρημάτων. Ἀκολουθεῖ δὲ πλουσία ἐκ τῶν Ἁγίων Γραφῶν παράθεσις χωρίων πρὸς ἀναίρεσιν τῆς μανιχαϊκῆς ἀσεβείας καὶ πλάνης. Ἐν τῷ ἐργιδίῳ τούτῳ θίγονται θεμελιώδη τῆς χριστιανικῆς δογματικῆς ζητήματα, οἷα περὶ Θεοῦ δημιουργοῦ, πόθεν τὸ κακόν, ἡ ἐλευθερία τοῦ ἀνθρώπου, παράβασις καὶ ἁμαρτία, γέννησις τοῦ Σωτῆρος ἐκ τῆς Παρθένου, περὶ διαβόλου καὶ κολάσεως κλπ. Σύγκρισις τοῦ ἔργου τούτου τοῦ Δ ι δ ύ μ ο υ μετὰ τοῦ Κατὰ Μανιχαίων ἔργου τοῦ Σ α ρ α π ί ω ν ο ς (Πρβλ. ἡμετέραν Εἰσαγωγήν, ἔνθ' ἀν. σ. 17-19) θὰ ἦτο χρήσιμος. Φαίνεται ὅτι ὑπάρχει στενὴ σχέσις καὶ ἀλληλεξάρτησις μεταξὺ τοῦ ἔργου τοῦ Δ ι δ ύ μ ο υ καὶ τοῦ ὁμωνύμου ἔργου τοῦ Γ ρ η γ ο ρ ί ο υ Ν ύ σ σ η ς (M i g n e, PG 46,541-53). Ὅτι πάντες οἱ Κατὰ Μανιχαίων γράψαντες μεταγενέστεροι συγγραφεῖς ἤντλησαν ἐκ τῶν πρὸ αὐτῶν πολεμίων τοῦ Μανιχαϊσμοῦ, οὐδεμία ἀμφιβολία. (Οἱ Κατὰ Μανιχαίων γράψαντες εἶναι· Ἡγεμόνιος, M i g n e, PG 10,1105-1528· Μ. Βασίλειος, 31, 329-54· Ἀλέξανδρος Λυκοπόλεως 18,411-48, Σαραπίων 40,899-924· Ἐπιφάνιος 42,29-172· Τίτος Βόστρων 18,1069-1264· Ζαχαρίας Μυτιλήνης 85,1143-4· Ἀνώνυμος 988, 529-78· Ἰωάννης Δαμασκηνὸς 94, 1505-84· Πέτρος Σικελιώτης 104, 1239-1304· Φώτιος 102, 15-264· Μιχαὴλ Ψελλὸς 122,819-76 καὶ Εὐθύμιος Ζιγαβηνὸς 130, 7-24).

4) «Κ α τ ὰ Ε ὐ ν ο μ ί ο υ». Ἔργον ἀμφισβητούμενον. Ὁ Δ ί δ υ μ ο ς ἐν τῷ «Περὶ Τριάδος» ἔργῳ του παραπέμπει 14άκις εἰς ἔργον του, ὅπερ ὀνομάζει τὸν «π ρ ῶ τ ο ν λ ό γ ο ν». Τὸ ἔργον τοῦτο πρῶτος ἐταύτισε μετὰ τῶν δύο «Κ α τ ὰ Ε ὐ ν ο μ ί ο υ» τελευταίων βιβλίων τῆς Πενταβίβλου τοῦ Μ. Β α σ ι λ ε ί ο υ ὁ Ρῶσσος A. S p a s s k i j (Apollinaris von Laodikea, Sergiev Posad 1895, 363 ἑ. Πρβλ. N. B o n w e t s c h, ἐν Byz. Zeitschr. 6(1897)177). Τὴν γνώμην ταύτην ὑπεστήριξε καὶ ὁ F. X. F u n k (Kirchengeschichtliche Abhandlungen II, 291, III, 311, Paderborn 1899 καὶ 1907. Ἐν τῷ τελευταίῳ ἄρθρῳ του ὁ F u n k στρέφεται κατὰ τῶν ἀντιρρήσεων τοῦ J. Leipoldt, μν. ἔ. σ. 26 ἑ.ἑ.). Τοὐναντίον ὁ J. Dräseke ἠθέλησε ν' ἀποδώσῃ τοῦτο εἰς τὸν Ἀ π ο λ λ ι ν ά ρ ι ο ν Λαοδικείας (Zeitschr. f. Kirchengesch. 11, 1890, 22 ἑ. Ὁ αὐτὸς ἀνετύπωσε τὰ κείμενα ἀμφοτέρων τῶν βι-

βλίων τοῦ «Κατὰ Εὐνομίου» ἔργου τοῦ Μ. Β α σ ι λ ε ί ο υ, ἐν TU 7,3/4, Leipzig 1892. σ. 122 ἑ. Τὸ ἔργον τοῦ Μ. Β α σ ι λ ε ί ο υ ὅρα ἐν M i g n e, PG 29,671 ἑ.). Ὁ J. L e b o n, λαβὼν ὑπ' ὄψιν τὴν συριακὴν παράδοσιν τοῦ ἔργου, ἐπίστευσεν ὅτι ἠδυνήθη ν' ἀποδείξῃ ὡς βεβαίαν τὴν θέσιν τοῦ τε Spasskij καὶ τοῦ Funk (Le Pseudo-Basile (Adv. Eun. 4-5) est bien Didyme d' Alexandrie, ἐν Museon 50(1937)61-83). Ἡ ἔκθεσις ὅμως τοῦ τὸ πρῶτον ἐμφανιζομένου δογματικοῦ προβλήματος «περὶ τοῦ τρόπου τῆς ὑπάρξεως» τῶν τριῶν προσώπων τῆς Ἁγίας Τριάδος ἐν τοῖς ἀνωτέρω βιβλίοις 4 καὶ 5 τοῦ «Κατὰ Εὐνομίου» ἔργου τοῦ Μ. Β α σ ι λ ε ί ο υ, ἐμβάλλει εἰς ἡμᾶς τὴν ὑπόνοιαν, μήπως ὁ Ἀ μ φ ι λ ό χ ι ο ς Ἰκονίου εἶναι ὁ συντάξας τὰ βιβλία ταῦτα πρὸς συμπλήρωσιν τοῦ ἔργου τοῦ διδασκάλου του καὶ οὐχὶ ὁ Δ ί δ υ μ ο ς. Διότι ὁ Ἀμφιλόχιος εἶναι ὁ πρῶτος εἰσηγητὴς τοῦ περὶ τοῦ «τρόπου τῆς ὑπάρξεως τῶν τριῶν προσώπων» τῆς Ἁγίας Τριάδος δογματικοῦ προβλήματος. Περαιτέρω ἐνασχόλησις ἐπὶ τοῦ θέματος εἶναι καὶ εὐκταία καὶ ὠφέλιμος ἀπὸ πολλῶν ἀπόψεων (ὅρα Π α ν. Τ ρ ε μ π έ λ α, Δογματικὴ τῆς Ὀρθοδόξου Καθολικῆς Ἐκκλησίας. Ἀθῆναι 1959 τ. 1-3, Ι, 272-84 ἑξ). Παραμένει ἄλλωστε ἀνεξιχνίαστον ὑπό τίνος καὶ πότε καὶ διὰ ποῖον λόγον διῃρέθη εἰς δύο μέρη (κεφ. 4 καὶ 5) ὁ «πρῶτος λόγος» τοῦ Δ ι δ ύ μ ο υ, ἐνῷ ὁ Ἱ ε ρ ώ ν υ μ ο ς κάμνει σαφῆ διάκρισιν τοῦ «πρώτου λόγου» (De vir. ill. 109) ἀπὸ τοῦ «Κατὰ Εὐνομίου» ἔργου τοῦ Δ ι δ ύ μ ο υ (ἔνθ' ἀν., κ. 120).

β') Ἐ ξ η γ η τ ι κ ὰ ἔ ρ γ α. Τὰ ἐξηγητικὰ ἔργα τοῦ Δ ι δ ύ μ ο υ ἦσαν πολυάριθμα. Ὁ L. D o u t r e l e a u, s.j. περιγράφει πῶς ὑπὸ Αἰγυπτίων ἐργατῶν, κατὰ τὸν τελευταῖον πόλεμον καὶ συγκεκριμένως τὸν Αὔγουστον τοῦ 1941, ἐκσκαπτόντων ἓν σπήλαιον παρὰ τὴν ἀπότομον ὄχθην τῆς Toura, δώδεκα χιλιόμετρα νοτίως τοῦ Καΐρου, ἀνεκαλύφθη πλῆθος παπύρων περιεχόντων πλείονα ἔργα τοῦ Δ ι δ ύ μ ο υ (L o u i s D o u t r e l e a u, Didyme l' aveugle «Sur Zacharie». Texte inédit d' après un papyrus de Toura. Paris 1962 σσ. 21-22). Ὁ ἐπιστημονικὸς κόσμος ἔλαβε τὸ πρῶτον γνῶσιν τῆς σπουδαίας ταύτης ἀνακαλύψεως δι' ἀνακοινώσεως εἰς τὴν Ἀκαδημίαν des Inscriptions et Belles-Lettres τὸν Αὔγουστον τοῦ 1946 ὑπὸ τοῦ O. Guéraud (Comptes Rendus de l' Académie des Incscriptions 1946, σσ. 367-9) καὶ ὀλίγους μῆνας ὕστερον δι' ἄρθρου τοῦ ἰδίου ἐν Revue d' Histoire des Religions 1946, σσ. 85-108. Τὴν σπουδαιότητα καὶ τὸν χαρακτῆρα τῶν κειμένων ἐπεσήμανεν ἰδιαιτέρως ὁ H. Ch. Puech, Les nouveaux écrits d' Origène et de Didyme découverts à Toura, ἐν Revue d' Histoire et de Philosophie Religieuses 1951 σ. 293-329. Ὁ Doutreleau περιέγραψεν ἰδιαιτέρως τὰ ἀνήκοντα εἰς τὸν Δ ί δ υ μ ο ν ἔργα (Que savons-nous aujourd' hui des Papyrus de Toura? Ἐν RSR, 1955, σσ. 161-193).

1. Ἐξηγητικὰ εἰς βιβλία τῆς Π. Δ. Ἡ πολύκροτος αὕτη ἀνακάλυψις ἔφερεν εἰς φῶς πλεῖστα ἐκ τῶν ἐξηγητικῶν ἔργων τοῦ Διδύμου καὶ δὴ καὶ τὸ μέγιστον μέρος τῶν ἀναφερομένων εἰς τὴν Γένεσιν, τὸν Ἰώβ, τὸν Ζαχαρίαν καὶ τοὺς Ψαλμούς. Κατὰ τὸν Ἱερώνυμον ὁ Δίδυμος ὑπεμνημάτισε πλὴν τῶν ἀνωτέρω καὶ τοὺς προφήτας Ἡσαΐαν καὶ Ὠσηέ. Ἑρμηνευτικὸν ὑπόμνημα εἰς τὰς Παροιμίας ἀναφέρεται ὑπὸ τοῦ Κασσιοδώρου (+ 583: Institutiones divinarum et humanarum lectionem 5, ἐκδ. R. A. B. Mynors, Oxford 1937). Ἐκτὸς τῆς ἀρίστης ἐκδόσεως ὑπὸ τοῦ Doutreleau τοῦ εἰς τὸν προφήτην Ζαχαρίαν ἑρμηνευτικοῦ ὑπομνήματος εἰς τὴν σειρὰν τῶν Sources Chrétiennes, No 83, ἀναγγέλλεται ὅτι εἰς τὴν αὐτὴν σειρὰν θὰ ἐκδοθοῦν καὶ τὰ εἰς τὴν Γένεσιν καὶ τὸν Ἰὼβ ὑπομνήματα ὑπὸ τῶν O. Guerand καὶ J. Scherer. Πλὴν τῶν ἀνωτέρω, μὲ τὴν ἔκδοσιν τοῦ εἰς τὴν Γένεσιν ὑπομνήματος ἐπεφορτίσθη καὶ ὁ P. Nautin. Ἐπὶ τῇ βάσει τῆς διαπιστώσεως τοῦ Nautin, ὅτι τὰ εἰς τὴν Γένεσιν διασωθέντα ἑρμηνευτικὰ σχόλια ἐξικνοῦντο μόνον μέχρι τοῦ ΙϚ' κεφ., προέβη εἰς τὴν ἔκδοσιν τούτων ὁ R. Devreesse (Les anciens commentateurs Grecs de l' Octateuque et des Rois. Fragments tirés des Chaines. Città del Vaticano 1959 σ. 167-172). Τοῦ ὑπομνήματος εἰς τὴν Ἔξοδον ἀποσπάσματα, ὡς καὶ τοῦ Β' Βιβλ. τῶν Βασιλειῶν ἐδημοσιεύθησαν ἐν Migne, PG 39,1113L-1120A, ὡς καὶ ὑπὸ τῶν Caro-Lietzmann (μν. ἔ., σ. 3 ἑ). Ἐξηγητικὰ σχόλια εἰς τοὺς Ψαλμοὺς 20-44 ἀνεκαλύφθησαν εἰς τοὺς ἐν Toura παπύρους. Ὁ M. Gronewald μετὰ τῶν L. Doutreleau καὶ A. Gesché ἐξέδωκε τὰ ἐξηγητικὰ ταῦτα σχόλια εἰς πέντε τόμους (Rudolf Habelt Verlag. Bonn 1968-1970). Ὡσαύτως ἐξεδόθησαν ὑπὸ τοῦ A. Henrichs εἰς τὴν αὐτὴν σειρὰν καὶ εἰς δύο τόμους μέρος τῶν διασωθέντων ἀποσπασμάτων ἐκ τοῦ ὑπομνήματος εἰς τὸν Ἰὼβ (κεφ. 1-6,29). Περὶ τῶν διασωθέντων ἀποσπασμάτων ὁμιλεῖ γενικῶς καὶ ὁ Aloys Kehl εἰς τὴν ἐν ἔτει 1964 γενομένην ἔκδοσιν (παρὰ L. Doutreleau, Didyme l' aveugle «Sur Zacharie». Paris 1962 σ. 22 σημ. 1. Ἐπίσης καὶ περὶ τῆς διδακτορικῆς διατριβῆς τοῦ A. Gesché. Ὅρα καὶ ἄρθρον τοῦ ἰδίου ἐν Rev. d' Hist. Eccleés. 54 (1959) 387-425: L' âme humaine de Jesus dans la Christologie du IVe siècle. Le témoignage du Commentaire sur les Psaumes découvert à Toura. Ὅρα ἐπίσης· A. Gesché, La christologie du «Commentaire sur les Psaumes» découvert à Toura. Gembloux, Duculot 1962 σσ. XXXII+448) τοῦ ὀγδόου τετραδίου. Ἐν τῷ μεταξὺ δ' ἀνευρέθησαν καὶ τὰ τετράδια ὑπ' ἀριθ. 2,5,6, καὶ 7).

Ἐκ τοῦ ὑπομνήματος εἰς τὰς Παροιμίας μικρὸν μέρος διε-

σώθη. Ἡ ὑπὸ τοῦ Ἐπιφανίου, τῇ ὑποδείξει τοῦ Κασσιοδώρου γενομένη μετάφρασις τοῦ ὑπομνήματος τούτου, ἀπωλέσθη. Ἐν Migne, PG 39,1621-45 ἀνετυπώθησαν τὰ ὑπὸ τοῦ A. Mai δημοσιευθέντα ἀποσπάσματα ἑλληνιστί. Τινὰ τούτων εὕρηνται εἰς τὰ «Ἱερὰ Παράλληλα» τοῦ Δαμασκηνοῦ (Bardy σ. 47). Ὁ Ἱερώνυμος ὁμιλεῖ καὶ περὶ ἑρμηνευτικοῦ ὑπομνήματος εἰς τὸν Ἰώβ. Ἀποσπάσματά τινα ἐδημοσιεύθησαν ἐν Migne, PG, 39,1119-54. Κατὰ τὸν Bardy τὸ ἐν τοῖς «Ἱεροῖς Παραλλήλοις» συμπεριλαμβανόμενον ἀπόσπασμα (Migne, PG 95, 1526 A) προέρχεται ἐκ τοῦ ὑπομνήματος εἰς τὸν Ἰώβ. Ἀπόσπασμα «Λόγου εἰς τὸν Ἰώβ», πιθανώτατα ἐκ τοῦ ἐν λόγῳ ὑπομνήματος τοῦ Διδύμου προερχόμενον, εὑρίσκεται ἐπίσης εἰς τὰ «Ἱερὰ Παράλληλα» (Migne, PG 96, 141C καὶ 541. Πρβλ. Bardy, σ. 48).

Ἐξηγητικὰ σχόλια εἰς τὸν Ἐκκλησιαστὴν (Karo-Lietzmann σ. 79 ἑ. 311 ἑ. ἔνθα καὶ ἀποσπάσματά τινα), εἰς τὸ Ἆσμα Ἀσμάτων (ἀπόσπασμα ἐξεδόθη μετ' ἄλλων ἐν τῷ ἔργῳ· Eusebii, Polychronii, Pselli, in Canticum Canticorum expositiones Graece Johannes Mensuris primus nunc e tenebris eruit, publicavit Lugduni Batavorum 1617, σ. 19, ἕτερον δὲ ἐν «Ἐπιτομῇ» τοῦ Προκοπίου, παρὰ Migne PG 87, 2, 1561B. Πρβλ. καὶ Caro-Lietzmann σ. 82-86 (314-318) καὶ εἰς τὸν προφήτην Δανιήλ, φέρεται συντάξας ὁ Δίδυμος. Ὁ Faulhaber, Prophetencatenen σ. 179 ἐδημοσίευσε δύο ἀποσπάσματα ἐκ τοῦ κώδ. Ottob. gr. 452. Πρβλ. Karo-Lietzmann 116 (348) καὶ K. Holl, Fragmente vornicänischer Kirchenväter, TU, N.F.V., 2 σ. 155). Σημειωθήτω ὅτι ὁ Προκόπιος Γαζαῖος ἀναφέρει καὶ τὸν Δίδυμον, ὡς σχολιαστὴν τοῦ Ἐκκλησιαστοῦ (παρὰ Migne, PG 39,237). Ὁ L. Detrouleau, Didyme l' aveugle «Sur Zacharie», σ. 17-8, στηριζόμενος εἰς δήλωσιν αὐτοῦ τοῦ Διδύμου ἐν τῷ ὑπομνήματί του «Εἰς Ζαχαρίαν», σημειοῖ ὅτι πλὴν τῶν ἄλλων ἐξηγητικῶν σχολίων, οὗτος συνέταξε καὶ «ὑπόμνημα εἰς τὴν ὅρασιν τοῦ Ἠσαΐου» περὶ τῶν ἐσχάτων, εἰς τὸν Ἰεζεκιὴλ καὶ εἰς τὸ Λευϊτικόν.

2. Ἐξηγητικὰ εἰς βιβλία τῆς Κ.Δ. Τὰ εἰς τὴν Κ.Δ. Ἐξηγητικὰ Σχόλια τοῦ Διδύμου ἀναφέρονται εἰς τὸν Ματθαῖον, τὸν Ἰωάννην, τὰς Πράξεις, τὴν Β' πρὸς Κορινθίους, πρὸς Γαλάτας καὶ πρὸς Ἐφεσίους. Ἀποσπάσματα σῴζονται καὶ ἐν ταῖς Σειραῖς ἐπ' ὀνόματι τοῦ Διδύμου (Leipoldt, 17. Bardy, 43) καὶ εἰς πολλὰ ἕτερα βιβλία τῆς Ἁγ. Γραφῆς. Ἐκτὸς τούτων, ἐπ' ὀνόματι τοῦ Διδύμου πρόκειται «Ἑρμηνεία» (Σχόλια) εἰς τὰς Καθολικὰς ἐπιστολάς, ἥτις κατ' ἐντολὴν τοῦ Κασσιοδώρου μετεφράσθη εἰς τὴν λατινικὴν ὑπό τινος πρεσβυτέρου Ἐπιφανίου (τὸ πρῶτον ἐτυπώθη ἐν

Κολωνίᾳ τὸ 1531 (ὁμοῦ μετὰ τοῦ ἔργου «Περὶ Ἁγίου Πνεύματος»). Νέα ἔκδ. ὑπὸ G. C. F. L ü c k e, Quaestiones ac vindiciae Didymianae, Univ. - Progr. Gött. 1829-32. Ἐκ τῆς ἐκδ. ταύτης ἀνατύπωσις ἐν M i g n e, PG 39, 1749-1818. Νέα ἔκδ. ἐπὶ τῇ βάσει τῆς ed. princeps καὶ τ ρ ι ῶ ν λατινικῶν χφφ. ὑπὸ F r. Z o e p f l, Ntl. Abh. v. M. M e i n e r t z 4,1. Münster i. W. 1914). Θεωρεῖται σήμερον ὅτι τὸ ἔργον δὲν προέρχεται ἐκ τοῦ Δ ι δ ύ μ ο υ, ἀλλ' ὅτι εἶναι μετάφρασις ἐξ ἑλληνικῆς Σειρᾶς ἑρμηνευτικῆς τῶν «Κ α θ ο λ ι κ ῶ ν Ἐ π ι σ τ ο λ ῶ ν» (Πρβλ. E. K l o s t e r m a n n, Ueber des Didymus von Alexandrien in Epistolas canonicas enarratio. TU 28,2. Leipzig 1905. Ἐπίσης L e i p o l d t, σ. 22, B a r d y σ. 51 καὶ Z o e p f l, ἔνθ' ἀν. σημ.7). Τὰ ἐκτενέστερα καὶ πολυαριθμότερα ἐξηγητικὰ σχόλια εἶναι τὰ φερόμενα εἰς τὰς Π ρ ά ξ ε ι ς, ἐν οἷς ἐμφανίζεται ἐντονώτερον ἡ προτίμησις τοῦ Δ ι δ ύ μ ο υ διὰ τὴν ἀ λ λ η γ ο ρ ι κ ὴ ν ἑρμηνείαν τῆς Ἁγ. Γραφῆς, χωρὶς ἐννοεῖται νὰ παραμελῇ καὶ τὴν γ ρ α μ μ α τ ι κ ὴ ν καὶ ἱ σ τ ο ρ ι κ ὴ ν μέθοδον ἑρμηνείας.

Εἰδικώτερον σημειωθήτωσαν καὶ ταῦτα. Ὁ Ἱ ε ρ ώ ν υ μ ο ς ἐποιήσατο χρῆσιν τῶν ἐξηγητικῶν σχολίων εἰς τὸν Μ α τ θ α ῖ ο ν τοῦ Δ ι δ ύ μ ο υ. Κατὰ τὸν A. A c h e l i s (Hippolytusstudien σσ. 165-6) σειρὰ βοχαϊρικὴ ἐκδοθεῖσα ὑπὸ τοῦ P a u l d e L a g a r d e (Catenae in Evangelia Aegyptiacae quae supersunt. Gottingae 1886) περιλαμβάνει δ ύ ο ἀποσπάσματα τοῦ Δ ι δ ύ μ ο υ. Ἕτερα δὲ ἀποσπάσματα ἐνυπάρχουν ἔν τινι ἀραβικῇ Σειρᾷ (B a r d y, σ. 48).

Τὰ διασωθέντα εἰς τὸν Μ α τ θ α ῖ ο ν ἀποσπάσματα εἶναι: α') Τὰ ἐν τοῖς «Ἱεροῖς Παραλλήλοις» τοῦ Δ α μ α σ κ η ν ο ῦ (M i g n e, PG 96,484A), β') τὰ ἐν τῇ Σειρᾷ, τῇ ἐκδοθείσῃ ὑπὸ τοῦ B a l t h a s a r C o r d e r i u s (Catena Patrum Graecorum in Sanctum Johannem ex antiquissimo Graeco codice MS. nunc primum in lucem edita. Adverpiae 1630. Σημειωτέον δ' ὅτι ὁ B a r d y, σ. 48 παρατηρεῖ, ὅτι τὰ ὑπὸ τοῦ C r a m e r ἐκδοθέντα ἀποσπάσματα (Catenae Graecorum Patrum in Novum Testamentum. Oxonii 1844, II) εὑρίσκονται ἤδη ἐν τῇ ἐκδόσει τοῦ C o r d e r i u s καὶ γ') τὰ ὑπὸ τοῦ A. M a i δημοσιευθέντα ἀποσπάσματα (Bibliotheca nova Patrum, IV,2,147. Ἀνατύπωσις ἐν M i g n e, PG 39,1645-54).

Τὰ εἰς τὰς Π ρ ά ξ ε ι ς ἐξηγητικὰ Σχόλια τοῦ Δ ι δ ύ μ ο υ ἐνυπάρχουν εἰς διαφόρους Σειράς. Ἐν M i g n e, PG 39,1653-78 (τὸ ἐν 39,1672B εἶναι νόθον, ἀναφέρεται δὲ εἰς τὸν Ἰ ω ά ν ν η ν τ ὸ ν Χ ρ υ σ ό σ τ ο μ ο ν) ἀνετυπώθησαν τὰ ὑπὸ τοῦ C. W o l f (Anecdota Graeca IV, 1) ἐκδοθέντα τὸ πρῶτον ἐξηγητικὰ εἰς τὰς Π ρ ά ξ ε ι ς Σχόλια τοῦ Δ ι δ ύ μ ο υ. Ὁ J. A. Cramer πλὴν τῶν ἀνωτέρω, συμπεριέλαβε καὶ τριάκοντα νέα ἀποσπάσματα (μν. ἔ. σ. 21, 187-

413 ἐν τ. III). Ἀποσπάσματα διέσωσε καὶ ὁ Θεοφύλακτος (Migne, PG 125, 528B, 572B. Πρβλ. 39,251).

Ὁ Ἱερώνυμος ἀναφέρει ὑπόμνημα ἐξηγητικὸν τοῦ Διδύμου εἰς τὴν Α΄ πρὸς Κορινθίους ἐπιστολὴν (Migne, PL 22,511, ἐπιστ. 49. Αὐτόθι 22, 968/70, ἐπιστ. 119 παρατίθεται ὑπὸ τοῦ ἰδίου ἐκτενὲς ἀπόσπασμα εἰς λατινικὴν μετάφρασιν). Ὁ K. Staab ἐξέδωκεν ἐκ κώδ. τῆς Μονῆς Παντοκράτορος ἐν Ἁγίῳ Ὄρει ὑπ' ἀριθ. 28 τριάκοντα καὶ ὀκτὼ ἀποσπάσματα ἐξηγητικὰ εἰς τὰ κεφ. 15 καὶ 16 τῆς Α΄ πρὸς Κορινθίους ἐπιστολῆς. Ἐκτενῆ ἀποσπάσματα ἐκ τῆς Β΄ πρὸς Κορινθίους ἐπιστολῆς ἀνετυπώθησαν ἐν Migne, PG 39, 1680-1732. Ὑπὸ τοῦ Cramer (IV, 196) ἐξεδόθη ἀπόσπασμα ἐξ ὑπομνήματος τοῦ Διδύμου, εἰς τὴν πρὸς Ῥωμαίους ἐπιστολὴν (κεφ. ζ΄, 20). Ὁ Leipoldt ἀμφισβητεῖ τὴν γνησιότητα τοῦ ὑπὸ τοῦ Cramer (VII, 131) δημοσιευθέντος ἀποσπάσματος ἐξ ὑπομνήματος εἰς τὴν πρὸς Ἑβραίους ἐπιστολήν. Ὑπομνήματα εἰς τὴν πρὸς Γαλάτας καὶ τὴν πρὸς Ἐφεσίους τοῦ Διδύμου ἀναφέρει ὁ Ἱερώνυμος (Migne, PL 22,918 ἐπιστ. 112, 4. Πρβλ. καὶ 26,309). Ὁ Κασσιόδωρος (Migne, PL 70, 1120), ἀντιθέτως πρὸς ὅσα λέγει Κοσμᾶς ὁ Ἰνδικοπλεύστης (παρὰ Migne, PG 39,237· «Καὶ πάντες δὲ οἱ ὑπομνηματίσαντες τὰς θείας Γραφάς, οὔτε εἷς αὐτῶν λόγον ἐποιήσατο τῶν Καθολικῶν»), ἀναφέρει ὅτι ὁ Δίδυμος συνέταξεν ὑπόμνημα εἰς τὰς Καθολικὰς ἐπιστολάς. Ἡ γενομένη ὑπὸ τοῦ Ἐπιφανίου τοῦ σχολαστικοῦ, κατ' ἐντολὴν τοῦ Κασσιοδώρου, ὡς εἴπομεν, μετάφρασις ἀνετυπώθη μετά τινων ἑλληνικῶν ἀποσπασμάτων παρὰ Migne, PG, 39,1749-1818. Ὁ Cramer (VIII, 2.30.52.63.65) ἐδημοσίευσεν ἑλληνικά τινα ἀποσπάσματα. Ἀλλ' ἡ γνησιότης πάντων συλλήβδην τῶν εἰς τὰς Καθολικὰς ἐπιστολὰς ἀναφερομένων ἐπ' ὀνόματι τοῦ Διδύμου ἀποσπασμάτων, ἀμφισβητεῖται. Ἀλλ' ὁ Bardy (μν. ἔ. σ. 54) δὲν ἀποκλείει τὸ ἐνδεχόμενον τὰ εἰς τὴν λατινικὴν μεταφρασθέντα ἀποσπάσματα νὰ μὴ προέρχωνται ἐκ τῆς γραφίδος Λατίνου συγγραφέως, ὡς ὑπέθεσεν ὁ Ceiller, ἀλλ' ἐξ Ἕλληνος, χωρὶς νὰ εἶναι βέβαιος, ὅτι ὁ Δίδυμος εἶναι καὶ ὁ συντάκτης αὐτῶν. Ἡ ἐπικρατοῦσα σύγχυσις τῆς προελεύσεως τῶν ἐξηγητικῶν Σχολίων εἰς τὰς Καθολικὰς ἐπιστολάς, χρῄζει περαιτέρω ἐρεύνης.

γ΄) Ἀπολεσθέντα: 1) Ὁ Δίδυμος ἐν τῷ «Περὶ Ἁγίου Πνεύματος» ἔργῳ τον κάμνει λόγον εἰς δύο σημεῖα, πλὴν τοῦ Dogmatum volumen, καὶ περὶ τοῦ ἔργου Sectarum volumen (Migne, PG 39, 1037B, § 5 καὶ 1052B, § 21). Ὁ Bardy δέχεται μετὰ τοῦ Vallarsi καὶ τοῦ Fabricius (Harles, Bibl. Graeca καὶ ἐν Migne, PG 39, 137B) ὅτι πρόκειται οὐχὶ περὶ δύο, ἀλλὰ περὶ ἑνὸς καὶ τοῦ αὐτοῦ ἔργου. Ὁ Θεοδώρητος

ἀναφέρει ὅτι ὁ Δίδυμος ἔγραψε «κατὰ τῶν ἀντιπάλων τῆς ἀληθείας δογμάτων» (Migne, PG 39, 236), ὡς καὶ ὁ Ἐφραίμ, χωρὶς περαιτέρω διευκρινήσεις.

2) Ὁ ἱστορικὸς Σωκράτης ἀναφέρει (39,233), ὅτι ὁ Δίδυμος συνέταξεν ὑπόμνημα εἰς τὸ «Περὶ ἀρχῶν» τοῦ Ὠριγένους, χρησιμοποιηθὲν καὶ ὑπὸ τοῦ Ῥουφίνου κατὰ τὴν ὑπ' αὐτοῦ γενομένην μετάφρασιν εἰς τὴν λατινικὴν τοῦ ἔργου τούτου τοῦ Ὠριγένους. Ὁ Ἱερώνυμος, ἐνῷ ἀναγνωρίζει ὅτι ὁ Δίδυμος ὀρθοδόξως διετύπωσε τὴν περὶ Τριάδος διδασκαλίαν, ἐν τούτοις θεωρεῖ ὅτι περιέπεσε, παρασυρθεὶς ὑπὸ τοῦ Ὠριγένους εἰς τὰς αὐτὰς μὲ ἐκεῖνον κακοδοξίας περὶ προϋπάρξεως τῶν ψυχῶν, πτώσεως τῶν δαιμόνων καὶ ἀποκαταστάσεως τῶν πάντων (Adversus Rufinum I, 6. II, 16).

3) Ἀπωλέσθη τὸ «Διατί ἀποθνήσκουν τὰ παιδία» ἔργον τοῦ Διδύμου, γραφὲν τῇ παρακλήσει τοῦ Ῥουφίνου, ὠριγενιστικῆς ἐπιδράσεως καὶ περὶ τὸ 386 συνταχθέν, καθ' ἃ βεβαιοῖ ὁ Ἱερώνυμος (Adv. Ruf. III, 28. Migne, PL, 23, 478D).

4) Ἀπολεσθέντα δέον νὰ θεωρηθῶσι καὶ τὰ δύο ἔργα «Περὶ ἀρετῶν» καὶ «Περὶ Υἱοῦ», τ' ἀναφερόμενα ὑπ' αὐτοῦ τοῦ Διδύμου ἐν τῷ εἰς τὸν Ζαχαρίαν ἐξηγητικῷ του ὑπομνήματι.

5) Ἐπ' ὀνόματι τοῦ Διδύμου φέρονται καὶ τὰ ἑξῆς ἀποσπάσματα· α') Ἐκ τοῦ ἔργου «Συμβουλὴ ἠθικὴ» παρ' Εὐαγρίῳ ἐν τῷ «Γνωστικῷ» (Σωκρ. Ἐκκλ. Ἱστ. IV, 23 καὶ παρὰ Migne, PG 67, 520 καὶ 39, 1109B. Ὁ Bardy παρατηρεῖ (μν. ἔ., σσ. 35-6) ὅτι τὸ ἀπόσπασμα, ἀναφερόμενον εἰς τὴν θείαν Πρόνοιαν, πιθανῶς στρέφεται κατὰ τῶν Μανιχαίων, ἀρνουμένων ταύτην). β') Ἀπόσπασμα φέρον τὴν ἐπιγραφὴν ἐν τοῖς «Ἱεροῖς Παραλλήλοις» τοῦ Δαμασκηνοῦ «Περὶ ἀσωμάτου» (Migne, PG 96, 248D. Αὐτόθι καὶ δεύτερον ἀπόσπασμα. Ἐν 39, 1109 παρατίθεται τὸ ἓν ἐκ τῶν δύο τούτων ἀποσπασμάτων μὲ τὴν δήλωσιν ὅτι προέρχεται ἐκ τοῦ ἔργου τοῦ Διδύμου «Πρὸς φιλόσοφον»). γ') «Περὶ ἀσωμάτου» εἶναι ὁ τίτλος ἀποσπάσματος, διασωθέντος εἰς τὰ «Ἱερὰ Παράλληλα» τοῦ Δαμασκηνοῦ, ἐπ' ὀνόματι τοῦ Διδύμου (Migne, PG 96, 524D. Ὁμοίως 39, 1109C). δ') Μικρὸν ἀπόσπασμα μὲ τὸν τίτλον «Περὶ Ψυχῆς» εὕρηται ἐν κώδ. Paris. gr. 151 (Ἐξεδ. ὑπὸ Caro-Lietzmann, Catenarum Graecorum Catalogus σ. 87. Nachrichten der königlichen Gesellschaft der Wiss. in Göttingen, Philos.-histor. Klasse 1902, H. 3. σ. 319). ε') Ὁ Pitra (Spicilegium solesmense I, 284) ἀναφέρει ὅτι τὸ ἐκ τοῦ ἔργου esxpositium Johannis Romanae Ecclesiae Diaconi εἰλημμένον ἀπόσπασμα ἐξηγητικὸν εἰς τὸ χωρίον Γεν. 1,27, προέρχεται ἐκ τοῦ Διδύμου, ἔφερε δὲ τὸν ἐπίτιτλον «De fide». ς') Εἰς τὰ τοῦ Μαξίμου τοῦ Ὁμολογητοῦ «Κεφάλαια Θεολογικὰ» (Migne, PG 91, 721-1017

ἐπίσης εἰς τὰ «Ἱερὰ Παράλληλα» Ἰωάννου τοῦ Δαμασκηνοῦ (95, 1069-1588 καὶ 96,9-441), ὡς καὶ εἰς τὴν «Μέλισσαν» τοῦ μοναχοῦ Ἀντωνίου (136, 765-1244) φέρονται ἀποσπάσματα διαφόρου περιεχομένου καὶ ἐκ διαφόρων ἔργων τοῦ Διδύμου προερχόμενα. Συγκριτικὸν πίνακα τούτων δίδει ὁ Bardy, ἐν σ. 36 ἑ., ἔνθα καὶ λεπτομερεστέρα παράθεσις τῶν ἀποδιδομένων εἰς τὸν Δίδυμον ἔργων, ἀποσπασμάτων κλπ. Πρβλ. καὶ K. Holl, *Die Sacra Parallela des Johannes Damascenus, Texte u. Untersuchungen, N.F.I., 1. Leipzig 1897.* ζ') Τέλος σημειωθήτω καὶ τοῦτο, ὅτι ἀντιμοντανιστικόν τι ἔργον ὑπὸ τὸν τίτλον «Μοντανιστοῦ καὶ ὀρθοδόξου διάλεξις» (πρβλ. Schmid-Stählin II, 2, 1300) ἀπέδωκεν ὁ P. Labriolle εἰς τὸν Δίδυμον. Τὸ ἔργον ἐξεδόθη ὑπὸ τοῦ G. Ficker ἐκ τοῦ κώδ. Scorial. X, II, IA' αἱ., ἀνωνύμως, πολὺ δὲ ὁμοιάζει πρὸς τὸ «Περὶ Τριάδος» τοῦ Διδύμου (P. Labriolle, *Les sources de l' histoire du Montanisme. Fribourg (Suisse) 1913* σ. CI ἑ.).

δ') Ἀμφιβόλου γνησιότητος ἔργα.

1) Ἀμφισβητουμένης γνησιότητος εἶναι τὸ «Κατὰ Ἀρείου καὶ Σαβελλίου» ἔργον, ἐκδεδομένον ἐπ' ὀνόματι τοῦ Γρηγορίου Νύσσης κακῶς (Migne, PG 45, 1281-1301). Ὑπὲρ τῆς γνησιότητος τοῦ ἔργου ἐτάχθησαν οἱ Leipoldt, (μν. ἔ. σ. 9) καὶ Loofs (*Leitfaden zum Studium der Dogmengeschichte*[4] σ. 257, σημ. 1), ἐνῷ τοὐναντίον οἱ Krüger (*Theolog. Literaturzeitung 1905* σ. 602) Funk (*Theolog. Quartalschr. 1905* σ. 466) καὶ Bardy (μν. ἔ., σ. 17) καὶ τέλος ὁ Stolz (*Didymus, Ambrosius, Hieronymus. Theolog. Quartalschr. 1905*, σ. 395, σημ. 1) ἐτάχθησαν κατὰ τῆς γνησιότητος τοῦ ἔργου. Ἐν τῷ ἔργῳ ἀπαντῶσιν ὁμοιότητες τῆς περὶ Τριάδος διδασκαλίας τοῦ Διδύμου, ἀλλ' ἐπίσης ἰδέαι, διατυπώσεις καὶ ἔννοιαι λίαν διαφορετικαὶ τῶν τοῦ Διδύμου (Bardy, σσ. 17-8). Θεωρεῖται πάντως ὅτι τὸ ἔργον πρέπει νὰ συνετάγη πρὸ τοῦ 358, ὑπὸ ἀντιαρειανικῶν φρονημάτων συγγραφέως, ἐφ' ὅσον ἀναφέρει «Ἀχίλλειόν τινα» (45, 1281A, 1293B), Ἀχιλλᾶν ὑπὸ τοῦ Ἀλεξάνδρου Ἀλεξανδρείας ὀνομαζόμενον (Bardy, σ. 18. Πρβλ. K. Holl, *Ueber die Gregor von Nyssa zugeschriebene Schrift «Adversus Arium et Sabellium»* ἐν *Zeitschr. f. Kirchengesch.* 25 (1904) 380-98), ὡς ἕνα τῶν σπουδαιοτέρων ἐκπροσώπων τοῦ Ἀρειανισμοῦ.

2) Ὑπὸ ἀμφισβήτησιν τίθενται καὶ οἱ πέντε διάλογοι «Περὶ τῆς Τριάδος», οἱ ἐπ' ὀνόματι τοῦ Μ. Ἀθανασίου φερόμενοι, ἀλλ' ἐν τοῖς ἀμφιβαλλομένοις ἔργοις αὐτοῦ κατατασσόμενοι (Β.Ε.Π., τ. 36, 45-130). Οἱ Stolz, Günther καὶ Dietsche τάσσονται ὑπὲρ τῆς γνησιότητος, τοὐναντίον ὁ Rahner. Ὁ Stolz ἀπέδωκεν ἐπίσης εἰς τὸν Δίδυμον καὶ τοὺς ἐπ' ὀνόματι τοῦ Μα-

ξίμου τοῦ Ὁμολογητοῦ φερομένους δύο διαλόγους (ὅρα περὶ ὅλων Bardy, σ. 42 ἑ.).

3) Οἱ δύο «Κατὰ Ἀπολλιναρίου» λόγοι, οἱ ἀποδιδόμενοι εἰς τὸν Μ. Ἀθανάσιον κακῶς (Migne, PG 26, 1093-1116), ἐθεωρήθησαν ὑπὸ τοῦ J. Dräseke ὡς ἔργα τοῦ Διδύμου. Ὁ Bardy (μν. ἔ., σ. 42) ἀπέδειξε μὴ εὐσταθοῦσαν τὴν γνώμην ταύτην τοῦ Dräseke.

4) Αἱ γνῶμαι διίστανται προκειμένου καὶ περὶ τοῦ ἔργου. «Ἡ ὅρασις τῶν Σεραφεὶμ» ἢ «τοῦ Ἡσαΐου» (VI, 1-7) ἐκδοθέντος ὑπὸ τοῦ G. Morin (Anecdota Maredsolana III, 3, 103-22). Ὁ W. Dietsche (L'héritage littéraire de Didyme l' Aveugle. Rev. Sciences Relig. et Theol. (194-12) 380-414) ἀπέδωκε τὸ ἔργον εἰς τὸν Δίδυμον, ἐνῷ ὁ B. Altaner (ThR 1943 σ. 150 ἑ.) θεωρεῖ ὡς πιθανώτερον συντάκτην τὸν Θεόφιλον Ἀλεξανδρείας.

IV. Διδασκαλία.

Ὁ Δίδυμος ἵσταται ἐν μέσῳ τῆς σφυζούσης ἐποχῆς τοῦ Δ' αἰῶνος, καθ' ὃν τὰ θεολογικὰ ἐνδιαφέροντα καὶ δὴ καὶ τὸ Τριαδικὸν καὶ Χριστολογικὸν ἐκίνουν τοὺς μεγάλους ἐκπροσώπους τῆς Ἐκκλησίας καὶ Θεολογίας. Οὗτος ἀποτελεῖ οἱονεὶ γέφυραν μεταξὺ Μ. Ἀθανασίου καὶ μεγάλων Καππαδοκῶν Πατέρων. Δὲν εἶναι ὑπερβολὴ νὰ λεχθῇ, ὅτι ὁ Δίδυμος ἔθεσε πρῶτος τὰ θεμέλια διὰ τὴν περαιτέρω ἀνάπτυξιν τῆς Χριστολογίας ὑπὸ τοῦ Κυρίλλου Ἀλεξανδρείας. Ὁ Δίδυμος βεβαίως δὲν κάμνει τὴν ἐντύπωσιν πρωτοτύπου καὶ πηγαίου Θεολόγου, οὔτε τὰ ἐπιτεύγματά του δύνανται νὰ χαρακτηρισθῶσι μνημειώδη. Ἡ Θεολογία αὐτοῦ ἀποτελεῖ μᾶλλον «μωσαϊκὸν» ἰδεῶν, ἀξιοθαύμαστον μόνον λόγῳ τῆς ποικιλίας καὶ τῆς ἀνέσεως, μεθ' ἧς κινεῖται ἐπὶ ὅλων σχεδὸν τῶν πεδίων τῆς Θεολογίας τῆς ἐποχῆς του. Πάντα τὰ ἔργα αὐτοῦ δύνανται νὰ θεωρηθῶσι καρπὸς τῶν ἐν τῇ Κατηχητικῇ Σχολῇ τῆς Ἀλεξανδρείας μαθημάτων του. Ὁ Δίδυμος θαυμάζει τοὺς πρὸ αὐτοῦ Ἀλεξανδρινοὺς ἐκκλησιαστικοὺς συγγραφεῖς καὶ ὁ θαυμασμός του ἐξικνεῖται εἰς ἀφοσίωσιν καὶ σεβασμὸν βαθύτατον, προκειμένου περὶ τοῦ προσώπου τοῦ Ὠριγένους ἀφ' ἑνός, ἀλλὰ καὶ τοῦ Μ. Ἀθανασίου ἀφ' ἑτέρου. Δύναται ἑπομένως ὁ Δίδυμος νὰ χαρακτηρισθῇ γνήσιος «παραδοσιακὸς» Ἀλεξανδρινὸς Θεολόγος.

1. Ἁγία Τριάς. Ὁ Δίδυμος εἶναι ὁ κατ' ἐξοχὴν θεολόγος τοῦ Τριαδικοῦ. Ἡ ἰδιαιτέρα ἀξία τῆς περὶ Τριάδος διδασκαλίας αὐτοῦ ἔγκειται εἰς τὸ ὅτι προηγεῖται ἐν τῇ ὀρθοδόξῳ διατυπώσει τῶν ὅρων τοῦ Τριαδικοῦ — «μία οὐσία», «τρεῖς ὑποστάσεις»—, οὐ μόνον τῶν Καππαδοκῶν Πατέρων — ἰδίᾳ Γρηγορίου

τοῦ Θεολόγου καὶ Γρηγορίου Νύσσης—, ἀλλὰ καὶ αὐτοῦ τοῦ Μ. Ἀ θ α ν α σ ί ο υ. Ὁ ὅρος «μία οὐσία, τρεῖς ὑποστάσεις», μὴ ἀπαντῶν ἐν τοῖς ἔργοις τοῦ Μ. Ἀ θ α ν α σ ί ο υ, τὸ πρῶτον ἐμφανίζεται ἐν τῷ ἀμφισβητουμένῳ ἔργῳ «Κατὰ Ἀρείου καὶ Σαβελλίου», τῷ κακῶς ἐπ' ὀνόματι τοῦ Γ ρ η γ ο ρ ί ο υ Νύσσης ἐκδεδομένῳ (M i g n e, PG 45, 1281-1302) καὶ τὸ ὁποῖον πρέπει νὰ ἐγράφη πρὸ τοῦ 358 (ὅρα ἀνωτ.). Ἐκ τῆς ὑπάρξεως δὲ «μιᾶς οὐσίας» ἐν τῇ Τριαδικῇ Θεότητι, συνάγεται ὅτι καὶ μία «θέλησις» ἐνεργείας δύναται νὰ ὑπάρχῃ μεταξὺ τῶν «τριῶν προσώπων» τῆς Θεότητος. Ἰδοὺ καὶ οἱ λόγοι του· «In omnibus enim approbatur eamdem operationem esse Patris, et Filii, et Spiritus sancti. Quorum autem una est operatio, una est et substantia: quia quae eidem substantiae ὁμοούσια sunt, easdem habent operationes; et quae alterius substantiae, et ἀνομοούσια, dissona atque diversa sunt» (De Spiritu Sancto, Migne, PG 39, 1049-1050, § 17 ἐν τέλει). Τὴν ὁμοουσιότητα δὲ καὶ τὴν ἰσότητα φύσει τῶν Τριῶν προσώπων τῆς Ἁγ. Τριάδος, σαφέστατα καθορίζει ὁ Δ ί δ υ μ ο ς, ἐν οἷς λέγει· «Γραφῆς μὲν οὔτε διοριζούσης τῇ φύσει τὴν ἁγίαν καὶ ἄναρχον μίαν καὶ ἀμέριστον Τριάδα, οὐδ' αὖ πάλιν ἀφοριζούσης αὐτῇ τὰ πρώτιστα καὶ τὸ ἔπειτα· δῆλον δὲ ὄντων δύο τούτων, ὅτι τε οὐ πάντως τὸ μεῖζον ἑ τ ε ρ ο ο ύ σ ι ό ν ἐστι, καὶ ὅτι καθ' ὅλου τὰ συγκριτικὰ ἐπὶ ὁ μ ο ο υ σ ί ω ν, ἀλλ' οὐκ ἐπὶ ἑ τ ε ρ ο ο υ σ ί ω ν λέγεται. Οὐκ ἂν δὲ οὐδ' ἐξ ἐπιβολῆς εἴποιεν καίριον, ὅτι οὐδὲ περὶ τοῦ ἀσυγκρίτου καὶ μείζονος. Οὐ κατὰ μέγεθος ἤ τινα ὄγκον· ἀμεγέθης γὰρ καὶ ἀπλατής ἐστιν, καὶ πηλικότητος πάσης, καὶ συνθέσεως, καὶ σχήματος ἀναχωρήσας ὁ Θεὸς Λόγος (καθ' ἃ καὶ ὁ Πατὴρ καὶ τὸ ἅγιον Πνεῦμα αὐτοῦ), καὶ ὑπὸ μηδενὸς μὲν περιεχόμενος αὐτός, πάντα δὲ ἐμπεριέχων· διότι καὶ πάντων ἀρχὴ μεγεθῶν ὡς ποιητής ἐστιν» (39, 332B/C· Περὶ Τριάδος). Ἔτι σαφέστερον περὶ τῆς ἰσότητος τῶν τριῶν «ὑποστάσεων» τοῦ Ἑνὸς Θεοῦ, ὁμιλεῖ ὁ Δ ί δ υ μ ο ς καὶ ἐν κεφ. II, 6,4 (39, 520D· «Περὶ Τριάδος»)· «Οὔκουν αἱ τὴν αὐτὴν τιμὴν καὶ ἐνέργειαν ἔχουσαι ὑ π ο σ τ ά σ ε ι ς τὴν αὐτὴν ἐπληρώσαντο φ ύ σ ι ν καὶ οὐδὲν θεότητι καὶ δυνάμει διαφέρουσιν ἀλλήλων, μόναι δὲ συμφύεσθαι, καὶ συντάττεσθαι, καὶ πανταχοῦ συνεπινοεῖσθαι δύνανται τ ῷ ἑ ν ί· Ὃς ἄμφω αὐτός, οὐχ ὧν αἱ ὑ π ο σ τ ά σ ε ις ἀμφοῖν, ἔχει ἐξ ἑαυτοῦ ἀνάρχως, καὶ ἐξ ἴσου, καὶ ὁμοίου, καὶ ἀλέκτως ἡνωμένας, καὶ συνεχεῖς τὰς ὑ π ο σ τ ά σ ε ις». Μικρὸν δὲ πρότερον καὶ ταῦτα διέλαβεν ὁ Δ ί δ υ μ ο ς (39, 520B)· «Ὁ Θεὸς καὶ Πατὴρ εὐδόκησεν διὰ τοῦ Υἱοῦ αὐτοῦ Λόγου πάντα δημιουργηθῆναι.... Ὅτι δὲ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ Λόγου, καὶ τοῦ ἑνὸς Ἁγίου Πνεύματος, πᾶσα ἐνέργεια καὶ δωρεά, δημιουργική τε, ἀγαθή τε καὶ τελεία, καὶ κοινὴ αὐτῶν ὑπάρχει, ἀνάγεται δὲ ὅλα εἰς τὸν Ἕ ν α, ἐξ Οὗ καὶ σὺν Ὧ ἀφρά-

στως ἐξεφάνησαν αἱ μακάριαι ὑποστάσεις αὗται». Καὶ ἐν τέλει τοῦ κ. 2, 8, 4 (39, 632Α), λέγει· «Ἀλλὰ καὶ ὁ Θεός, Πατήρ, μηδέν τι διάφορον ἐν τῇ οὐσίᾳ, καὶ δυνάμει, καὶ θελήσει, καὶ δόξῃ εἶναι δεικνὺς μεταξὺ αὐτοῦ τε καὶ τοῦ μονογενοῦς Λόγου, καὶ τοῦ ἑνὸς ἁγίου Πνεύματος αὐτοῦ, διὰ πάσης σχεδὸν τῆς Γραφῆς λέγει». Τὰ αὐτά που ἐπαναλαμβάνει καὶ ἐν τῷ «Περὶ Ἁγ. Πνεύματος» ἔργῳ του (39, 1037-8, 1049-50 κ.ἀ.).

2. Χριστολογία. Ἐξαιρετικὴν ἀξίαν κέκτηται ἡ Χριστολογία τοῦ Διδύμου, διότι ἱστορικῶς προηγεῖται κατ᾽ οὐσίαν τῶν ἐμφανισθεισῶν ὕστερον χριστολογικῶν ἐρίδων, αἵτινες τοσοῦτον συνετάραξαν τὴν Ἐκκλησίαν ἐπὶ πολλοὺς αἰῶνας. Ἡ Χριστολογία αὐτοῦ δὲν ἀκολουθεῖ τὰς σωτηριολογικὰς κατευθύνσεις τοῦ Μ. Ἀθανασίου. Ὁ Δίδυμος εἶναι σαφέστερος ἐν τῇ ἐκθέσει τῆς ἀνθρωπίνης ψυχῆς ἐν τῷ σαρκωθέντι θείῳ Λόγῳ. Ἐν τῷ «Περὶ Τριάδος» ἔργῳ του καταπολεμεῖ σαφῶς τοὺς ἀρνουμένους ἀνθρωπίνην ψυχὴν εἰς τὸν σαρκωθέντα Θεὸν-Λόγον. Ἴσως ὁ Δίδυμος νὰ ὑπέστη ἐν τούτῳ τὴν ἐπίδρασιν τοῦ Ὠριγένους, ὅστις ἐπρέσβευεν, ὅτι ὁ θεῖος Λόγος ἡνώθη μετὰ τῆς ἀνθρωπίνης σαρκὸς μέσῳ τῆς ψυχῆς (Πρβλ. A. Gesché ἐν Rev. d' Hist. Ecclés. 14 (1959) 387-425).

Ὁ Δίδυμος ἀδιστάκτως ἀποφαίνεται ὅτι «ἄψυχος σὰρξ οὔτε δεῖταί πω τροφῆς ἢ ὕπνου» (39, 797). Οὔτε ἡ θεότης τοῦ Λόγου ἔχει ἀνάγκην τροφῆς ἢ ὕπνου, ἀλλ᾽ οὔτε καὶ ἡ ἀνθρωπίνη φύσις ἄνευ ψυχῆς δύναται νὰ φάγῃ ἢ νὰ ὑπνώσῃ. «Τὰ γὰρ τοιαῦτα οὔτε θεότητι ἁρμόττει, οὔτε σαρκὶ ἀψύχῳ. Περὶ μὲν τὸ σῶμα θεωρεῖται τὰ πάθη μόνον τὰ αὐτοῦ τοῦ σώματος φθαρτικά, οὐ μὴν τὰ λογισμῶν ἐρημίᾳ τῶν χρησίμων ἡμῖν ἐπιγιγνόμενα· περὶ δὲ τὴν ψυχὴν καταλαμβάνονται αἱ ὑπὲρ τῶν παθῶν φροντίδες» (30, 904Β). Τὴν ἕνωσιν τῆς ἀνθρωπίνης ψυχῆς μετὰ τοῦ θείου Λόγου μετ᾽ ἐμφάσεως διακηρύττει ὁ Δίδυμος, ἐν οἷς μάλιστα λέγει περὶ ἀχωρίστου καὶ ἀδιαζεύκτου εἰς τοὺς αἰῶνας ἀνθρωπίνης ψυχῆς καὶ θείου Λόγου· «Ταύτῃ δὲ — δηλ. τῇ ἀνθρωπίνῃ ψυχῇ — ὁ Θεὸς-Λόγος ἀχωρίστως καὶ ἀδιαστάτως μέχρι τέλους ἀδιάζευκτος διαμενεῖ» (39, 1284C· Εἰς Ψαλμούς). Τὸ ἀσύγχυτον τῆς τελείας ἑνώσεως τοῦ Θεοῦ-Λόγου μετὰ τῆς ἀνθρωπίνης φύσεως, σαφῶς δηλοῦσιν οἱ λόγοι του· Οὔτε οὖν δακρύει ἡ ἀνωτάτω ἀπάθεια, καὶ ζωή, καὶ χαρά, καὶ εἰρήνη, καὶ πάντων ὑπομονή, ὁ φαιδρὰς ἡμέρας διδοὺς τοῖς ἅπασι, δι᾽ ἄλλο τι, ἀλλὰ διὰ τὸ ὑποφῆναι διὰ τοῦ ὁρωμένου τῆς ἀοράτου θεότητος αὐτοῦ τὴν συμπάθειαν. Πανταχοῦ γὰρ ἢ λόγοις, ἢ ἔργοις τὰς διαθέσεις ἀναμίγνυσιν, ὄφρα ἡμεῖς ὥσπερ ἔκ τινων ἰχνῶν ἐπ᾽ αὐτὴν ὁρμήσωμεν τὴν θήραν τῆς ἐνθεαστικῆς νοήσεως, καὶ εὕρωμεν, ὡς τὸ πᾶν τῆς οἰκονομίας θεϊκῆς ἴδιόν ἐστιν εὐσπλαγχνίας» (39, 908C-909A).

Ὁ Δίδυμος διασαφεῖ πλεῖον καὶ τοῦ Μ. Ἀθανασίου

τὴν διὰ τῆς Ἀναστάσεως τοῦ Κυρίου ἐπανένωσιν τῆς ἀνθρωπίνης φύσεως (σώματος καὶ ψυχῆς) μετὰ τοῦ Θεοῦ-Λόγου. Ἑρμηνεύων τοὺς στίχ. 9 καὶ 10 τοῦ ΙΕ' Ψαλμοῦ (39, 1233A-D), λέγει· «Καὶ ἐκ τούτων τῶν συλλαβῶν δηλοῦται μάλιστα τελείως ἐνηνθρωπηκέναι τὸν Κύριον· τῆς γὰρ σαρκὸς ἀποτεθειμένης ἐν τῷ μνημείῳ, ἡ ψυχὴ αὐτοῦ γέγονεν ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· μεθ' ὃν ἀναστὰς ἔλαβε τὴν σάρκα, ἣν τέως διαζεύξας ἦν ἀπὸ τοῦ πνεύματος. Εἴρηται δὲ ἐπ' ἐλπίδι κατεσκηνωκέναι ἡ σάρξ, διὰ τὴν ἐσομένην παραυτὰ ἀνάστασιν· οὐ γὰρ διαλυθεῖσα ἢ φθοράν τινα παθοῦσα, ἀλλ' ἀβλαβὴς διαμείνασα συνεζεύχθη πάλιν τῇ μὴ ἐγκαταλειφθείσῃ εἰς τὸν ᾅδην ψυχῇ. Εἰ δὲ ἡ προκειμένη ψυχὴ σαρκὸς χωριζομένη ὑφέστηκεν, καὶ ἐν τῷ ᾅδῃ γίνεται, ἔνθα αἱ λογικαὶ τῶν ἀνθρώπων ψυχαί, δῆλον ὅτι οὐ δύναται ἄλογος εἶναι· ἡ γὰρ ἄλογος ψυχὴ χωριζομένη σαρκός, οὐχ ὑφίσταται, οὐδὲ εἰς τὸν ᾅδην πορεύεται. Ἀλλὰ μὴν ἡ τοῦ Ἰησοῦ ψυχὴ ἑκατέρων πεῖραν ἔσχεν· γέγονε γὰρ καὶ ἐν τῷ χωρίῳ τῶν ἀνθρωπίνων ψυχῶν, καὶ τῆς σαρκὸς ἐκτὸς γενομένη ζῇ καὶ ὑφίσταται· λογικὴ ἄρα καὶ ταῖς ψυχαῖς τῶν ἀνθρώπων ὁμοούσιος, ὥσπερ καὶ ἡ σὰρξ ὁμοούσιος τῇ τῶν ἀνθρώπων σαρκὶ τυγχάνει, ἐκ τῆς Μαρίας προελθοῦσα. Εἰ δὲ καὶ ἔδοξε πεπονθέναι διὰ τὸν σταυρόν, ἀλλ' οὖν οὐκ οἶδε διαφθοράν, ἀβλαβῶν διαμεινάντων τῆς τε ψυχῆς καὶ τῆς σαρκός, ἐξ ὧν συντεθέντων ἀνεδείχθη πάλιν ὁ Ὅσιος τοῦ Θεοῦ οὐχ ἑωρακὼς διαφθοράν, ἀλλὰ καὶ αἴτιος τῆς τῶν ἄλλων νεκρῶν ἐγέρσεως· δι' αὐτὸν γάρ, πρωτότοκον ἐκ τῶν νεκρῶν γεγενημένον, τὸ φθαρτὸν καὶ θνητὸν ἡμῶν ἀφθαρσίαν ἐνδυσάμενον συναπαθανατίζεται τῷ μὴ ἑωρακότι διαφθορὰν Ὁσίῳ τοῦ Θεοῦ».

Ὁ Δίδυμος μετ' ἐμφάσεως διαδηλοῖ, ὅτι ἐν τῇ ἑνώσει τοῦ Θεοῦ-Λόγου μετὰ τῆς ἀνθρωπίνης φύσεως δὲν πρέπει νὰ νοηθῇ μεῖξις ἢ συγχώνευσις τῶν δύο φύσεων, ὥστε νὰ προέλθῃ οἱονεὶ μία τρίτη φύσις, ἀλλ' ὅτι αἱ δύο φύσεις ἡνώθησαν ἀτρέπτως καὶ ἀσυγχύτως («Περὶ Τριάδος» 3, 6. 3, 13. 3, 21). Ἀναγνωρίζει ἑπομένως μόνον δύο φύσεις ἐν τῷ Χριστῷ, τὴν θείαν καὶ τὴν ἀνθρωπίνην (ἔνθ' ἀν., 3,12). Ὁμολογητέον, ὅτι οὗτος δὲν χρησιμοποιεῖ τὸν ὅρον «δύο φύσεις», ἀλλ' ὅμως αἱ διατυπώσεις του προσεγγίζουν εἰς τὴν διατυπωθεῖσαν ὕστερον διδασκαλίαν περὶ τοῦ χριστολογικοῦ δόγματος. Καίτοι ἀποδέχεται τὴν διάκρισιν τῶν δύο φύσεων, ἐν τούτοις δὲν ἐμποδίζεται εἰς τὸ νὰ δεχθῇ τὴν ἕνωσιν τούτων ἐν τῷ ἑνὶ προσώπῳ τοῦ Κυρίου, ἡνωμένου ἅμα φύσει ἐν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι. Λέγει· «Οὕτω δέ φαμεν, ἐπινοίᾳ τινὶ τὴν ἄφραστον αὐτοῦ οἰκονομίαν σημαίνοντες, καὶ τὴν εἰς θεότητα αὐτοῦ συντείνουσαν βλασφημίαν ἐκκλίνοντες, οὐκ ἄλλον δὲ πιστεύοντες εἶναι τὸν ἐκ Πατρὸς Υἱόν, καὶ ἄλλον τὸν γενόμενον σάρκα καὶ σταυρωθέντα· ἐπεὶ μήποτε διαζεύγνυσθαι ἑαυτῆς, μηδὲ τρέπεσθαι πέφυκεν ἡ θεό-

της. Οὐδὲ γὰρ ὁ ἀπόστολος δύο ἐνόησεν ἄν, εἰπών· «Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκὶ» (Α' Πέτρ. 4,1). Καὶ ὁ Ἱεροψάλτης γὰρ τὸ ἀπόρρητον τοῦτο μυστήριον τῆς οἰκονομίας καὶ κρύπτων πως καὶ ἀναπεπταμένως ἐκφαίνων, καὶ καλύπτων μᾶλλον ἢ ἀγνοῶν, καὶ ἀγνοῶν μᾶλλον ἢ καλύπτων, ἐν ΡΗ' Ψαλμῷ ὁμοιότροπον τοῦ μνημονευθέντος ῥήματος Πέτρου προφητεύει· «Καὶ γνώτωσαν, ὅτι ἡ χείρ σου αὕτη· καὶ σύ, Κύριε, ἐποίησας αὐτήν»· διὰ μὲν τὸ ὁμοουσίως συνυπάρχειν τῷ Πατρί, καὶ πάντα γεγενῆσθαι πρὸς αὐτοῦ, χεῖρα τοῦ Πατρὸς προσαγορεύων τὸν Θεὸν Λόγον. Διὰ δὲ τοῦ ἀτρέπτως σάρκα, ὡς οἶδε καὶ ἠθέλησε, γεγενῆσθαι, λέγων αὐτὸν πεποιῆσθαι παρ' ἐκείνου, οὗ χείρ ἐστι» (39, 844Α/C· «Περὶ Τριάδος»).

3) Περὶ Ἁγίου Πνεύματος. Τὴν περὶ Ἁγ. Πνεύματος διδασκαλίαν τοῦ Διδύμου εὑρίσκει τις λεπτομερῶς ἐκτιθεμένην ἐν τῇ διδακτορικῇ διατριβῇ τῆς Edeltraut Staimer, δυστυχῶς δακτυλογραφημένην καὶ τὴν ὁποίαν δανεισθέντες τῇ μεσιτείᾳ τοῦ Goethe Institut ἐκ τῆς Πανεπιστημιακῆς Βιβλιοθήκης τοῦ Μονάχου, ἔχομεν ἐνώπιόν μας. Διὰ τὸν Δίδυμον, ὡς καὶ διὰ τὸν Μ. Ἀθανάσιον, ἡ περὶ Ἁγ. Πνεύματος διδασκαλία ἵσταται εἰς ἄμεσον σχέσιν μετὰ τῆς περὶ τοῦ Υἱοῦ. Ὁ Δίδυμος ἀφιέρωσε τὸ δεύτερον βιβλίον τοῦ ἔργου του «Περὶ Τριάδος», ἀλλὰ καὶ εἰδικὸν ἔργον ὕστερον «De Spiritu Sancto» διὰ ν' ἀποδείξῃ τὴν θεότητα καὶ ὁμοουσιότητα καὶ ἰσότητα τοῦ Ἁγ. Πνεύματος πρός τε τὸν Πατέρα καὶ τὸν Υἱόν. Ἐκ τούτου δικαίως ἀπεδόθη αὐτῷ ὁ τίτλος τοῦ «Θεολόγου τοῦ Ἁγ. Πνεύματος», ἡ δ' ἐν Φλωρεντίᾳ σύνοδος (1438) ἐξῆρεν ἰδιαιτέρως τὴν πολλαπλῆν καὶ σαφῆ μαρτυρίαν αὐτοῦ τῆς ἐκ τοῦ Πατρὸς ἐκπορεύσεως καὶ τῆς δι' Υἱοῦ πέμψεως τοῦ Ἁγ. Πνεύματος. Ἐναντίον τῆς τῶν Ἀρειανῶν κακοδοξίας, ὅτι τὸ Πνεῦμα εἶναι «κτίσμα», ἐπανειλημμένως διαβεβαιοῖ ὅτι τὸ Πνεῦμα δὲν εἶναι «κτίσμα» ἀλλὰ Θεός, ὡς ὁ Υἱός· «Ὀφείλεσθαι δὲ αὐτῷ δόξαν οὐκ ἐκ τῆς μνημονευθείσης ἐν τοῖς προάγουσι μόνον τοῦ Κυρίου δεδιδάγμεθα παραδόσεως, ἀλλὰ διαφόρως· ὡς ὅταν Πέτρος γράφῃ (Α' Πέτρ. 4,14)· «Εἰ ὀνειδίζεσθε ἐν ὀνόματι Χριστοῦ, μακάριοι· «ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ Θεοῦ Πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται»· καὶ ὡς ἡνίκα τὸν ὀφθέντα τῷ Ἡσαΐᾳ ἐπὶ θρόνου θεϊκοῦ ἐπηρμένον καὶ δοξαζόμενον βασιλέα καὶ Κύριον δυνάμεων, ὁ Ἀπόστολος τὸ ἅγιον δείκνυσι Πνεῦμα· καὶ ὡς ὅταν ὁ αὐτὸς ἐπιστέλλῃ κοινωνίαν εἶναι φάσκων τῷ Πνεύματι πρὸς τὸν Πατέρα καὶ τὸν Υἱόν, δῆλον δὲ ὅτι θεότητος, καὶ βασιλείας, καὶ δόξης, ὡς προείρηται καὶ αὖθις ῥηθήσεται» (39, 741C/D)· Περὶ Τριάδος, βιβλ. 2,23). Καὶ κατωτέρω· «Ὅτι δὲ καὶ συμπροσκυνεῖται τῷ Πατρὶ καὶ τῷ Υἱῷ, ὁ προπάτωρ ἐδίδαξεν ἐν τῇ δρυῒ τῇ Μαμβρῇ, τὴν ἁγίαν ὁμοτίμως δεξιωσάμενος καὶ προσκυνήσας Τριάδα, ἐν τῷ πρώτῳ εἴρηται λόγῳ» (39, 744-5).

Τὴν περὶ Ἁγ. Πνεύματος ὀρθοδόξως διατετυπωμένην διδασκαλίαν τοῦ Διδύμου βλέπομεν οἱονεὶ συγκεφαλαιουμένην ἐν τῷ «Περὶ Τριάδος» ἔργῳ του, βιβλ. 2, κεφ. 8 ἑ. (39, 600-601 ἑ.)· «Μετὰ δὴ τὴν θείαν φύσιν καὶ ἐνέργειαν τοῦ Πνεύματος τοῦ Θεοῦ, τρανέστατα κομιδῇ περὶ τῆς αὐτεξουσιότητος αὐτοῦ καὶ ἐθελουσίου διανομῆς τὰ λόγια διαλέγονται. Α'. Ὅτι οὐ διακονικῶς, ἀλλ' αὐθεντικῶς, πάντα ποιεῖ καὶ παρέχει, καθὼς βούλεται, τὰ χαρίσματα, ὅσαπερ ἂν ἡ ἄφραστος, καὶ ὑπερούσιος, καὶ μόνη χαρίσαιτο φύσις· καὶ ἐνεργεῖ ὅσα ἐθέλει, καὶ πνεῖ ὅπου προήρηται· βούλεται δέ, ὅπερ ὁ Πατὴρ καὶ ὁ Υἱός· καὶ πνεῖ ὁμοίως ἔνθα θέλει καὶ ὁ Πατὴρ καὶ ὁ Υἱός· πληροῦν τὴν ἄφθονον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, καὶ ἑαυτοῦ μίαν βούλησιν· καὶ μηδέν, μηδὲ αὐτῶν τῶν ἀμυδρὰν ἐχόντων ζωήν, ἔρημον ἀπολιμπάνον τῆς ἑαυτοῦ προνοίας. Προϊστάμενον γὰρ τῆς ἑαυτοῦ ποιήσεως, ἅτε ὂν αὐτοάγαθον, καὶ ἅτε συνεργὸν τοῦ ἀγαθοῦ Δημιουργοῦ, πάντα ἐφορᾷ, καὶ οὐδὲν παραβλέπει, πανταρκὲς ὑπάρχον, καὶ θεϊκὰ δωρήματα διανέμον. Τῷ γὰρ «ἑνὶ ἀγαθῷ», οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίνεται φθόνος· ἀλλ' εὐεργεσίαις μᾶλλον δείκνυσι τὴν ἐξουσίαν. Καὶ διὰ τοῦτο ἓν θέλημα, καὶ μίαν ἐξουσίαν καὶ δύναμιν τῆς Τριάδος εἶναι λέγομεν. Ὧν δὲ θέλησις καὶ ἐξουσία καὶ ἐνέργεια μία, ἄρα μία καὶ ἡ θεότης. Τὸ γὰρ πάντα ἐνεργοῦν κατ' ἐξουσίαν ἰδίαν, καὶ παρὸν ἐν τοῖς καθ' ἕκαστον, τῆς ἐπὶ πάντων ἐστὶ μιᾶς καὶ ἀκηράτου φύσεως, οὐκ ἔχον ἔν τινι τὸ ἐλλεῖπον, οὐδὲ ποιοῦν ὃ μὴ θέλει· ἀλλ' οὐδὲ ποιοῦν ὃ μὴ θυμῆρες τῷ Πατρὶ καὶ τῷ Υἱῷ. Καὶ ὃν τρόπον ἀπαράλλακτον πρὸς τὸν Πατέρα μετὰ τῶν ἄλλων ἀποδείξεων δείκνυσι τὸν Υἱόν, καὶ τὸ «ὅσα ἂν ποιῇ ὁ Πατήρ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»· οὕτω καὶ τὸ Ἅγιον Πνεῦμα, σὺν τοῖς ἄλλοις καὶ τὸ πάντα ἐνεργεῖν καὶ δωρεῖσθαι καθὼς βούλεται καὶ πνεῖν ἔνθα προήρηται...». Σημειωθήτω, ὅτι χωρία τινὰ τοῦ Διδύμου παρερμηνευθέντα ἐθεωρήθησαν ὡς ἐκφράζοντα, κατὰ τὴν Ῥωμαιοκαθολικὴν ἀντίληψιν, τὴν ἐκπόρευσιν τοῦ Ἁγ. Πνεύματος καὶ ἐκ τοῦ Υἱοῦ. Φέρ' εἰπεῖν τὸ χωρίον (39, 629Α)· «Ὅτι μετὰ τοῦ Θεοῦ Πατρὸς τὸ Ἅγιον αὐτοῦ Πνεῦμα ἀποστέλλει καὶ ὁδηγεῖ αὐτεξουσίως· καὶ γάρ ἐστιν ἀληθῶς ἔργον φιλάνθρωπον τῆς πανσόφου καὶ ἀγαθωτάτης Τριάδος, ἡ εἰς εὐσεβῆ βίου τρίβον ἀποστολή, καὶ ὁδηγία, καὶ ἡ περὶ πάντας χρηστότης. Ὧν δὲ ἡ αὐτὴ ὁδηγία καὶ γαληνότης, ἡ αὐτὴ καὶ οὐσία». Προδήλως ὁ Δίδυμος ὁμιλεῖ οὐχὶ περὶ ἐκπορεύσεως, ἀλλὰ περὶ «ἀποστολῆς» καὶ ὅτι τὸ κύριον θέμα του ἦτο ν' ἀποδείξῃ τὸ «ὁμοούσιον» τοῦ Ἁγίου Πνεύματος μετὰ τοῦ τε Πατρὸς καὶ τοῦ Υἱοῦ. Λεπτομερέστερον περὶ τῆς διδασκαλίας τοῦ Διδύμου περὶ Ἁγ. Πνεύματος, ὅρα Staimer σ. 50 ἑ.

4) Περὶ Ἐκκλησίας. Γενικῶς περὶ Ἐκκλησίας ταῦ-

τα λέγει ὁ *Δίδυμος* (39, 1296A/B· «Εἰς τοὺς Ψαλμούς»)· «Καὶ ἡ *καθολικὴ* δὲ Ἐκκλησία πρὸς τῶν πιστῶν οἰκουμένη, μετ' αὐτῶν τῶν οἰκούντων αὐτοῦ ἐστιν, φρονούντων τε καὶ βιούντων ἐκκλησιαστικῶς. Ἥτις ἀμετακίνητον ἔχει τὴν ἕδραν, ὅταν τῆς τῶν πειρασμῶν ἁλμυρίδος καὶ τρικυμίας προσβαλόντων, ἄσειστος ἐπιμείνῃ τῇ πίστει. Ταύτην δὲ καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν εὐτρεπῆ ποιήσας διὰ τῆς θείας νομοθεσίας πρὸς ὑποδοχὴν τοῦ Ἁγίου Πνεύματος, ἀφ' οὗ καθάπερ ἐκ πηγῆς τὰ ποικίλα χαρίσματα ῥέουσι ποταμοὶ ὕδατος ζῶντος». Ἀλλαχοῦ (39, 557B/C) καλεῖ τὰς Ἐκκλησίας «Νεάνιδας», ἑρμηνεύων τὸ χωρίον τοῦ Ἄσματος τῶν ᾀσμάτων 1,3 «Μύρον ἐκκενωθὲν ὄνομά σου· διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε». Μύρον ὄνομα εἶναι τῷ Χριστῷ λέγει τὸ τοῦ Παρακλήτου· ἐπειδὴ ἄμφω αἱ ὑποστάσεις τοῦ τε ὀνόματος κοινωνοῦσιν, καὶ ἐν ἑαυταῖς τὴν τοῦ Θεοῦ καὶ Πατρὸς εὐωδιάζουσι φύσιν. *Νεάνιδας δὲ τὰς Ἐκκλησίας λέγει*, ἐν αἷς δοξάζεται». Εὐθὺς κατωτέρω καλεῖ τὴν Ἐκκλησίαν «νύμφην» καὶ τὴν κεφαλὴν αὐτῆς «νυμφίον». Καὶ περαιτέρω ὀνομάζει τὴν Ἐκκλησίαν «ὄρος», διερμηνεύων τὸ τοῦ Ἡσ. 25, 6-7· «*Ὄρος* γὰρ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, διὰ τὸ ὑψηλὸν τῆς πίστεως· οἶνον, τὸ δεσποτικὸν σωτήριον αἷμα· μύρον, ὃ ἁγιασθέντες ἀλειφόμεθα ὑπὸ τοῦ ἱερέως, προανεφώνησεν» (39, 557C). Ἀλλαχοῦ πάλιν καλεῖ τὴν Ἐκκλησίαν «θυγατέρα» Θεοῦ, ἧς βασιλεὺς καὶ Κύριος ὁ Χριστὸς (39, 1360 A/D). Ἐπίσης «περιστερὰν» καλεῖ ταύτην, λέγων· «ὥστε εἶναι περιστεράν, τελεία τοῦ Λόγου ἡ ἔνδοξος Ἐκκλησία ἐστίν, ἡ μὴ ἔχουσα σπῖλον ἢ ῥυτίδα, ἤ τι τῶν τοιούτων» (39, 1372) καὶ «τελείαν νύμφην» (αὐτόθι) καὶ «πόλιν Θεοῦ» καὶ «Ἱερουσαλὴμ ἐπουράνιον» (39, 1373) καὶ «πνευματικὸν παράδεισον». Ἀλλαχοῦ καλεῖ τὴν Ἐκκλησίαν «σελήνην» διὰ πρώτην ἴσως φοράν, οὕτω πως ἐπεξηγῶν τὸν ἀποδιδόμενον ὅρον· «Ἐλέγομεν τὴν σελήνην τὴν Ἐκκλησίαν δηλοῦν. Ἡ γὰρ σελήνη νόθον ἐξ ἡλίου δέχεται φῶς, καὶ μὴ οἴκοθεν ἔχει· ὡς ἡ Ἐκκλησία ὅσον ἐστὶν ἐπὶ γῆς, ἐκ μέρους γινώσκει, καὶ οὐ γνησίως ὅλη πεφώτισται, λήγουσά ποτε ἐσομένη κατὰ τὸν ἥλιον, ὅτε τὸ τέλειον καὶ πρόσωπον πρὸς πρόσωπον ἔλθῃ, ὅτι καὶ ἡ σεληνιακὴ κατάστασις τῆς Ἐκκλησίας ἀναρρηθήσεται κατὰ τὸν ἥλιον τῆς δικαιοσύνης ἐσομένης, ἐκλαμψάντων ὡς ὁ ἥλιος τῶν συμπληρούντων τὴν Ἐκκλησίαν δικαίων ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν» (39, 1465/68). Καὶ «μητέρα» ὀνομάζει τὴν Ἐκκλησίαν· «Μήτηρ δὲ ἡμῶν ἡ Ἐκκλησία, ἧς νυμφίος ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς» (39, 1024C· «Εἰς τὰς Παροιμίας»). Καὶ «βασιλὶς» καὶ «σῶμα» Χριστοῦ καλεῖται: «Ἡ Ἐκκλησία οὐ μερίζεται τὰ ἱμάτια, οὐδὲ κλῆρον βάλλει ἐπ' αὐτοῖς. Ὅλα γὰρ ἔχει καὶ ἐνδέδυται παραστᾶσα ἐκ δεξιῶν Ἰησοῦ οἷα *βασιλὶς* ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. Ὑπεραναβᾶσα δὲ ταῦτα τὰ ἱμάτια, καὶ αὐτὸν Ἰησοῦν ἐνδύσεται, ὄντα

σοφίαν καὶ δύναμιν Πατρός, σοφὴ καὶ δυνατὴ γινομένη» (39, 1281D). Ἐπιθυμῶ τέλος νὰ σημειώσω, ὅτι διὰ πρώτην φορὰν ἴσως ὑπὸ τοῦ Διδύμου ἡ «κολυμβήθρα» χρησιμοποιεῖται ὡς ὅρος, πρὸς μεταφορικὴν ἑρμηνείαν· «Ἔστι γὰρ ἡ κολυμβήθρα τῆς Τριάδος, ἐργαστήριον πρὸς σωτηρίαν πιστῶν πάντων ἀνθρώπων· καὶ τοὺς λουομένους ἐν αὐτῇ, τοῦ δήγματος ἀπαλλάττει τοῦ ὄφεος, καὶ μήτηρ πάντων γίνεται, τῷ Ἁγίῳ Πνεύματι μένουσα Παρθένος» (39, 692A). Προφανῶς διὰ τῶν ὅρων «κολυμβήθρα», «μήτηρ» καὶ «Παρθένος» ὑποδηλοῦται ἡ Ἐκκλησία.

5) Περὶ προπατορικοῦ ἁμαρτήματος καὶ βαπτίσματος. Ὁ Δίδυμος τὴν πτῶσιν τῶν πρωτοπλάστων καλεῖ «πάλαι ἁμαρτίαν», ἐξ ἧς ἐκαθάρισεν ἡμᾶς ὁ Κύριος διὰ τοῦ ἐν τῷ Ἰορδάνῃ βαπτίσματός Του· «Καὶ τοῦ Δεσπότου δὲ βαπτιζομένου ἐν τῇ οἰκονομίᾳ ἐπὶ τῷ τόν τε δράκοντα, τὸν ἐπὶ τοῖς ὕδασι δεξάμενον τὸν Ἰορδάνην, ἐν τῷ στόματι, ὡς ἱστορεῖ αἰνιγματωδῶς ὁ Ἰώβ, θανατῶσαι, τόν τε ἡμέτερον ἀποσμῆξαι ῥύπον, καὶ τὴν παλαιὰν συγχωρῆσαι ἁμαρτίαν, καὶ ποιῆσαι πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, ἅμα δὲ καὶ διδάξαι πάντας, τὴν παλιγγενεσίαν ἀνθρώποις εἶναι σωτηρίαν· παρῆν τὸ Πνεῦμα τὸ Ἅγιον ὡς ὁ Πατήρ. Ὁ μὲν γὰρ ἐξ οὐρανῶν ἐμαρτύρει τῇ γνησιότητι τοῦ οἰκείου τόκου· τὸ δὲ ἅγιον Πνεῦμα, ἀνοιχθέντων αὐτῷ, ὡς βασιλεῖ καὶ ἀνωτέρῳ τῆς ἀγγέλων φύσεως ὄντι, τῶν οὐρανῶν, κατελθόν, ἐπέμενεν ἐπὶ τὸν Υἱὸν τοῦ Θεοῦ» (39,684/5). Τὸ προπατορικὸν ἁμάρτημα μεταδίδεται κληρονομικῶς εἰς πάντας τοὺς ἀνθρώπους «κατὰ διαδοχήν»· «...τῇ ἁμαρτίᾳ, ἧπερ καὶ οἱ ἐκ τοῦ Ἀδὰμ πάντες κατὰ διαδοχὴν ὑπῆρχον». («Κατὰ Μανιχαίων» 39,1096B). Διὰ τοῦτο καὶ ὁ Σωτὴρ ἔλαβε σῶμα «ἐκ μόνης τῆς Παρθένου», ἵνα ἄρῃ τὴν ἁμαρτίαν τοῦ κόσμου· «Ὁμοίωμα οὖν τῆς σαρκὸς ταύτης εἶχεν ὁ Σωτήρ», εἰ καὶ μὴ εἶδεν ἡ σάρξ αὐτοῦ διαφθοράν. Ἀλλ' ἐπιδημήσαντος τοῦ Σωτῆρος, ὡς ἀπὸ τῶν ἄλλων πραγμάτων ἀφαίρεσις ἁμαρτίας γέγονεν, οὕτω καὶ ἀπὸ τοῦ γάμου» (39,1096C). Προηγουμένως εἶχεν εἴπει· «Ἡ πάντων ἀνθρώπων σὰρξ ἐκ συνδυασμοῦ ἔχει τὸ εἶναι, δίχα τοῦ πρωτοπλάστου, καὶ οὗ ἀνέλαβεν ὁ Σωτήρ». «Ἔδει γὰρ τὸν ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων ἐρχόμενον, μὴ ἐκ συνδυασμοῦ σῶμα λαβεῖν» καὶ «μόνῳ τούτῳ λειπομένη τῶν ἄλλων σαρκῶν, τὸ ἄνευ ἀνδρὸς ἐσχηκέναι τὴν ὕπαρξιν» (39,1096A/C).

Ὁμιλῶν ὁ Δίδυμος περί τε τῶν ἀρνητικῶν καὶ τῶν θετικῶν σωτηριωδῶν καὶ ἀνακαινιστικῶν ἀποτελεσμάτων τοῦ Βαπτίσματος λέγει· «Ἐπανίωμεν δὲ πάλιν ἐπὶ τὴν μεγαλόδωρον τοῦ Ἁγίου Πνεύματος θεότητα. Ἀνακαινίζει τοίνυν ἡμᾶς τὸ Ἅγιον Πνεῦμα ἐν τῷ βαπτίσματι, ὡς Θεός, σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ, καὶ ἀπὸ τοῦ ἀκαλλοῦς εἰς τὸ πρεσβύτερον ἀνάγει κάλλος, καὶ τῆς ἑαυτοῦ πίμπλησιν χάριτος, ὡς μηδὲν ἔτι τῶν ἀνεράστων δύνασθαι

χωρεῖν· καὶ ἐλευθεροῖ ἀπὸ τῆς ἁμαρτίας καὶ τοῦ θανάτου· καὶ ἀπὸ χοϊκῶν, ὅ ἐστιν ἀπὸ γῆς καὶ σποδοῦ, ποιεῖ πνευματικοὺς καὶ μετόχους θείας δόξης καὶ υἱοὺς καὶ κληρονόμους τοῦ Θεοῦ καὶ Πατρός, συμμόρφους τε τῆς εἰκόνος τοῦ Υἱοῦ, καὶ συγκληρονόμους αὐτοῦ, καὶ ἀδελφοὺς συνδοξασθησομένους καὶ συμβασιλεύσοντας αὐτῷ· καὶ ἀντὶ γῆς πάλιν δωρεῖται τὸν οὐρανόν, καὶ τὸν παράδεισον ἀφθόνως χαρίζεται· καὶ ἀγγέλων ἤδη ποιεῖ τιμιωτέρους· καὶ τοῖς θείοις τῆς κολυβήθρας ῥείθροις τὴν τοσαύτην τῆς γεέννης ἄσβεστον κατασβέννυσι φλόγα. Διτταὶ γὰρ γίνονται κυήσεις ἀνθρώποις, ἡ μὲν ἐκ σώματος ἡμετέρου, ἡ δὲ ἐκ τοῦ θείου Πνεύματος» (39,668-9).

Τὴν διὰ τοῦ Βαπτίσματος ἀπαλλαγὴν ἐκ τοῦ προπατορικοῦ ἁμαρτήματος καὶ τὴν δι' αὐτοῦ ἀπόσβεσιν τῶν προσωπικῶν ἁμαρτιῶν, σαφῶς διδάσκει ὁ Δίδυμος, ἐν οἷς λέγει· «Καταδύοντες μὲν γὰρ ἐν τῇ κολυμβήθρᾳ εὐδοκίᾳ τοῦ Θεοῦ καὶ Πατρὸς γυμνούμεθα, τῇ χάριτι τοῦ Πνεύματος αὐτοῦ, τῶν ἁμαρτιῶν, ἀποτιθέμενοι τὸν παλαιὸν ἄνθρωπον, καὶ τῇ βασιλικῇ αὐτοῦ δυνάμει ἀναγεννώμεθα καὶ σφραγιζόμεθα· ἀνιόντες δὲ ἐνδυόμεθά τε τὸν Σωτῆρα Χριστόν, στολὴν ἄφθαρτον καὶ ἰσότιμον τοῦ ἀναγεννήσαντος καὶ σφραγίσαντος ἡμᾶς Ἁγίου Πνεύματος («Ὅσοι γάρ, φησίν, εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε» (Γαλ. 3,27) καὶ τὴν γεγραμμένην εἰκόνα καὶ ὁμοίωσιν τοῦ Θεοῦ ἀπολαμβάνομεν, ἣν ἐδεξάμεθα διὰ τοῦ θεϊκοῦ ἐμφυσήματος, καὶ ἀπωλέσαμεν διὰ τοῦ ἁμαρτήματος· καὶ αὖθις εὑρισκόμεθα, οἷοί περ ἐπὶ τοῦ πρωτοπλάστου ἐγεννήθημεν, ἀναμάρτητοι καὶ αὐτεξούσιοι» (39,680 A). Τὸ Βάπτισμα εἶναι ἀπολύτως ἀναγκαῖον καὶ ἀπαραίτητον, διότι· «ἀοράτως ἐν τῷ ὕδατι ὁ Χριστὸς καὶ τὸ Ἅγιον Πνεῦμα καὶ οὐδέποτε παρ' οὐδενὶ ἄνευ τοῦ βαπτιστικοῦ ὕδατος ὁ Χριστὸς καὶ τὸ Ἅγιον Πνεῦμα» (39,689 C). Καὶ «Δίχα δὲ τοῦ ἀναγεννηθῆναι βαπτίσματι ὑπὸ τοῦ Πνεύματος τοῦ Θεοῦ, καὶ σφραγισθῆναι τῷ ἁγιασμῷ, καὶ ναὸς αὐτοῦ γενέσθαι, οὐδεὶς τῶν ἐπουρανίων ἔτυχεν ἀγαθῶν, κἂν τὸν ἄλλον βίον ἄμεμπτος εὑρέθη» (39, 681B). Μόνον τὸ λουτρὸν τοῦ αἵματος δύναται ν' ἀντικαταστήσῃ τὸ βάπτισμα· «Ἀλλὰ καὶ οἱ πρὸ βαπτίσματος μαρτυρῆσαι ἐπιτυχόντες, τῷ ἰδίῳ ἀπολουσάμενοι αἵματι, οὕτως ὑπὸ τοῦ Ἁγίου Πνεύματος τοῦ Θεοῦ ἐζωοποιήθησαν» (αὐτόθι). Ὁ Δίδυμος ἐπισημαίνει τά τε ὁρατὰ σημεῖα τοῦ μυστηρίου τοῦ Βαπτίσματος καὶ τὰς ἀοράτους δωρεὰς τοῦ Ἁγίου Πνεύματος, ἐν οἷς λέγει· «Ὁρατῶς μὲν γὰρ τὸ ὁρατὸν ἡμῶν σῶμα, ἱερέων διακονουμένων ἡ κολυμβήθρα τίκτει· νοητῶς δέ, σῶμα ὁμοῦ καὶ ψυχήν, ἀγγέλων ὑπηρετουμένων, τὸ πάσαις νοήσεσιν ἀόρατον πνεῦμα τοῦ Θεοῦ βαπτίζει εἰς ἑαυτὸ καὶ ἀναγεννᾷ» (39, 672B). Ἐν κεφαλαίῳ ΙΕ' τοῦ «Περὶ Τριάδος» ἔργου ὁ Δίδυμος ὁμιλεῖ περὶ τοῦ ἀκύρου βαπτίσματος τῶν αἱρετικῶν, οἵτινες «μετερχόμενοι τοίνυν εἰς τὴν ὀρθοδοξίαν, κἂν τυχὸν ὦσιν βεβαπτι-

σμένοι, βαπτίζονται μὲν (οὐ γὰρ λέγομεν ἀναβαπτίζονται ἐπειδὴ μὴ ἔχουσι τὸ ἀληθὲς βάπτισμα). Καὶ περὶ τοῦ μυστηρίου τοῦ Χρίσματος, λέγει· «Χρίονται δὲ οἱ ἀπὸ πάσης αἱρέσεως μετερχόμενοι, ἐπειδὴ οὐκ ἔχουσι τὸ ἅγιον Χρίσμα. Ἐπίσκοπος δὲ μόνος τῇ ἄνωθεν χάριτι τελεῖ τὸ Χρίσμα» (39,720-1).

6) Περὶ τῆς Παρθένου Μαρίας. Τὴν Μητέρα τοῦ Κυρίου ὁ Δίδυμος καλεῖ κατὰ προτίμησιν «Παρθένον» (39,304A)· «...Ἐκεῖνος ὁ ὤν, ὃν καὶ ἐν τῇ μήτρᾳ σὲ ὄντα τῆς Παρθένου...». Καὶ «Καθὰ οὖν αὐτοῦ ἡ τῆς ἐνανθρωπήσεως κάτω γέννησις ἑτέρᾳ γεννήσει οὐ συγκρίνεται (ἐκ Παρθένου γὰρ ἄρρευστος, ἀπήμαντος, ὅπερ ἡ φύσις ἡμῶν οὐκ ἔχει), οὕτω καὶ ἡ ἄνω γέννησις ἀκατάληπτος ὑπὲρ τὸ πλέον, καὶ πᾶσαν ἐξαλλάττουσα γέννησιν ὑπάρχει» (39,309C). Καὶ εὐθὺς κατωτέρω· «Πῶς παρθένος ἔτεκε μείνασα παρθένος, μήτε δὲ τὴν ἰδίαν ἡμῶν γέννησιν ἐπισταμένοις· ὅπου γε καὶ τὴν καθ' ἡμᾶς εἰ ἐγινώσκομεν, οὐ πάντως καὶ τὴν τοῦ Θεοῦ, ἥτις καὶ τοῖς ἐπουρανίοις δυνάμεσιν ἀκατάληπτος οὖσα τυγχάνει» (39,309Σ). Καὶ «ὑπὸ τῆς Παρθένου ἐκυοφορήθη» (39,372B) ὁ Θεὸς Λόγος. Ὁμοίως ἐν 39,397B· «Ὁ Υἱὸς τοῦ Θεοῦ ἐνανθρωπήσας, ἐγεννήθη παιδίον καὶ ἐδόθη ἡμῖν... αὐτὸς ἑαυτοῦ ἀρχὴ τυγχάνων, ἐν τῷ ἀρρεύστως ὑπὸ Παρθένου, καὶ ἐξ ἀρχῆς ἀρρήτως σαρκωθέντα τεχθῆναι, συνουσίας ἀνδρὸς ἀρχὴν οὐ παρασχομένης». Σαφῶς δ' ἐπίσης διακηρύττει ὁ Δίδυμος τὴν ἀειπαρθενίαν τῆς Θεοτόκου, λέγων· «κεκηρύχθαι δὲ ἐν τῷδε τῷ παντὶ καὶ πεπιστεῦθαι, ὅτι παρ' ὁ ἐκ τοῦ ἀρρήτου φωτὸς ἀχρόνως ἐκλάμψας, ἀπὸ τῆς Ἀειπαρθένου ἐν ὑστέροις καιροῖς διὰ φιλανθρωπίαν ἀφράστως ἐτέχθη, τὰ πατρικὰ πάντα ἐκφήνας ἐν ἑαυτῷ» (39,404C) Καὶ ἐν 39,832C σαφέστερον ἀναπτύσσει τὴν ἀειπαρθενίαν τῆς Θεομήτορος, ἐν οἷς λέγει· «Συναντιλαμβάνεται δὲ ἡμῖν, εἰς μὲν τὸ «Πρωτότοκος» καὶ «Μονογενής», τὸ διηγήσασθαι τὸν εὐαγγελιστήν, ὅτι ἔμεινε παρθένος, «ἕως ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον». Οὔτε γὰρ ἐγαμήθη τινὶ ἡ τιμιωτέρα πάντων καὶ εὐκλεεστάτη Μαρία, οὔτ' ἄλλου μήτηρ ἐγένετό ποτε· ἔμεινε δὲ καὶ μετὰ κυοφορίαν ἀεὶ καὶ διὰ παντὸς ἄμωμος παρθένος». Ἐπίσης «ἀδελφὸς ἡμῶν καὶ πρωτότοκος ἐκλήθη, οὐ κατὰ τὴν ἐκ Πατρὸς φύσιν, ἀλλὰ κατὰ τὴν ἐκ τῆς Παρθένου καὶ κατὰ τὴν Παρθένον σάρκωσιν αὐτοῦ» (39,840A). Σημειοῦμεν ἐπίσης ὅτι τὴν Μητέρα τοῦ Κυρίου ὁ Δίδυμος καλεῖ ἀδιστάκτως «Θεοτόκον», λέγων· Γαβριὴλ μὲν παρὰ Λουκᾷ εὐαγγελιζόμενος τὴν Θεοτόκον» (39,421B).

Σημειοῦμεν δ' ἰδιαιτέρως ὅτι οἱ θεολογικοὶ ὅροι, οἱ τηλικαύτην σπουδαιότητα προσλαβόντες ἐν τῇ Ἱστορίᾳ τοῦ χριστολογικοῦ δόγματος, ἤτοι «παρθένος—ἀειπάρθενος», «θεοτόκος», «ὁμοούσιος—ἑτεροούσιος», «μία φύσις—οὐσία», «τρεῖς ὑποστάσεις— πρόσωπα», «παρθένος ἐν

τόκῳ» (in partu) καὶ «παρθένος μετὰ τόκον» (post partum), εἶναι Ἀλεξανδρινῆς προελεύσεως καὶ λίαν πιθανῶς ὑπ᾽ αὐτοῦ τοῦ Ὠριγένους τὸ πρῶτον εἰσαχθέντες. Ὅτι δὲ ἡ νέα Πλατωνικὴ φιλοσοφία, ἡ διὰ τοῦ Φίλωνος, ἐπέδρασε τὰ μέγιστα εἰς τὴν Ὠριγένειον σκέψιν πρὸς ἐφαρμογὴν τῶν ὅρων τούτων καὶ ἄλλων πολλῶν, εἰς ἑρμηνείαν τῶν διὰ Χριστοῦ καὶ ἐν Χριστῷ πιστευτέων δογματικῶν ἀρχῶν, περιττὸν καὶ νὰ εἴπωμεν.

7) Περὶ τοῦ ἀνθρώπου. Ἡ ἀνθρωπολογία τοῦ Διδύμου προδίδει ἐμφανέστερον τὴν ἐπ᾽ αὐτοῦ ἐπίδρασιν τοῦ Ὠριγένους. Εἰ καὶ ὁ Δίδυμος φαίνεται ἐνιαχοῦ δεχόμενος διούνθετον τὸν ἄνθρωπον, ὡς ἐν «Εἰς τοὺς Ψαλμοὺς» (39,1520B/C) καὶ ἐν De Spir. Sancto (39,1079, κ. 54): («Εἰ καὶ μὴ ἄλλος ὁ σύνθετος ἄνθρωπος παρὰ τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐξ αὐτῶν γὰρ τούτων συντέθειται, ἀλλά γε τοῦ ὅλου ἡ ψυχὴ λέγεται, ὡς ἄλλη αὐτοῦ. Ὁ σύνθετος οὖν ἐστιν παρορμῶν τὴν ἑαυτοῦ ψυχὴν ἐπὶ τοῦ εὐλογεῖν τὸν Κύριον. Καὶ οἱ τὴν ψυχὴν δὲ λέγοντες εἶναι τοῦ Πνεύματος, οὐχ ὡς ψύχουσαν αὐτῷ φασιν, ἀλλ᾽ ὡς ὑπ᾽ αὐτῷ καὶ τὴν αὐτοῦ κηδεμονίαν τυγχάνουσαν»), ἐν τούτοις ἀλλαχοῦ ὁ Δίδυμος φαίνεται ἀποδεχόμενος, ἀκολουθῶν καὶ οὗτος τῷ Ὠριγένει καὶ τῷ Πλάτωνι, ὅτι ὁ ἄνθρωπος εἶναι τρισύνθετος καὶ ὅτι τρία τινὰ πρέπει νὰ διακρίνωμεν ἐν τῷ ἀνθρώπῳ, ἤτοι τὸν «νοῦν» (λογικόν), τὴν «ψυχὴν» (τὴν ζωοποιοῦσαν αὐτὸν) καὶ τὸ «σῶμα» (τὴν τῆς σαρκὸς φύσιν) (De Spir. Sancto 39,1079/C 82 κεφ. 54,55,59. «Περὶ Τριάδος» 39,288 A· «Καὶ γὰρ οὐ βουλήσει μὲν τῇ ἑαυτῶν, ἀλλὰ τῇ τοῦ Θεοῦ κτώμεθα τῷ συνεστάναι ἐκ ψυχῆς καὶ σώματος, καὶ τὸ εἶναι λογικοί». Ὁ Δίδυμος παρέλαβε τὴν κακόδοξον θεωρίαν τοῦ Ὠριγένους περὶ προϋπάρξεως τῶν ψυχῶν καὶ ἐγκλείσεως αὐτῶν, ὡς ἐν φρουρίῳ, ἐν τῷ ἀνθρωπίνῳ σώματι πρὸς καθαρισμόν· «Ψυχὴ καθ᾽ ἑαυτὴν ἐν τῷ νοητῷ ἀπαθὴς ὑπάρχουσα, τοῦ παθαίνεσθαί ποτε αἰτίαν ἔχει τὸ σώματι συνεῖναι, καὶ τὴν ἰδίαν αὐτῆς προαίρεσιν, ἤτουν τῆς γνώσεως τὴν ἔφεσιν. Τὸ μὲν γὰρ σῶμα ἐναποκεκλεισμένην ἔχον αὐτὴν ἐν ἑαυτῷ, ὡς ἐν τυφλῷ φρουρίῳ, διὰ τῶν ὑλικῶν παθῶν ἀπορρηγνύει τῆς τοῦ Θεοῦ ὁμιλίας, καὶ καταφέρει πρὸς γῆν καὶ τὰ γῆς, οἶμαι, φροντίσματα· καὶ οὕτω κατακρατεῖν ἐπιχειρεῖ τῆς φύσει κρείττονος, καὶ τοσούτῳ κρείττονος, ὅσον τὸν ἀθάνατον τοῦ θνητοῦ» («Περὶ Τριάδος», 39,773-6. Πρβλ. καὶ Enarr. in Epist. Petr. I, 1).

8) Περὶ ἀποκαταστάσεως. Ὁ Δίδυμος κατεκρίθη, ὡς εἴδομεν, ὑπὸ πλειόνων συνόδων, ὡς ἀποδεχθεὶς κακοδοξίας τινὰς τοῦ Ὠριγένους, ἤτοι περὶ προϋπάρξεως τῶν ψυχῶν καὶ ἀποκαταστάσεως τῶν πάντων. Ἐν τούτοις εἰς τὰ διασωθέντα ἔργα του, δυσχερῶς θ᾽ ἀνιχνεύσῃ τις τὰς τοιαύτας κακοδοξίας, οὐδὲ θὰ διαγνώσῃ εὐρεῖαν ἔκθεσιν πρὸς ὑποστήριξιν τῆς τοιαύτης ὠριγενιστικῆς θέσεως.

Πάντως ὁ Ἱερώνυμος δὲν διισχυρίζετο τοιοῦτόν τι, ἂν πράγματι ὁ Δίδυμος ἀντεπροσώπευε τὰ κακοδοξίας ταύτας τοῦ Ὠριγένους (Hieron., Contra Ruf. 1,6). Πλεισταχοῦ ὁμιλεῖ ὁ Δίδυμος περὶ τοῦ ἀσβέστου πυρὸς τῆς κολάσεως, περὶ τῆς αἰωνίας κολάσεως κ.τ.τ. («Περὶ Τριάδος» 39,672A· «βασιλείας οὐρανῶν ἀξιωθῆναι οὐ δύνανται» ὅσοι δὲν ἐβαπτίσθησαν ἐν τῷ ὀνόματι τῆς Ἁγίας Τριάδος. Πρβλ. 39,681B· «Δίχα δὲ τοῦ ἀναγεννηθῆναι βαπτίσματι ὑπὸ τοῦ Πνεύματος τοῦ Θεοῦ... οὐδεὶς τῶν ἐπουρανίων ἔτυχεν ἀγαθῶν, κἂν τὸν ἄλλον βίον ἄμεμπτος εὑρέθη». 39,749C· «Καὶ ὁ Δεσπότης δὲ ἐν Ματθαίῳ, τῷ ἁλόντι ἐπὶ βλασφημίᾳ τοῦ Ἁγίου Πνεύματος, ὡς ἀναπολόγητα πταίσαντι, παρατείνει τὴν κόλασιν, οὐχ ἕως τοῦ παρόντος αἰῶνος ἀλλὰ καὶ τοῦ μέλλοντος». Ὁμοίως ἐν 39,1244D· «ἁμαρτωλοὺς δὲ καθαίρει τὰς πράξεις αὐτῶν καταφλέγων· τὸ δὲ πῦρ εἰ μὴ δέξωνται τοῦτο, καταφλέξει τὸ πῦρ αὐτοὺς τὸ αἰώνιον». 39,1316A· «ὅθεν καὶ ἀναστήσονται οὗτοι εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον». 39,1585B· «Αὐτὸς γὰρ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, τῇ μὲν ἀποθήκῃ τὸν σῖτον διδούς, τῷ δὲ πυρὶ τῷ ἀσβέστῳ τὸ ἄχυρον». Πρβλ. καὶ 39, 1372C, ἔνθα ὁμιλεῖ περὶ μετανοίας ἐν τούτῳ τῷ κόσμῳ· «τὴν γὰρ ἐφ' ἁμαρτίαις ἐξομολόγησιν οὐ τὸν αἰῶνα τοῦ αἰῶνος αὕτη γίνεται, μόνον γὰρ ἐν τούτῳ τῷ αἰῶνι μετανοεῖν ἐξομολογεῖσθαι οἷόν τε»). Πάντα τὰ χωρία ταῦτα ἐμφανίζονται ὅτι ἀποκλείουν τὴν περὶ ἀποκαταστάσεως τῶν πάντων ὠριγένειον κακοδοξίαν. Ἐν τούτοις ὁ Ἱερώνυμος ἐγνώριζε καλῶς, ὅτι ὁ Δίδυμος ἀντεπροσώπευε τὴν ὠριγένειον δόξαν περὶ σωτηρίας τῶν πεπτωκότων ἀγγέλων, ὡς ἐν Enarratio in Epistolam S. Petri 1,39,1759B καὶ ὅτι διὰ Χριστοῦ θὰ λυτρωθῶσιν, 39,1770B/C (αὐτόθι). Ὁ Δίδυμος σαφῶς ἐν τῇ Ἑρμηνείᾳ τῶν Ψαλμῶν (39,1340C) λέγει, ὅτι ἐν τῷ μέλλοντι αἰῶνι ἡ ἁμαρτία θὰ ἐξαφανισθῇ· «Παρελθών, φησί, τῇ διανοίᾳ ἐπὶ τὸν μέλλοντα βίον, οὐκέθ' εὗρον τὸν ἀσεβῆ, ὡς ζητῆσαι τὸν τόπον, καὶ μὴ εὑρίσκεσθαι τοὺς φαύλους μετὰ ταῦτα, οὐ τῆς οὐσίας αὐτῶν ἀφανιζομένης, ἀλλὰ τῆς ποιότητος, καθ' ἣν εἰσιν τοιοῦτοι... Εἰ δὲ περὶ τοῦ Σατανᾶ ταῦτα λέγοιτο, ἐπεὶ ἄρχων τοῦ κόσμου τούτου εἴρηται, παρέρχεται δὲ οὗτος ὁ κόσμος, ζητήσας τις ἐν τῷ μέλλοντι αἰῶνι τὸν τόπον τούτου τοῦ ἄρχοντος, οὐχ εὑρήσει. Εἰ δὲ καὶ ἁμαρτία τόπος ἐστὶ τοῦ διαβόλου κατὰ τὸ «Μὴ δίδοται τόπον τῷ διαβόλῳ», τῆς κακίας ἀφανιζομένης οὐχ εὑρέθη ὁ τόπος τοῦ ἀσεβοῦς». Ὁ Δίδυμος ἀντεπεξερχόμενος κατὰ τῶν Μανιχαίων, δεχομένων δύο ἀρχάς, μίαν τοῦ ἀγαθοῦ καὶ μίαν τοῦ κακοῦ, λέγει· «Αἱ θεῖαι Γραφαὶ κολάσει παραδίδοσθαι, οὐ τοὺς ἀνθρώπους κακοὺς μόνους, ἀλλὰ καὶ αὐτὸν τὸν διάβολον, λέγουσιν. Πᾶν δὲ τῷ κολάσει παραδιδόμενον, τρεπτόν· οὐδὲν δὲ τρεπτὸν ἀγέννητον· οὐδὲν ἄρα τῶν κακῶν ἀγέννητον» (39,1088B). Ὁ Δίδυμος πιστεύει ὅτι ὁσάκις ὁ Θεὸς τιμωρεῖ, τοῦτο πράττει πρὸς σκο-

πους παιδαγωγικούς, πρὸς δοκιμασίαν καὶ πρὸς βελτίωσιν τοῦ ἀνθρώπου. Ἀνταπόδοσις ἢ ἀντεκδίκησις τῆς δικαιοσύνης τοῦ Θεοῦ εἶναι ἀδιανόητοι εἰς τὴν σκέψιν τοῦ Διδύμου. Ἦτο ἑπομένως φυσικὸν νὰ κληρονομήσῃ οὗτος ἀπὸ τοῦ Ὠριγένους καὶ τὴν περὶ καθαρτηρίου πυρὸς κακοδοξίαν. Τὸ «νοητὸν πῦρ» τῆς Θεότητος ἤρχισε τὸν καθαρισμὸν τοῦ ἀνθρώπου διὰ τοῦ ὕδατος τοῦ Βαπτίσματος («Περὶ Τριάδος» 39,672/3)· «Ὀστράκινον γὰρ ὂν τὸ ἀνθρώπινον σκεῦος, δεῖται πρότερον τοῦ ἀπὸ ὕδατος καθαρσίου, εἶτα καὶ τοῦ στερέμνιον αὐτὸ ἀποτελοῦντος νοητοῦ πυρὸς (ὁ γὰρ Θεὸς πῦρ καταναλίσκον), καὶ οὕτω τοῦ ἀπαρτίζοντος καὶ ἀνακαινίζοντος Ἁγίου Πνεύματος· ὁπότε οἶδεν τό τε πῦρ τὸ πνευματικὸν καὶ ἀρδεύειν, τό τε ὕδωρ καὶ ἀναχωνεύειν». Καὶ εὐθὺς ἀμέσως· «.... ὁ ἄνθρωπος, ὁ βαπτίσματος μὴ τυχών, σαρκικός ἐστιν, τοῦτ' ἔστιν ἀμέτοχος φωτὸς ἐπουρανίου (σαφὲς γάρ, ὡς ἡ σάρξ ἐν ὅσῳ ζῇ μετὰ τῆς ἰδίας ψυχῆς νοεῖται)· ὁ δὲ βαπτισθεὶς πνευματικός ἐστιν, ἀντὶ τοῦ, μέτοχος ζωῆς ἀθανάτου» (αὐτόθι).

Λεχθήτω δὲ καὶ τοῦτο. Ὅταν ὁ Δίδυμος ὀνομάζει τὸ ἄσβεστον ἢ αἰώνιον πῦρ καὶ τὴν τιμωρίαν αἰωνίαν, φαίνεται χρησιμοποιῶν τὸν ὅρον «αἰώνιος» οὐχὶ ἐν τῇ κυριολεκτικῇ αὐτοῦ ἐννοίᾳ, ἀλλ' ὡς ἐκφράζοντα «μακρὰν διάρκειαν», θεωρῶν ὅτι τὸ ἐν κυριολεξίᾳ «αἰώνιον» προσιδιάζει φύσει εἰς τὸν ἐν Τριάδι Θεὸν καὶ μόνον, σημαῖνον τότε τὸ ἄχρονον, τὸ ἀτελεύτητον, ἐνῷ διὰ τὰ ὑπὸ τοῦ Θεοῦ δημιουργηθέντα ὄντα-πνευματικά, σωματοψυχικά, καὶ ὑλικὰ τὸ «αἰώνιον» προσλαμβάνει σχετικὴν σημασίαν καὶ ἔννοιαν. Ἰδοὺ πῶς δικαιολογεῖ τὴν ἑρμηνείαν τοῦ «αἰώνιος», ἐπὶ τοῦ Ὠριγένους στηριζόμενος καὶ ἐπὶ τῆς Νεο-Πλατωνικῆς περὶ χρόνου ἀντιλήψεως· «Ἡ κτίσις οὐ καθάπαξ καὶ αὐτοτελῶς τὸ αἰώνιον κέκτηται, πρῶτον μὲν ἐπειδὴ οἴκοθεν τοῦτο οὐκ ἔχει, ἀλλ' ἔτυχεν αὐτοῦ εἰς τὸ ἑξῆς, ἀφ' οὗ ἐγένετο, μεταδόσει τοῦ μόνως καὶ ὑπεραιωνίως (Σημ. καὶ ὁ ὅρος οὗτος ὑπεμφαίνει τὴν περιωρισμένην ἔννοιαν τοῦ «αἰωνίως» τὴν ὁποίαν ἀποδίδει εἰς τὸν ὅρον ὁ Δίδυμος) ὄντος αὐτομάτου Θεοῦ. Ἀγαθὸς γὰρ ὢν οὗτος, δημιουργεῖ· προϊστάμενος τῆς ἑαυτοῦ ποιήσεως, φιλοτιμεῖται αὐτῇ αἰωνιότητα» («Περὶ Τριάδος» 39,516Α). Καὶ κατωτέρω· «Οὐκ εἴ τι αἰώνιον ὁμωνύμως προσηγόρευται, Θεὸς δύναται λέγεσθαι, ἀλλ' εἴ τις Θεός, αἰωνίων ποιητής... Εἰ γάρ εἴ τι αἰώνιον προσηγόρευται, Θεὸς ὀφείλει ὀνομάζεσθαι· ἄπειροι Θεοὶ ἔσονται. Γέγραπται γάρ· «Καὶ ἐπάρθητε, πύλαι αἰώνιοι». Καὶ πάλιν· «Ἔτη αἰώνια» ἐμνήσθησαν. Καὶ αὖθις· «Ὥσπερ πρόβατα αἰώνια»· καὶ «Ἀναστήσονται οἱ ἐν χώματι γῆς, οἱ μὲν εἰς ζωὴν αἰώνιον, οἱ δὲ εἰς αἰσχύνην αἰώνιον» (Δανιὴλ 12,2). Ἄρα οὖν καὶ ἡ κόλασις καὶ ἡ αἰσχύνη, Θεοί; Ὁρᾷς εἰς ὅσην ἀτοπίαν καὶ ἀσέβειαν ἡ κατὰ τὸ αἰώνιον ὁμωνυμία ἐκπίπτει; Τοῖς μὲν οὖν ἐκείνων νοήμασι καὶ ῥήμασι (ἐννοεῖ τοὺς Μανιχαίους αἱρετικοὺς) σκάλμη ἐπιπολάζει τε καὶ

συμπέφυρται· ταύτην δὲ διαλύει τάδε· Τοῦ αἰωνίου ὀνόματος, ὡς ἄρτι ἐπεμνήσθημεν, τὰ ἄλλα κἂν ἔτυχεν, μόνον οὐκ ἀπὸ χρόνου ἔτυχεν· ἀλλὰ καὶ φθορὰν τὴν ἀπὸ γνώμης οἰκείας τροπὴν ἔχει, καὶ ἀνόμοιον παντάπασιν τῷ θείῳ αἰωνίῳ τὸ ἐκείνων αἰώνιόν ἐστιν· καθὰ οὐδὲ ὁ λεγόμενος ἅγιος, ἄγγελος ἢ ἄνθρωπος, ὁμοίως καὶ ἴσως τοῦτό ἐστιν τῷ ἁγίῳ τῶν ἁγίων Πνεύματι· αὐτὸ γὰρ ἁγιότης καὶ αἰωνιότης τὸ πᾶν ὑπάρχει». Καὶ μικρὸν ὕστερον· «Καὶ ἔστω δῆλον αὐτοῖς τὸ διάφορον τοῦ τε ἀνάρχως καὶ ἀτρέπτως αἰωνίου, τοῦ τε ἀπὸ χρόνου, καὶ τρεπτοῦ, καὶ ὡς οὐ βραχὺ τοῦτο, οὐδὲ περὶ τὴν οὐσίαν καὶ τὸ ἄλλο κάλλος ἐστὶ μόνον, ἀλλὰ τὸ παντάπασιν ἐξηλλαγμένον» (39,516-7).

Ἰδιαιτέρα μελέτη περὶ τῆς διδασκαλίας τοῦ Διδύμου καὶ περὶ τῶν ὅρων, δογματικῶν καὶ φιλοσοφικῶν, τοὺς ὁποίους χρησιμοποιεῖ οὗτος, ὡς καὶ περὶ τῶν συμβολικῶν διατυπώσεων καὶ τῶν ἀλληγορικῶν ἐξηγήσεων, γραφικῶν χωρίων, τῆς διαλεκτικῆς του ἐπιχειρηματολογίας ἐν τῇ ἀντιρρητικῇ του ἐκθέσει κατὰ τῶν συγχρόνων του αἱρετικῶν, τῶν λεκτικῶν μορφῶν, αἵτινες χαρακτηρίζουν εἰδικῶς τὸ ὕφος αὐτοῦ καὶ τέλος περὶ τῆς διδακτικῆς μεθόδου, τῆς ἀπὸ καθέδρας ἀναπτύξεως τῶν θεμάτων του, τῆς ἰδιαιτέρας συμβολῆς τούτου εἰς τὴν θεολογίαν, χριστολογίαν, πνευματολογίαν, τριαδολογίαν, ἀνθρωπολογίαν, ἀγγελολογίαν καὶ αἱρεσιολογίαν, θὰ εἶναι πολλαπλῶς ὠφέλιμος καὶ τὰ μάλιστα χρήσιμος πρὸς κατανόησιν τοῦ εἰδικοῦ ῥόλου, ὃν ὁ Δίδυμος διεδραμάτισεν ὡς διερμηνευτικὸς μεσάζων κρῖκος μεταξὺ Ἀλεξανδρινῆς καὶ Καππαδοκικῆς θεολογικῆς σκέψεως πρὸς ὁριστικὴν διατύπωσιν τῆς Ὀρθοδόξου Πίστεως.

Τὸ φαινόμενον τοῦ Διδύμου, τυφλοῦ ἐκ νεαρωτάτης ἡλικίας μὲ πεντηκονταετῆ σχεδὸν δρᾶσιν ἐν τῇ Κατηχητικῇ Σχολῇ τῆς Ἀλεξανδρείας καὶ μὲ ἱκανὴν συγγραφικὴν παραγωγήν, προκαλεῖ οὐ μόνον τὸν θαυμασμόν, ἀλλὰ καὶ τὴν εὔλογον περιέργειαν εἰς διερμήνευσιν τοῦ μοναδικοῦ σχεδὸν φαινομένου ἑνὸς τυφλοῦ διανοητοῦ, τηλικαύτης πνευματικῆς ἰσχύος, μνήμης καὶ κρίσεως ἀξιοθαυμάστου. Ἀσχέτως δὲ τοῦ βαθμοῦ ἀξιολογήσεως τῶν πνευματικῶν του ἐπιτευγμάτων, ὁ Δίδυμος συγκεντροῖ ὅλα τὰ στοιχεῖα μιᾶς σπανίας προσωπικότητος ἐν τῷ πανθέῳ τῆς θεολογικῆς Γραμματείας.

ΒΙΒΛΙΟΓΡΑΦΙΑ

Ἐκδόσεις: Γενικὴ ἔκδοσις ἐν Migne, PG 39, 131-1818. Ἀποσπάσματα ἐξ ἔργων του ἐν ταῖς Σειραῖς: K. Staab, Pauluskommentare aus der griechischen Kirche. Münster 1933 σ. 1-45.

Μονογραφίαι καὶ ἐκδόσεις μεμονωμένων ἔργων: «Περὶ Τριάδος», Migne, PG 39, 269-992. T. Schermann, Lateinische Parallelen zu Didymus (De Trinitate 2,14): Römische Quartalschrift 16 (1902) 232-42, (παρὰ Τερτυλλιανῷ καὶ Ἀμβροσίῳ). A. Jahn und J. Dräseke, Zur Schrift über die Trinität. Zeitschr. f. wissensch. Theol. 45 (1902) 410-15. H. R. Smythe, The interpretation of Amos IV, 13 in St. Athanasius and Didymus: Journal of Theolog. Studies N. S. 1 (1950) 158-68 (De Trinit. 3, 31). L. Doutreleau, Le De Trinitate est-il l' oeuvre de Didyme l' Aveugle? Recherches de Sciences Religieuses 45 (1957) 514-57. L. Béranger, Études sur la christologie du «De trinitate» attribué à Didyme l' aveugle. Lyon 1960.

Περὶ τοῦ ἁγίου Πνεύματος. Ἔκδοσις λατινιστὶ μόνον. Migne PG 39, 1031-86 PL 23, 101-54. T. Schermann, Die griechischen Quellen des hl. Ambrosius in ll. III de Spir. S. Munich 1902, 87-92. E. Stolz, Didymus, Ambrosius, Hieronymus. Theologische Quartalschrift 87, Tübingen 1905, 371-401. B. Altaner, Augustinus und Didymus der Blinde, Eine quellenkritische Untersuchung. Vigiliae Christianae 5, Amsterdam 1951, 116-120. A. Quattrone, La pneumatologia nel trattato De Spiritu Sancto di Didymo Allessandrino: Regnum Dei 8 (1952) 82-88, 140-152; 9 (1953), 81-88. L. Doutreleau, Recherches de science relig. 1963, 383-406 (περὶ τοῦ «Περὶ τοῦ Ἁγίου Πνεύματος» ἔργου καὶ τῶν ἐκδόσεων αὐτοῦ). E. Staimer, Die Schrift «De spiritu sancto» von Didymus dem Blinden v. Alex. Diss. München 1960.

Κατὰ Μανιχαίων. Migne PG, 39, 1085-1110. M. Parpal, Obras escogidas ce Patrologia griega, Barcelona 1916. (μετάφρ. ἱσπαν.).

Κατὰ Εὐνομίου. Migne 29, 671-774. J. Dräseke, Apollinarios von Laodicea. Texte und Untersuchungen 7, 3-4. Leipzig 1892, 205-251. F. X. Funk, Die zwei letzten Bücher der Schrift Basilius' des Gr. gegen Eunomius: Kirchengeschichtliche Abhandlungen und Untersuchungen 2, Paderborn 1899, 291-329. J. Leipoldt, Didymus der Blinde von Alexandria. Texte und Untersuchungen 29, 3 Leipzig 1905. G. Bardy, Didyme l' Aveugle, Paris 1910, J. Lebon, Le Pseudo-Basile (Adv. Eunom. IV-V) est bien Didyme d' Alexandrie, Le Muséon 50, Louvain 1937, 61-83.

Ἑρμηνευτικὰ ἔργα. G. Bardy, Du nouveau sur Didyme l' Aveugle. Science religieuse. Travaux et recherches 1944, 247-250. H. C. Puech, Les nouveaux écrits d' Origène et de Didyme découvets à Toura. Revue de l' Histoire et de Philosophie Religieuse 31, Strasbourg 1951, 293-329. L. Doutreleau and J. Aucagne, Que savons-nous aujourd' hui des papyrus de Toura? Recherches de Science Religieuse 43, Paris 1955, 161-193. Loudwig Koenen- Louis Doutreleau, Inventaire des papyrus de Toura, Recherches de Science religieuse t. LV, Paris 1967, 547-564.

Ὑπομνήματα εἰς βιβλία Παλαιᾶς Διαθήκης. Κείμενα: Εἰς Γένεσιν καὶ Ἔξοδον PG, 39, 1111-1115. Εἰς Βασιλ. 1,2. PG, 39, 1115-1120. Εἰς Ἰὼβ PG, 39, 1119-1154. Εἰς Ψαλμοὺς PG, 39, 1155-1616, 1617-1622. Εἰς Παροιμίας PG, 39, 1621-1646. M. Faulhaber

Hohelied-Proverbien und Predigerkatenen. Vienna 1902, 168. J. Leipoldt, *ἔνθ. ἀν. 17-21 καὶ 148.* G. Bardy, *Didyme l' Aveugle ἔνθ. ἀν. σσ. 44-48.* R. Devreesse *Chaînes exégetiques grecques. Dictionnaire de la Bible, Suppl. I (1928) 1125 ἑ.* Τοῦ αὐτοῦ, *Anciens commentateur grecs de l' Octateuque, Revue Biblique 1935, 181-186.*

Νεώτεραι πληρέστεραι ἐκδόσεις. R. Devreesse, *Les anciens commentateurs grecs de l' octateuque et des rois (Fragments tirés des chaînes). Città del Vaticano 1959, 167-172.* Albert Henrichs, *Kommentar zu Hiob I, II, III, Bonn 1968.* Louis Doutreleau, Adolphe Gesché, Michael Gronewald, *Psalmenkommentar Teil I. Bonn 1969.* M. Gronewald, *Psalmenkommentar Teil II-V, Bonn 1968, 1969.* Gerhard Binder-Leo Liesenberghs, *Kommentar zum Ecclesiastes, Köln 1965.* L. Mariès, *Un commentaire de Didyme publié sous le nom de Diodore. Recherches de science religieuse 5, Paris 1914, 73-78, 246-251.* A. Gesché, *La christologie du «commentaire sur les Psaumes» decouvert à Toura, Gembloux 1962,* Τοῦ αὐτοῦ, *ἐν Studia Patristica 3, 205-13.* Koenen, *Arch. f. Papyrusforschung 1960, 61-50 (Ὑπόμν. εἰς Ζαχαρίαν 9,11 καὶ 16. Τὸ περὶ Τριάδος γνήσιον).*

Ὑπομνήματα εἰς βιβλία τῆς Καινῆς Διαθήκης. Migne 39, 1645-1818. K. Staab *Pauluskommentare (ἔνθ. ἀν.)* F. Zoepfl, *Didymi Alexandrini in epistolas canonicas brevis enarratio (Neutestamentliche Abhandlungen 4,1. Münster 1913.* E. Klostermann, *Über des Didymus von Alexandrien In epistolas canonicas enarratio. Texte und Untersuchungen 28,2 Leipzig 1905.* K. Staab, *Die griechischen Katenenkommentare zu den Katholischen Briefen, Biblica, Rome 1924, 314-318.*

Ἀμφιβαλλόμενα ἔργα. K. Holl, *Über die Gregor von Nyssa zugeschriebene Schrift Adv. Arium et Sabellium, Zeitschrift für Kirchengeschichte 25, Stuttgart 1904, 380-398 καὶ ἐν Gesammelte Aufsätze II Tübingen 1928, 298-309.*

E. Stolz, *Didymus, Ambrosius, Hieronymus ... ἔνθ. ἀν.* F. Loofs, *Zwei Makedonische Dialoge, Sitzungsberichte der Preussischen Akademie der Wissenschaften, Phil-hist. Klasse, Berlin 1914, 526-551.* A. Segovie, *Contribución al estudio de la tradición manuscrita del Pseudo-atanasiano «Dialogo I centra un Macedoniano o Pneumatomaco» Archivo Theologico Granadino I, 1938, 87-107.* A. Günthor, *Die sieben pseudo-athanasianischen Dialoge, ein Werk Didymus des Blinden von Alexandien, Rome 1941.* H. Rahner, *Zeitschrift für Katholische Theologie Innsbruck 1941 III ἑ.* W. Dietsche *L' héritage littéraire de Didyme l' Aveugle, Revue des Sciences Philosophiques et Théologiques 2, Paris 1941-2 380-414.* A. M. Amelli, *S. Hieronimi Stridonensis presb. tractatus contra Origenen de visione Isaiae, Monte Cassino 1901.* G. Morin, *Anecdota Maredsolana III 3 1903, 103-122.* F. Diekamp, *Literarische Rundschau für das Katholische Deutschland 27, 1901, 293f.* B. Dietsche, *Didymus von Alexandrien als Verfasser der Schrift über die Seraphenvision. Untersuchungen zur Urheberschaft des sogenannten Anecdoton von Amelli, Freiburg i. B. 1942.* B. Altaner, *Wer ist der Verfasser des Tractatus in Isaiam VI 1-7? Theologische Revue 42, Münster 1943, 147-151.* W. Bright, *Dictionary of Christian Biography. 1, 827-829.* M. Pellegrino, *Encyclopaedia Catholica. 4, 1567 f.* G. Bardy, *Dictionnaire de Spiritualité fase. 20-21, 668-671.* Τοῦ αὐτοῦ, *Post apostolos ecclesiarum magister. Revue du Moyen-âge Latin. 6 Lyons und Strasburg 1950, 313-316.* T. Barosse, *The Unity of the Two Charities in Greek Patristic Exegesis. Theological Studies 15. Baltimore 1954, 355-388.* W. C. Linss, *The Four Gospel Text of Di-*

dymus the Blind. Diss., Boston Univ., 1955. T. Schermann, *Der Gottheit des Heiligen Geistes nach den griechischen Vätern des vierten Jahrhunderts, Freiburgi. B. 1901, 189-223.* E. L. Heston, *The Spiritual Life and the Role of the Holy Ghost in the Sanctification of the Soul as Described in the Works of Didymus of Alexandria. Notre Dame (Indiana) 1938.* P. Galtier, *Le Saint Esprit en nous d' après les Pères grecs. Rome 1946, 206-216.*

Bogaert, *Revue Benedictine 1963, 9-16 ('Αποσπάσματα εἰς λατινικὴν μετάφρασιν).* Chavoutier, *Vigilie Christianae 1960, 9-14 ('Αποσπάσματα κατὰ 'Ωριγένους περὶ τῆς ὁράσεως τοῦ 'Ησαΐου).* W. J. Ganche, *Didymus der Blind, an educator of the fourth century. Washington 1934.* Van Roey, *Dict. d' Hist. et de Géogr. eccl. 14, 416-27.* Smythe, *Journal of Theol. Studies, 1950, 158-168.*

Κωνσταντῖνος Γ. Μπόνης, Δρ. Θ. καὶ Φ.

'Ομότιμος Καθηγητὴς τοῦ Πανεπιστημίου 'Αθηνῶν

ΔΙΔΥΜΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ

ΠΕΡΙ ΤΡΙΑΔΟΣ ΒΙΒΛΙΑ ΤΡΙΑ *

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ

ΚΕΦΑΛΑΙΟΝ Ζ'

[269] Ἐκφεύγειν τοιγαροῦν τὸ ἔγκλημα τὸ περὶ τῆς δόξης τῶν κτιστῶν θεῶν τοὺς πιστεύοντας τῷ **[272]** Υἱῷ ὁ ἔννομος Παῦλος τῷ θεϊκῷ Πνεύματι σεσοφισμένος ἐγγυᾶται. Ἔτι δὲ καὶ ἀθέους ἀποκαλεῖ τοὺς πρὸ τούτου ἐκτὸς τοῦ Υἱοῦ τὸν Θεὸν καὶ Πατέρα μόνον ἐγνωκότας (ἐπειδὴ οὐκ ἐν ποιήμασι τελεῖ), γράφων πῇ μέν, ὅτι· «Μνημονεύετε, ὥς ποτε ὑμεῖς τὰ ἔθνη ἐν σαρκὶ οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου· ὅτι ἦτε τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ ἀπηλλοτριωμένοι τῆς ἐλπίδος τοῦ Ἰσραὴλ καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ»[1]· πῇ δέ· «Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν ἐδουλεύσατε τοῖς φύσει μὴ οὖσιν θεοῖς· νῦν δὲ γνόντες Θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε»[2]; Ἀλλὰ καὶ τοῦ πρεσβυτέρου νόμου τὸ ἀεὶ νέον καὶ οὐκ εἰς γῆρας ἀποκλῖνον σωτήριον κήρυγμα, τὸ περὶ Χριστοῦ καὶ Ἁγίου Πνεύματος, καὶ τὸν ἐκκλησιαστικὸν θεσμὸν προφερέστερον ἡγεῖται διὰ τὸ τέλειον καὶ τὸ μὴ ἔχειν μήτε ἀνομ. . . . . ἐνοχλοῦν μήτε μὴν κάλλιον ἢ μεῖζον . . . . . . χρὴ προτεθῇ. . . . . λόγῳ ἢ τρόπῳ . . . . καλλ. . . . . γὰρ τῷ χρήματι τούτῳ γράφει πεπ. . . . . σι τὸ μέν, ὅτι Ἐγενόμην. . . . . «κατὰ ζῆλον διώκων τὴν Ἐκκλησίαν, κατὰ δικαιοσύνην τὴν ἐν νόμῳ γενόμενος ἄμεμ**[273]**πτος· ἀλλ' ἅτινα ἦν μοι κέρδη, ταῦτα ἡγοῦμαι διὰ τὸν Χριστὸν ζημίαν. Ἀλλὰ μενοῦνγε καὶ ἡγοῦμαι πάντα ζημίαν εἶναι διὰ τὸ ὑπερέχον τῆς γνώσεως Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· δι' ὃν τὰ πάντα ἐζημιώθην καὶ ἡγοῦμαι σκύβαλα εἶναι, ἵνα Χριστὸν κερδήσω»[3]. Ρωμαίοις δέ· «Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν ἢ Πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβετε»[4]. Ἄρα δὲ καὶ πρός τι ἀπιδὼν καὶ οἷα διανοηθεὶς ἀκραιφνοῦς θεογνωσίας αὖθις ἴδια γέγραφεν, Κορινθίοις μὲν τὸ δεύτερον, ὅτι γε

---

* Κατὰ τὴν ἐλλιπεστάτην δυστυχῶς ἔκδοσιν J.-P. Migne. Patrologiae Cursus Completus. Series Graeca, τ. 39, σσ. 269-992.

1. Ἐφ. 2,11-12. 2. Γαλ. 4,8-9. 3. Φιλιπ. 3,6-8. 4. Β' Κορ. 11,4.

εἰ τῷ Υἱῷ τις καταλλαγῇ, τῷ Θεῷ κατηλλάγη· καὶ ὅτι ἐν Χριστῷ ἡ πρὸς τὸν Θεὸν «σύμβασίς» ἐστι τοῦ κόσμου; Ἔχει δέ· «Ὡς ὅτι Θεὸς ἦν ἐν Χριστῷ κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν καὶ θέμενος ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς. Ὑπὲρ Χριστοῦ οὖν πρεσβεύομεν ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν. Δεόμεθα ὑπὲρ Χριστοῦ· καταλλάγητε τῷ Θεῷ»[1]. Καὶ πάλιν, ὡς πάντα τὰ ἄλλα.... ἃ παρεὶς ἐκήρυττεν μεγάλα αὐχῶν, ὅτι καὶ τὸ δοκοῦν ἐπονείδιστον εἶναι Χριστῷ διὰ τὴν φιλάνθρωπον αὐτοῦ οἰκονομίαν, πᾶσαν εὔκλειαν καὶ ῥώμην βρύει ἐγώ.... τοῦτο ποιῶν ἐξ ἔργου· ἵνα καὶ ὁ ἐκ τοῦ ἐνδόξου πάθους τὴν ἀγένητον καὶ ἀκήρατον καὶ .... θεότητα μὴ κατοπτεύων Γραφὴν υ.................... οφλοι· ἔλεγε δὲ τοιάδε· «Οὐκ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον»[2]. Ρωμαίοις δέ· «Δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας»[3] φησί ....ἀπὸ Θεοῦ ἕκαστος. Γαλάταις δέ· «Εἰδότες, ὅτι οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου, ἐὰν μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Ἰησοῦν Χριστὸν ἐπιστεύσαμεν, ἵνα δικαιωθῶμεν ἐκ πίστεως Χριστοῦ, καὶ οὐκ ἐξ ἔργων νόμου· ὅτι ἐξ ἔργων νόμου οὐ δικαιωθήσεται πᾶσα σάρξ»[4]. Ἐξηγεῖται δὲ καὶ ἑτέρωθι, ὅτι «Οὔτε περι**[276]**τομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ πίστις δι' ἀγάπης ἐνεργουμένη»[5]. Τοῦ δὲ λόγου βαθύνοντος τὸν νοῦν ἀναπτυκτέον. Διδάσκειν μὲν οὖν βούλεται, ὡς ἡ Χριστοῦ ἐπιφάνεια καινήν τινα καὶ τὴν μόνην πίστιν, ἅπασιν ἀνθρώποις ἐξεύρετο· καθ' ἣν οὐδὲ μίαν χώραν οὔτε Ἰουδαϊσμῷ ......<Ἑλλ>ηνισμῷ καταλέλοιπεν. Αὕτη δὲ νοη.......εν καὶ... ....κατὰ τό· «Ἰδοὺ τὰ ἀρχ<αῖα παρῆλθεν ἰδοὺ> καινὰ γ<έγονεν τὰ> πάντα»[6]. Καὶ ἵνα συνελ.........μὲν ότ.......... Θεὸν εἰδὼς νόμ....ως. ....τέλει... τὴν περι.........σιν. Ἀνέλαμψεν δὲ εἰς σωτηριο...διδασκ......Φῶς τὸ ἀληθινὸν καὶ ἐλεύθερον, ὁ Υἱός· καὶ πα....... τισιν αὐτῶν ἀγνοούμενον μυ..... διὰ τὴν ἔναυλον ἐν αὐτοῖς τῆς πολυθεΐας ἐξ Αἰγύπτου μνήμην. Προσμαρτυρῶν τοίνυν ὁ σεπτὸς Θεοῦ Υἱὸς τῇ οἰκείᾳ φύσει τὸ ἄνωθεν ἐλεύθερον, καὶ μὴ ἀδελφὴν οἷον ἔχειν τὴν κτίσιν. Δοῦλον γὰρ πᾶν τὸ παραχθὲν τοῦ παραγαγόντος. Καὶ τὸ κτισθὲν κτίσ. ....έτρον· «Οἱ βασιλεῖς τῆς γῆς <ἀπὸ τίνων λαμβάνουσιν τέλη ἢ κ>ῆνσον; ἀπὸ τῶν υἱῶν αὐτῶν <ἢ ἀπὸ τῶν ἀλλοτρίων;>»[7]. Ἀποκρινομ<ένου δὲ> «Ἐκ τῶν <ἀλλοτρίων», ἔφη αὐτῷ ὁ Ἰησοῦς· ἄρα γε ἐλ>εύθεροί εἰσιν οἱ υἱοί· Ἵνα δ<ὲ μὴ σκανδαλίσωμεν αὐτοὺς πο>ρευθεὶς εἰς θάλασσαν <βάλε ἄγκιστρον καὶ τὸν ἀναβάντα πρῶ>τον ἰχθὺν ἆρον· καὶ <ἀνοίξας τὸ στόμα αὐτοῦ εὑρήσεις στατῆ>ρα· ἐκεῖνον λαβὼν <δὸς αὐτοῖς ἀντὶ ἐμοῦ καὶ σοῦ»>[8]...ἐν περὶ τούτων. Οἱ .... αύονται ἔτι.

---

1. Β' Κορ. 5,19-20. 2. Α' Κορ. 2,2. 3. Ρωμ. 3,22. 4. Γαλ. 2,16. 5. Γαλ. 5,6. 6. Β' Κορ. 5,17. 7. Ματθ. 17,25. 8. Ματθ. 17,26-27.

ΚΕΦΑΛΑΙΟΝ Η'

Περὶ τῶν μυθολογούντων ὅτι ὁ Πατὴρ ἐποίησε τὸν Υἱὸν ἐπὶ τῇ ὑπουργίᾳ τῆς κτίσεως.

Βλασφήμως ἀντεξάγοντες καὶ διαμυθολογοῦντές φασι τὸν Πατέρα πεποιῆσθαι Υἱὸν χρειωδέστατον, ἐπὶ τὸ ὑπουργεῖν αὐτῷ πρὸς τὰ λοιπὰ τῶν κτισμάτων. Οὐκ ἔτι κατανοοῦντες, ὡς ἐξήρτηται τοῦτο....οὔδε στοχαστικοῦ αὐτῶν λόγου φθόνος τε καὶ ὄκνος καὶ ἕτερα ὑλικά· δεῖ γὰρ «δήπου καὶ ταῦτα» ὁρᾶν. Εἰ γὰρ καλὸν τὸ δημιουργεῖν (ὥσπερ οὖν καλὸν καὶ μόνον ἴδιον καὶ μόνον ἐξαίρετον τῆς θεϊκῆς ἀφθόνου φύσεως, ἵν' ἔχοι καὶ ὑπὸ τοῦ δοξάζηται), ἀνθ' ὅτου μὴ πάντα δι' ἑαυτοῦ ἔκτισεν, ἀλλ' οἷον εἴπως κατώκνησεν; Εἰ δὲ καὶ μέγα τοῖς κτιζομένοις **[277]** τὸ ὑπὸ τοῦ μείζονος καὶ ε...ηρη μέ ου παραφέρεσθαι· (εἴπερ κατ' αὐτοὺς μείζων τοῦ ἰδίου Υἱοῦ Λόγου ὁ Πατήρ), ἐβάσκαινε τοῖς δοξάζουσιν αὐτὸν τὴν δι' ἑαυτοῦ ποίησιν. Εἰ δὲ καὶ ὑπερηφαν. . . .ἀδυναμίας τε ἅμα παντάπασιν οὐκ ἀπήλλακται τὸ διὰ μεσίτου ποιειμ. . . . τὸ παραγόμενον τοῦ παράγοντος αὐτὸ δι' ἑαυτοῦ ἤπερ τοῦ δι' ἑτέρου ποιοῦντος μείζονα τὴν δόξαν ἐκφαίνει· οὔπω γὰρ ὄν, τοῦ ἀεὶ ὄντος νεύμασιν ὑπακούει, καὶ ὅσον οὐδέπω διαπεραίνεται, καὶ μέτρα προσήκοντα. . . . καὶ οὐκ ἔχει ἔν τινι τὸ ἐλλεῖπον. . . . περήφανος μόνον ὁ ὑπερη . . . . . .ἀλλ' ἤδη καὶ ταυτὸ . . . . .ι δειχθείη πάντα ὅσα ἂν . . . . .οὐσίαν καὶ ἀπ . . . . .ρ.μ. . . .τ. . . . . .αρῷ τεθνηκότι· «Δεῦρ<ο>»[1]. . . . . ἄλλῳ· «'Αφέονταί <σου αἱ ἁμαρτίαι>»[2] . . . . ἐπιτάσσων. «Ἔξελθε <ἐξ αὐτοῦ>»[3]. . . . . .ποιεῖν δι' ἄλλου· κατὰ τὸν ἐκείνων νοῦν δείκνυσι τὸν μὲν Θεὸν Πατέρα, οὗ αἱ νοήσεις ποιήσεις εἰσίν, μὴ δύνασθαι δι' ἑαυτοῦ τὸ πᾶν διαπεραίνειν δίχα τῆς ἐπικουρίας ἐκείνου τοῦ δι' οὗ ἢ ἐν ᾧ ποιεῖ· τὸν δέ γε Υἱόν, ὥς τι ἄψυχον ὄργανον· πῶς οὐ μέγα προσπτύσας καὶ τὰς χεῖρας ὑπτίας ἀντιθεὶς ταῖς οὑτωσὶ ἀγρίαις δυσφημίαις, ἀναχωρήσει, δεδιὼς μὴ ὑπόδικος γένηται τοῦ θείου δικαστηρίου καὶ ἀκοῆς ἀπροαιρέτου χάριν;

ΚΕΦΑΛΑΙΟΝ Θ'

Περὶ ὧν λέγουσιν αἱρετικοί· «Πότε ὁ Υἱὸς ἐγεννήθη καὶ τὸ Πνεῦμα ἐξεπορεύθη;» καὶ τὰ λοιπά.

Τοσούτων τοίνυν καὶ οὕτω σαφῶν ἀποδείξεων οὐσῶν· καὶ τῆς Γραφῆς παραινούσης «ποικίλαις καὶ ξέ**[280]**ναις διδαχαῖς μὴ παραφέ-

1. Πρβλ. 'Ιω. 11,43. 2. Πρβλ. Ματθ. 9,25. 3. Πρβλ. Μάρκ. 1,25.

ρεσθαι»[1], φεύγειν δὲ τὰς «κενοφωνίας» οἱ ἑτερόδοξοι συστῆσαι ἀπὸ Γραφῶν τὰ τῆς θρησκείας αὐτῶν ἀποροῦντες, καὶ ὡς ἂν οἱ μεθύοντες τῇδε κἀκεῖσε τὸν ἐφ᾿ ἑκάστῳ λόγον διαρριπτούμενον ἔχοντες, διάφορα σοφίσματα συνταγέντα αὐτοῖς κακοτέχνως καὶ κατὰ πολὺ μελετηθέντα προβάλλουσιν, ἐν οἷς ἐστι ταῦτα· Τὰ σύμπαντα οὖν, φησίν, οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ; Οἷς ἀποκριτέον· Ἀλλ᾿ οὐ γεννητῶς ὡς ὁ Υἱός· οὐδ᾿ ἐκπορευτικῶς, καθὰ τὸ Πνεῦμα τοῦ Θεοῦ· οὐδὲ τοιούτων ἐστὶν ἐνεργειῶν, ἢ οὕτω περιβλέπτων ἠξιώθη συστάσεων. . . . . εἶτα· Πότε οὖν ὁ Υἱὸς ἐγεννήθη. . . . . . . .Τότε, ὅτε ὁ Πατὴρ οὐκ ἐγεννήθη. Εἰ γὰρ καὶ . . . . .μετ᾿ αὐτόν, καὶ ὡς ἀθέμιτον τὸ ζητεῖν. . . . . .γὰρ ἐν τόπῳ ἐπειδὴ μήτε περιορ. . . . . ήσας καὶ ὁ γεννηθεὶς οὕτως οὐδ. . . . . .χρόνῳ. Θεὸς γὰρ ὢν ὁ Υἱὸς καὶ Λόγος, τοῦ . . . . .το ἀλλὰ τοῦ ποιεῖν ὡσαύτως καὶ τὸ Πνεῦμα. . . . .

Πῶς δέ, φησίν, ἐγεννήθη; Τοῦτο εἰ καὶ ἐγράφη περὶ μὲν τοῦ Υἱοῦ· «Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε»[2]· περὶ δὲ τοῦ Ἁγίου Πνεύματος· «Πνεῦμα παρ᾿ ἐμοῦ ἐκπορεύεται»[3]· καὶ εἰ Δαυῒδ ψάλλει· «Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαι αἱ δυνάμεις αὐτῶν»[4]· καὶ εἰ λέγει ὁ Ἰώβ· «Πνεῦμα θεῖον τὸ ποιῆσάν με, πνοὴ δὲ Παντοκράτορος ἡ διδάσκουσά με»[5]· καὶ εἰ Κύριος διδάσκει· «Τὸ Πνεῦμα τῆς ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται»[6]· καὶ εἰ Παῦλος γράφει, Πνεῦμα εἶναι αὐτὸ τοῦ Θεοῦ, ὡς ἀνθρώποις τὸ **[281]** αὐτῶν[7]· ὅμως οὕτω πάντα νοῦν ὑπερβαίνει· ὅτι ὁ αὐτὸς ἀπόστολος Κορινθίοις γράφει· «Τῷ δὲ Θεῷ χάρις, τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ καὶ τὴν ὀσμὴν τῆς γνώσεως φανερώσαντι δι᾿ ἡμῶν»[8]· ὡς μὴ πάσης τῆς γνώσεως ἡμᾶς, διὰ τὸ ἀχώρητον, ἀλλ᾿ οἷόν τινος ἰνδάλματος ἢ αὔρας ὥσπερ μετασχόντας. Καὶ πάλιν· «Βλέπομεν δὲ δι᾿ ἐσόπτρου καὶ ἐν αἰνίγματι»[9] τὰ περὶ αὐτοῦ. Καὶ μάλα εἰκότως· «Δόξα γὰρ Κυρίου κρύπτει λόγον»[10] κατὰ τὸ θεῖον ῥητόν, ὑπερκειμένη ἀφράστῳ καὶ ἀπείρῳ λόγῳ πάσης αἰσθήσεως γενητῆς· οὐ διὰ τὸ ἀβάστακτον μόνον, ἀλλ᾿ ὅτι τὸ προαιώνιον καὶ πρὸ πάσης κτίσεως, εἰ μὴ ὑπὸ Γραφῶν δεδήλωτο, τῇ κτίσει ἠγνω. . .καὶ πάλιν τοῖς αὐτοῖς τὸ δεύτερον εἰς τοῦτο παγκαλο. . . . .ει· «Ἡμεῖς δὲ οὐκ εἰς τὰ ἄμετρα καυχησόμεθα· [ἀλλὰ κατ]ὰ τὸ μέτρον τοῦ κανόνος, οὗ ἐμέρισεν ἡμῖν ὁ Θεὸς [μέτρου, ἐφικέσθαι ἄχρι καὶ ὑμῶν][11]. Καὶ ἐν τῇ πρώτῃ δὲ Ἐπιστολῇ φησιν· «Εἴ τ[ις δοκεῖ εἰδέ]ναι τι, οὔπω ἔγνωκεν καθὼς δεῖ γνῶναι»[12]. . .τ. . . . .αφορὰ τῆς γεννήσεως καὶ τῆς ἐκπορεύσ. . . . . .ὡς ὁ τρόπος ἄγνωστος, οὕτω καὶ ἡ διαφορά· εἴγε δὴ ἄρα ἐξὸν αὐτὸ τοῦτο ἀκούειν ἢ λαλεῖν. Τὸ γὰρ αἰτίας τῶν ὑπὲρ πᾶσαν αἰτίαν καὶ νόησιν ἀποδιδόναι, τολμηρόν· τὸ δὲ θαυμάζειν

1. Ἑβρ. 13,9. 2. Ψαλ. 109,3. 3. Πρβλ. Ἡσ. 57,16. 4. Ψαλ. 32,6. 5. Ἰὼβ 33,4. 6. Ἰω. 15,26. 7. Πρβλ. Α΄ Κορ. 2,11. 8. Β΄ Κορ. 2,14. 9. Α΄ Κορ. 13,12. 10. Πρβλ. Παρμ. 25,2. 11. Β΄ Κορ. 10,13. 12. Α΄ Κορ. 8,10.

τὸ Θεῖον, καὶ φόβον εἶναι τὴν περὶ αὐτοῦ ἔννοιαν φοβερὰν νομίζειν, ἀσφαλές. Θέλων οὖν, φησίν, ἐγέννησεν ὁ Θεὸς ἢ μὴ θέλων; Ἀλλ' ἡμᾶς χρὴ προειπεῖν τὸν σκοπὸν αὐτῶν καὶ οὕτως ἀποκρίνασθαι. Ὁ οὖν σκοπός ἐστιν, ἵνα πρὸς ἀκεραίους ἀπὸ ἑκατέρας λέξεως τὴν ἀντίθεσιν ποιῶνται. Ἤν τε γὰρ δράζωνται τοῦ Μὴ θέλων ἐγέννησεν (οὐδεὶς δὲ αὐτοῖς τοῦτο ἀποκρίνεται), λέγουσιν· Οὐκοῦν, ὃ μὴ θέλει ὁ Θεός, ὑπομένει γεννήσας τὸν Υἱόν, φύσεως ἀνάγκης εἰς τοῦτο ἄκοντα αὐτὸν περιαγούσης· ἤν τε δοθῇ αὐτοῖς τὸ Θέλων ἐγέννησεν, ἐπάγουσιν· Ἆρά γε ἡ γέννησις τοῦ Υἱοῦ ἐξῆπται τῆς πατρικῆς θελήσεως, δημιουργικῶς ὕπαρξιν αὐτῷ παρεχούσης; Ἡ δὲ ἀπόκρισις αὕτη εὐνουστάτη τυγχάνει. Τῆς θελήσεως γὰρ καὶ τῆς ἀνεθελησίας καὶ πάσης ἐννοίας προτερεύει ὅ τε γεννήσας Θεὸς καὶ Πατήρ, τό τε ἀπαύγασμα **[284]** τῆς δόξης αὐτοῦ ὁ Υἱός[1]· καὶ οὐδὲν τούτου μέσον καὶ ἐκείνου ἐξ οὗ ἐστιν ἐπινοηθῆναι δύναται. Ὁμοίως δὲ καὶ ἡ εἰκὼν τοῦ Θεοῦ[2]. Ἔστι δὲ πάλιν ὁ Υἱὸς οὐκ ἀρχομένη οὐδὲ παυομένη πρώτη ὕπαρξις τῆς θελήσεως ἢ μὴ θελήσεως. Ἐγέννησεν οὖν ἐν τῇ ὑπὲρ βουλὴν καὶ νοῦν φύσει. Ἀλλὰ καὶ ἥδε ἡ πρότασις αὐτῶν, ἀτοπίας ἀνάμεστος. Ἡγεῖται γὰρ τοῦ μὲν θέλειν, πάθος ἐπιθυμίας· τοῦ δὲ μὴ θέλειν μέν, ποιεῖν δέ, ἡ ἐξ ἀνάγκης βία μετὰ τοῦ προεπινοεῖσθαι τὴν βούλησιν καὶ πρὸ ἐκείνης τὴν νόησιν τῆς τοῦ Πατρὸς ὑποστάσεως τῆς πάντῃ τε καὶ πάντως ἐχούσης συνυφεστὸς τὸ ἀπαύγασμα. Πρὸς τούτῳ εἰ πιστεύουσι τὰ πάντα ἐκ τῆς βουλήσεως τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ γεγονέναι[3], οὐ προϋπάρχει ἡ βούλησις. Ἀμήχανον γὰρ καὶ ἀδύνατον, μὴ τὸν Δημιουργὸν ὑφεστάναι καὶ μετέπειτα δεδόχθαι τὸ δι' αὐτοῦ δημιουργῆσαι. Ἀλλὰ καὶ τοῦτο ἀσυνεσίας μεστόν. Εἰ γὰρ αὐτός φησιν· «Ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι»[4] πῶς ἡ ἀναλλοίωτος φύσις ἀλλοίωσιν ὑποσταίη, κατὰ τὰς ὑποστάσεις μὴ ἐν ταυτότητι τῶν προσώπων ἑστῶσα, ἀλλὰ κινουμένη καὶ μεταπίπτουσα; Ἔτι καὶ τοῦτο· Εἰ ἀληθές, ὥσπερ οὖν ἀληθές, τό, «Ἅπερ ἂν ὁ Πατὴρ ποιῇ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»[5]· ποιήσει καὶ ὁ Υἱὸς ἄλλον Υἱόν, ἵνα πάντα ὁμοίως τῷ Πατρὶ ποιήσῃ· εἰ δὲ οὐκ ἐποίησεν οὐδὲ ποιεῖ, οὐκ ἔστιν κτίσμα, οὐδ' ἡγεῖται αὐτοῦ πατρικὴ βούλησις. Εἴποιμι καὶ ἕτερον· Εἰ λέγει ὁ Σωτήρ· «Θέλημα τοῦ πέμψαντός με, ἵνα **[285]** πᾶς ὁ θεωρῶν τὸν Υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον»[6] · οὐκ ἐκ θελήματος ὁ Υἱός, ἀλλ' ὁ θεωρῶν αὐτόν. Τὸ γὰρ θέλημα, μετὰ τὸν Υἱὸν κἀνταῦθα εὑρίσκεται. Ἀπεώσαιτο δ' ἂν καθ' ὅλου τις θᾶττον αὐτῶν καὶ τουτονὶ τὸν λόγον οὐκ ἐκ μόνων τῶν προλεχθέντων, ἀλλὰ καὶ τῶν ἐπαχθησομένων πρὸς ἡμᾶς· τοῦτ' ἔστιν, εἴγε παραπλήσιον ἀντέρηται αὐτούς· Πότερόν ποτε ὁ Πατὴρ θελήσας ὑπάρχει ἢ οὔ; Τὰ ἴσα γὰρ ὧν ἐμελέτησαν ἀπαντήσει αὐτοῖς· πρὸς μὲν τό, Οὐ θελήσας, ὅτι παρὰ σκοπὸν αὐτῷ συνέβη τὸ ὑφεστάναι,

---

1. Πρβλ. Ἑβρ. 1,3. 2. Πρβλ. Κολ. 1,15. 3. Πρβλ. Ἰω. 1,3. 4. Μαλ. 3,6. 5. Ἰω. 5,19. 6. Ἰω. 6,40.

φύσεως ἀνάγκης εἰς τοῦτο αὐτὸν ἄκοντα περιτρεπούσης· πρὸς δὲ τὸ δεύτερον, ὅτι πρὸ τῆς θελήσεως οὐκ ἦν. Ἀναχθήσεται γὰρ ἡ ὕπαρξις αὐτοῦ εἰς τὴν βούλησιν αὐτοῦ· δημιουργικῶς αὐτόν, κατὰ τὰς βαττολογίας αὐτῶν, εἰς ὑπόστασιν περιελαυνούσης. Ὁμοίως καὶ ἄλλο, λέξει μόνον διαφέρον τοῦ πρὸ αὐτοῦ· Θελητῶς ὁ Θεὸς ἀθάνατός ἐστιν καὶ ἀγαθὸς ἢ ἀνεθελήτως; Ἐπενεχθήσεται γὰρ τὰ αὐτά. Κάλλιον δέ τις ποιήσει, εἰ συντόμως ἀποκρίνηται αὐτοῖς μηδὲν ἐπισυμβαίνειν τῷ παντελείῳ Θεῷ, μηδέ τι ἀπολιμπάνειν αὐτόν· καὶ ὥσπερ οὐ προηγεῖται τῆς πατρικῆς ὑπάρξεως καὶ ἀθανασίας καὶ ἀγαθότητος θέλημα, οὕτως οὐδὲ τῆς γεννήσεως· καὶ ἀπᾴδει πάντα ὁπόσα τοιαῦτα τῆς περὶ τοῦ Θεοῦ ἐνθυμήσεως. Περὶ δὲ τῶν κτιστῶν, τὸν Δαυΐδ ᾄδειν ἐν ριγʹ ψαλμῷ· «Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ πάντα ὅσα ἠθέλησεν, ἐποίησεν»[1]· καὶ «Πάντα ἐν σοφίᾳ ἐποίησας»[2]· τοῦτ' ἔστιν ἐν τῷ Υἱῷ, οὐχὶ δὲ ἐν θελήματι. Καὶ ἐν οβʹ ψαλμῷ· «Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου, ἐν τῇ βουλῇ σου ὡδήγησάς με, καὶ μετὰ δόξης προσελάβου με»[3]· καὶ ἐν κθʹ· «Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ»[4]· καὶ ἐν κεʹ· «Ἐν τῷ θελήματί σου παράσχου τῷ κάλλει μου δύναμιν»[5]· καὶ ἐν ιζʹ· «Ῥύσεταί με ὅτι ἠθέλησέν με»[6]. Καὶ γὰρ ὃν τρόπον ὑπάρχων ὁ Πατὴρ ἀθάνατός τε καὶ ἀγαθός, βούλεται εἶναι ταῦτα, καὶ βουλόμενός ἐστιν ταῦτα, οὐκ αἰτίαν, ἵν οὕτω φράσω, τὴν βούλησιν **[288]** ἔχων, οὔτε μὴν ἀνεθελήτως ὤν· οὕτως οὐδὲ τοῦ γεννῆσαι ἡ βούλησις αἰτία. Περὶ ἡμᾶς δέ, τὸ τινὰ μὲν ἐκ τῆς τοῦ Θεοῦ ἐνεργείας, τινὰ δὲ ἐκ τοῦ ἐφ' ἡμῖν θελήματος ἔχειν. Καὶ γὰρ οὐ βουλήσει μὲν τῇ ἑαυτῶν, ἀλλὰ τῇ τοῦ Θεοῦ κτώμεθα τὸ συνεστάναι ἐκ ψυχῆς καὶ σώματος καὶ τὸ εἶναι λογικοί. Οἱ γὰρ οὐ πώποτε ὄντες πῶς εἴχομεν βούλεσθαι ἢ μὴ βούλεσθαι; Προαιρέσει δὲ ἰδίᾳ ἔχομεν τὸ εἶναι καλοὺς ἢ κακούς· ἐπιστήμονας τε κατ' ἐπιτηδειότητα ἢ ἀνεπιστήμονας κατὰ ῥᾳθυμίαν. Ἐληλύθασι δὲ ἐπὶ τὸ κεφάλαιον τοῦτο οὐκ ἀτρεκεῖ θεωρήματι παραδεχόμενοι τό· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα»[7], ἐπεὶ ἂν αὐτόθεν εἶχον τῆς ὀρθῆς πίστεως ἄγκυραν βεβαίαν. Νυνὶ δὲ φάσκουσιν, ὅτι τὸ «Ἐν ᾧ εὐδόκησα», δεί**[289]**κνυσι κτίσμα τὸν Υἱόν. Καὶ μὴν πρὸς τὴν ἐνανθρώπησιν αὐτοῦ ὅλον νένευκε τὸ νόημα. Ἐπειδὴ γὰρ λέγοντι αὐτῷ «Υἱὸς Θεοῦ εἰμι»[8] ἀντεφθέγγοντο «Βλασφημεῖς»[9], ἐπεψηφίσατο αὐτῷ ὁ Πατήρ, ὅτι· Οὗτος μόνος ἐστὶν Υἱός μου γνήσιος. Τὸ γὰρ «οὗτος», καὶ τὸ «ἀγαπητός», καὶ τὸ μετὰ ἄρθρου ὠνομάσθαι «Υἱός», τοῦτο δηλοῖ· Ἐν τούτῳ, φησίν, εὐδόκησα διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ τὴν σωτηρίαν ὑμῖν πορισθῆναι. Κἂν περί τῆς θεότητος δὲ ἐκλάβῃ τις τὸ «εὐδόκησα», τὸ σόφισμα αὐτῶν ἀκυροῦται· ἐπείπερ οὐ πᾶσα λέξις ῥηθεῖσα παρὰ τοῦ Θεοῦ καὶ μάλιστα περὶ τοῦ Θεοῦ Λόγου,

---

1. Ψαλ. 113,11. 2. Ψαλ. 103,24. 3. Ψαλ. 72,23-24. 4. Ψαλ. 29,6. 5. Ψαλ. 29,8. 6. Ψαλ. 17,20. 7. Ματθ. 3,17. 17,5. 8. Ἰω. 10,36. 9. Ἔνθ' ἄν.

κοσμικοῦ ἔθους ἀποτελεῖ νόημα. Ἔπειτα εἰ ἐπὶ τῷ ἤδη ὄντι Υἱῷ ἔλεγεν,« Ἐν ᾧ εὐδόκησα»[1], οὐκ αἰτία ἡ εὐδοκία τῆς ὑπάρξεως αὐτοῦ εὑρίσκεται. Ὥστε δὲ σαφέστερον τὸ ὑπὸ τῆς τοιαύτης λέξεως δηλούμενον γενέσθαι, μάρτυρι χρησώμεθα τῷ ψάλλοντι ἐν ρμθ' ψαλμῷ· «Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ»[2]. Οὐ γέγονεν δὲ ἡ εὐδοκία πρὸ τοῦ λαοῦ, ἀλλὰ μετ' αὐτόν. Τότε γὰρ εὐδόκει ἐν αὐτῷ καὶ εἰρήνην καὶ χάριν ἔπεμπεν, ὅτε ὀρθῶς αὐτῷ ἐλάτρευεν· ὅτε δὲ μὴ ὀρθῶς, τοὐναντίον ἢ νῦν προφητεύει· «Ὅτ' ἂν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν»[3]· καὶ ἐν μγ' ψαλμῷ· «Ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς, ἀλλ' ἡ δεξιά σου, καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου, ὅτι εὐδόκησας ἐν αὐτοῖς»[4]· δεξιὰν καὶ **[292]** βραχίονα τοῦ Θεοῦ καὶ φωτισμὸν τοῦ προσώπου αὐτοῦ τὸν Υἱὸν ἀνειπών. Καὶ ἐν ρε' ψαλμῷ· «Μνήσθητι ἡμῶν, Κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου»[5].

ΚΕΦΑΛΑΙΟΝ Ι'

Περὶ τοῦ λέγειν. «Εἰ ὅλως ἐστὶ γεννητικὸς ὁ ἀγέννητος Θεός, οὐκ οὐσιωδῶς ἐγέννησεν»· καί, ὅτι «Εἰ μετεβλήθη ἡ οὐσία αὐτοῦ εἰς γέννημα, οὐκ ἀμετάβλητος ἡ οὐσία τοῦ Θεοῦ».

Αὐτῶν καὶ τοῦτό ἐστι τὸ εἰκαῖον καὶ πλημμελὲς λέξεσιν τοιαῖσδε τεθέν· Εἰ ὅλος ἐστὶ γεννητικὸς ὁ ἀγέννητος Θεός, οὐκ οὐσιωδῶς ὁ γεννηθεὶς ἐγεννήθη, ὅλης ἐχούσης τῆς οὐσίας αὐτοῦ τὸ γεννᾶν, ἀλλ' οὐ τὸ γεννᾶσθαι. Ἀλλ' ἀκουέτωσαν· Ὅτιπερ εἰ ὅλον ἐστὶ γεννητικὸν τὸ φῶς, οὐκ οὐσιωδῶς τὸ ἀπαύγασμα γεννᾷ ἀλλ' ἔξωθεν προσλαμβάνει, ὅλης ἐχούσης τῆς οὐσίας αὐτοῦ τὸ γεννᾶν, ἀλλ' οὐ τὸ γεννᾶσθαι· εἰ δὲ τὸ φῶς οὐ προσλαμβάνει ἔξωθεν τὸ ἀπαύγασμα, ἀλλ' ἐκ πάσης τῆς οὐσίας αὐτὸ γεννᾷ ἀδιαστάτως· οὐδ' ὁ Θεὸς ἐπεκτήσατο ἔξωθεν τὸν Υἱόν, ἀλλ' ἐξ ὅλης τῆς ὑποστάσεως ἐγέννησεν ἀδιαστάτως, ἅτε ἀσώματος. Ὅθεν ἀληθῶς ἐστι Πατήρ. Ἐπάγουσι πάλιν, πανταχοῦ τὴν ἐναντίαν τάξιν τῆς Γραφῆς διώκοντες· Εἰ μετασχηματισθεῖσα ἡ οὐσία τοῦ Θεοῦ, γέννημα λέγεται· οὐκ ἀμετάβλητος ἡ οὐσία αὐτοῦ, τῆς μεταβολῆς ἐργασαμένης τὴν τοῦ Υἱοῦ ἰδιοποίησιν. Ἀλλ' οὐδεὶς οὐδὲ τοῦτο συγχωρεῖ αὐτοῖς λέγειν· Ἀλλότρια γὰρ εἶναι ταῦτα Χριστιανῶν, ἡ μνημονευθεῖσα ἐλέγχει Γραφή, παντὶ αἱρετικῷ ἀντιβαίνουσα παγχαλέπῳ πάθει. Εἰ γὰρ μετασχηματισάμενον τὸ φῶς, ἀπαύγασμα γίνεται, **[293]** οὐκ ἀμετάβλητον τὸ φῶς τῆς μεταβολῆς, ἐργαζομένης τὴν τοῦ ἀπαυγάσματος ἰδιοποίησιν. Εἰ δὲ οὐ μεταβληθὲν τὸ φῶς, ἀπαύγασμα

1. Ματθ. 3,17. 17,5. 2. Ψαλ. 149,4. 3. Ψαλ. 77,34. 4. Ψαλ. 43,11. 5. Ψαλ. 105,4.

γεγέννηκεν, μεῖναν καὶ αὐτὸ φῶς, καὶ ἔχον τὸ ἀπαύγασμα συμφύτως ἐξ αὐτοῦ τέλειον· καὶ ὁ Θεὸς μένει ἀτρέπτως Θεός, ἀπαυγάσματος ἰδίου[1] τυγχάνων Πατήρ, οὐκ ἔτι ἔξωθεν αὐτὸ προσλαβών, ἀλλ' ἐκ τῆς οὐσίας γεννήσας τέλειον.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'

Περὶ τῶν φλυαρούντων ὡς ἐκ τῆς «Πατρὸς» ὀνομασίας παρηλλαγμένη ἐστὶν ἡ οὐσία αὐτοῦ τοῦ Υἱοῦ.

Αὐτὰ περὶ τῶν αὐτῶν ἀνακυκλοῦντες, καὶ ἕως τοῦ παντὸς παρασημαίνοντες τῆς ἀληθείας τὸ κάλλος, ἀφιλοθέως καὶ τοῦτο φάσκουσιν· Ὧν τὰ ὀνόματά ἐστι διάφορα, τούτων παρηλλάχθαι καὶ τὰς οὐσίας ἀνάγκη· φησὶ γάρ· Ἡ «Πατὴρ» λέξις οὐ σημαίνει τὴν «Υἱός», οὐδ' αὖ ἡ «Υἱὸς» ὀνομασία δηλοῖ τὴν Πατρὸς ὑπόστασιν. Ἀκουέτωσαν δέ, ἓν μέν, ὅτι εἰ μὴ καταλλήλῳ προσηγορίᾳ πεφανέρωντο αἱ θεῖαι ὑποστάσεις, ποίῳ συμβόλῳ ἄν τις χρησάμενος, μὴ λέγων τὴν Πατρὸς προσηγορίαν, ἐμήνυσεν αὐτόν τε τὸν Πατέρα καὶ ὅτι Υἱὸν ἔχει; ἢ μὴ ὀνομάζων τὴν «Υἱὸς» καὶ «Πνεῦμα» προσηγορίαν, προσεφώνησεν αὐτόν τε τὸν Υἱὸν ἢ τὸ Πνεῦμα, καὶ ὅτι ὁ μὲν Υἱὸς Πατέρα ἔχει τὸ δὲ Πνεῦμα τοῦ Θεοῦ ἐστιν Πνεῦμα; Ἕτερον δέ, ὅτι ἐπὶ τῆς Ἁγίας Τριάδος, πλὴν τοῦ Πατέρα λέγεσθαι τὸν ἀληθῶς ὄντα τοῦτο, καὶ τοῦ Μονογενῆ **[296]** καλεῖσθαι τὸν φυσικῶς γεννηθέντα, καὶ τοῦ Πνεῦμα Θεοῦ προσαγορεύεσθαι, τὸ ἀκριβῶς τοῦτο ὃ κέκληται τυγχάνον τοῦ Πατρός, τἄλλα πάντα ὀνόματα καθέστηκεν τὰ αὐτά· ὡς τό, Θεός, Κύριος, ἅγιος, δίκαιος, ἀγαθός, φῶς, ζωή. Οὐκ οὖν τοὐναντίον ἐπὶ τῆς μακαρίας Τριάδος μόνης, ὧν τὰ ὀνόματά ἐστιν τὰ αὐτά, τούτων καὶ ἡ οὐσία μία καθέστηκεν· ἵν' ἀκολουθῇ τὸ ὑπὸ ὁμοίου ὅμοιον χαρακτηρίζεσθαι. Τῷ γὰρ ἀληθινῷ καὶ ἀιδίῳ φωτί, πρὸς τὸ ἀληθινὸν καὶ ἀίδιον φῶς, καὶ τῇ ὂν . . . . . .

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'

. . . .

«ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύνη, καὶ οἱ λόγοι μου οὐκ ἀποστραφήσονται· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ὀμεῖται τὸν Θεόν»[2]· ὅ ἐστιν, ἐπιγνώσεται τὸν Θεὸν ἢ ἐξομολογήσεται τῷ Θεῷ. Οὐκ ἔστιν οὖν ἔμπροσθεν τοῦ Υἱοῦ ὁ Θεὸς καὶ Πατήρ, οὐ τῷ ἀνάρχῳ οὐ τῇ οὐσίᾳ οὐ τῇ δόξῃ, ἀλλ' ἐπ' ἴσης· πλὴν εἰ μή που τῷ τῆς πατρότητος λόγῳ. Ὅτι γὰρ τοῦ μονογενοῦς Υἱοῦ τὰ ῥήματα, ὁ θεσπέσιος Παῦλος Ῥωμαίοις γράφων ἐσαφήνισεν, οὕτως εἰπών· «Πάν-

---

1. Πρβλ. Ἑβρ. 1,3. 2. Ἡσ. 45,23.

τες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, καθὼς γέγραπται· Ζῶ ἐγώ, λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ»[1]. Ὁμοίως δὲ καὶ ὁ θεολόγος Ἰωάννης, ἐν μὲν τῷ **[297]** Εὐαγγελίῳ εἶπεν· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς ἦν ὁ Λόγος. Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονεν. Ἐν αὐτῷ ζωὴ ἦν καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων· καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν»[2]· ἐν δὲ τῇ Ἀποκαλύψει· «Ὁ ὤν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος Κύριος ὁ Θεὸς ἡμῶν ὁ Παντοκράτωρ»[3]. Τὸ «Ὁ ὤν», σημαίνει τὸ ἀεὶ ὂν τῆς θείας ὑποστάσεως καθὰ καὶ ἀλλαχοῦ ἔφαμεν· ἀόριστος γὰρ ἡ λέξις· ὅθεν ὄνομα ἑαυτοῦ ὁ Θεὸς εἶπεν εἶναι τό· «Ὁ ὤν»[4]. Τὸ «Ἐν ἀρχῇ ἦν», ποιεῖ προὖπτον καὶ σφόδρα γε συμφανὲς τὸ ἄτοπον καὶ φευκτὸν τοῦ «Ἦν ὅτε οὐκ ἦν». Ἡ γὰρ λέξις ἡ «Ἦν», ἀπαρέμφατός ἐστιν· **[300]** ῥωμαϊστὶ δὲ ἡ ἀπαρέμφατος ἐκ δύο λέξεων σύγκειται· plusquam perfectus· ἑρμηνεύεται δέ, «πλέον ἢ τέλειος». Ὥστε νῦν ἀπαιτεῖ νοηθῆναι ὑπεράχρονος ἢ ἄναρχος. «Ὁ γὰρ ὢν ἐν τῇ ἀρχῇ» ἢ ἄν τις εἴποι ἀρχή ποτε ἀναιτίως οὐκ ἦν. Ἢ πάλιν ὁ μηδέπω ὢν χρόνος, τοῦ ποιήσαντος αὐτὸν πῶς εἶναι μέτρον δύναται; Τὸ «Ἦν πρὸς τὸν Θεόν»[5], παριστᾷ ἣν Υἱὸς ἔχει πρὸς Θεὸν Πατέρα φύσεως οἰκειότητα, καὶ τὸ ἀφ' οὗ ἦν, εἰ θέμις οὕτως εἰπεῖν, ὁ αὐτογενὴς Πατήρ, συνυπάρχειν αὐτῷ τὸν ἐξ αὐτοῦ Υἱόν. Ἐρρωμένως δὲ νοηθείη ἂν τὸ «Ἦν πρὸς τὸν Θεόν»[6], ὅτι κατὰ τὸν Θεὸν ἦν, ἄναρχος, ἀγένητος, ἀχώρητος, ἀγαθός, ἀθάνατος, παμβασιλεύς. Εἰ γὰρ μὴ οὕτως ἔχει ἐπὶ τῆς βρυθείσης σοφίας ταύτης, οὐχ ἕξει οὐδ' ἐπὶ τῆς πηγῆς τῆς βρυσάσης τὴν σοφίαν. Ἔχει δὲ οὕτως ἐπ' ἀμφοῖν. Ἐπιφανὴς γὰρ καὶ βέβαιος καὶ ἀπερίεργος καὶ πρὸς τὸ θεῖον ὁρῶν μόνον ὁ σκοπὸς καὶ ὁ θεοπαράδοτος λόγος τοῦ Ἰωάννου. Τὸ «Θεὸς ἦν ὁ Λόγος»[7], συνιστᾷ τὸ οὐσιώδη εἶναι τὸν Λόγον καὶ Θεὸν εἶναι, οἷός ἐστιν Θεὸς ἐκεῖνος οὗ Λόγος ἐστίν· καὶ αὖθις τὸ ἀναίτιον· Τὸ «Πάντα δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν»[8], ἀποβαίνει αὐτόν, ὡς ἤδη ἐλέχθη, μονονουχὶ δημιουργόν· ἀλλ' ὅτι καὶ οὐκ ἐκτίσθη· Εἰ γὰρ μηδὲ ἓν κτιστὸν χωρὶς αὐτοῦ τὸ εἶναι ἐδέξατο, παντί που δῆλον, ὡς αὐτὸς οὐκ ἐγένετο, ἀλλ' ἐγεννήθη θεϊκῶς. Καὶ γὰρ ἀμήχανον ἐκ μὴ ὄντων εἰς τὸ εἶναι ἥκειν, τὸν ὕπαρξιν τοῖς ὅλοις, καὶ τοῖς λογικοῖς οὐσίωσιν καὶ ἀθανασίαν δεδωκότα. Οὐδὲν γὰρ κτιστὸν οὐσιοῦν ἢ απ**[301]**αθανατοῦν ἢ λογικοὺς ποιεῖν δύναται· ἀλλ' ἐκ τῆς ἤδη παρὰ τοῦ Θεοῦ ἐξ οὐκ ὄντων παραχθείσης οὐσίας χρυσοῦ ἢ ἀργύρου ἢ χαλκοῦ ἢ σιδήρου ἢ ξύλου ἢ λίθου δημιουργεῖ ἄψυχον καὶ ἄλογον ἀνδριάντα τυχὸν ἤ τι ἕτερον· αὐτὸ δὲ οὐσίαν μὴ οὖσαν

1. Ρωμ. 14,10-11. Πρβλ. Ἠσ. 49,18. 45,23. 2. Ἰω. 1,1-5. 3. Πρβλ. Ἀποκ. 1,8. 4. Πρβλ. Ἐξ. 3,14. 5. Ἰω. 1,1. 6. Αὐτόθι. 7. Αὐτόθι. 8. Ἰω. 1,3.

προοῖσαι ἢ ἔμψυχον καὶ λογικὴν ἀναδεῖξαι, μόνης τῆς πανδυνάμου καὶ αὐτοτελοῦς μιᾶς θεϊκῆς φύσεως ἴδιον καὶ ἐξαίρετον τυγχάνει ὄν. «Ἐποίησεν» δὲ δι' αὐτοῦ ὁ Πατήρ, ὡς φῶς δι' οἰκείου ἀπαυγάσματος καὶ ὡς νοῦς διὰ λόγου. Τὸ «ἐν αὐτῷ ζωὴ ἦν»[1] ἐπεκδιδάσκει, ὅτι αὐτός ἐστιν ἀνάρχως, ἡ ζωὴ τῆς μιᾶς καὶ ἀνωτάτω φύσεως ὑπάρχων, καὶ μηδαμῶς ὄντως πάντων, αἴτιος ὢν τῶν ὄντων. Διὸ καὶ αὐτός φησιν· «Ἐγώ εἰμι ἡ ζωή[2]· ἐγώ εἰμι τὸ φῶς»[3]. Φιλοτιμεῖται δὲ τῷ ἀνάρχῳ τὰς μαρτυρίας τοσαυτάκις εἰπὼν τὸ «Ἦν»· ἵνα τῇ συνεχείᾳ τῆς τοιαύτης φωνῆς ἢ αἱρετικῶν τὰς κωφὰς ἀκοὰς διανοίξῃ ἢ μηδὲν περὶ τοῦ «Ἦν ὅτε οὐκ ἦν» ἐν τῇ μελλούσῃ καθολικῇ καὶ ἀπαρεγκλίτῳ διαγνώσει πρόφασις ὑπολειφθείη. Τὸ «Καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων»[4], ἐκπαιδεύει αὖθις τὰ αὐτά. Φησὶ γάρ· Αὕτη ἡ ἀγένητος ζωή, σύστασις τῆς γενητῆς ἀνθρώπων φύσεως ὑπάρχει. Τὸ «Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν»[5], οὐκ ἀνέχεται τῶν αἱρετικῶν δοξασμάτων. Κρυφίως γὰρ καὶ ἄγαν δριμέως δηλοῖ, ὡς ὅνπερ ἄν τις προχρόνιον χρόνον ἢ ἀκαριαίαν ῥοπὴν ἢ προαιώνιον αἰῶνα ὑπολάβῃ φαίνει ἀϊδίως ὡς ἀχώριστον ἀπαύγασμα τοῦ Θεοῦ καὶ οὔποτε σκοτία ἀνυπαρξίας αὐτὸ κατέλαβεν. Τὸ «Ὁ παντοκράτωρ»[6], οὐδὲ ἑρμηνείας δεῖται. Δείκνυσι γὰρ ἀδιαίρετον ἔχειν πρὸς τὸν Θεὸν Πατέρα καὶ τὸ Ἅγιον Πνεῦμα αὐτοῦ τὴν βασιλείαν καὶ εἶναι «ἐπὶ πάντων Θεόν»[7]. Τὸ «Ὁ ἐρχόμενος»[8] τὸν Υἱὸν δηλοῖ μέλλοντα ἔρχεσθαι τὸ δεύτερον καὶ κρίνειν ζῶντας καὶ νεκρούς.

[304] Συνιστῶν τοίνυν καὶ ὁ Βαπτιστὴς Ἰωάννης, ὅτι τὸ «Ὁ ὢν»[9] περὶ τοῦ Υἱοῦ εἴρηται, δηλοῖ τῷ Δεσπότῃ· «Σὺ εἶ (ἀντὶ τοῦ «Ἐκεῖνος ὁ ὤν», ὃν καὶ ἐν τῇ μήτρᾳ σε ὄντα τῆς Παρθένου, Θεὸν ἐπιγνοὺς αὐτὸς ἐγώ, ἐν τῇ νηδύι τῆς στείρας ὤν, διὰ τῆς σκιρτήσεως προσεκύνησα) «ἢ ἕτερον προσδοκῶμεν»[10]; Καὶ ἐν τῇ πρώτῃ δὲ Ἐπιστολῇ Ἰωάννης ὁ φίλος καὶ ἀπόστολος τοῦ Κυρίου γράφει· «Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς ἡμῶν· ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς· καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον, ἥτις ἦν πρὸς τὸν Πατέρα καὶ ἐφανερώθη ἡμῖν. Ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν, ἀπαγγέλλομεν καὶ ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν, καὶ ἡ κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ Πατρὸς καὶ μετὰ τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ»[11]. Πρόσχες καὶ αὖθις τῷ πλήθει τοῦ «ἦν»· καὶ ὡς κοινωνίαν σωτηρίας οὐκ ἔχουσιν μετὰ τοῦ Πατρὸς ἢ τοῦ Μονογενοῦς, οἱ μὴ ὁμολογοῦντες κατὰ φύσιν Υἱὸν εἶναι αὐτὸν συνάναρχον τοῦ Θεοῦ. Πρὸς ταύτην γὰρ ἡμῖν τὴν πίστιν τὴν παραδοθεῖσαν ἐν τῇ μυσταγωγίᾳ τοῦ φωτίσματος παρὰ τοῦ

---

1. Ἰω. 1,4. 2. Ἰω. 14,6. 3. Ἰω. 8,12. 4. Ἰω. 1,4. 5. Ἰω. 1,5. 6. Ἀποκ. 1,8. 7. Πρβλ. Ρωμ. 9,5. 8. Ἀποκ. 1,8. 9. Ἀποκ. 1,4,8. 4,8. 10. Ματθ. 11,3. Πρβλ. Λουκ. 7,19. 11. Α' Ἰω. 1,1-3.

πάντων Δεσπότου ἐστὶν ἡ κοινωνία ἣν Πέτρος ἔγραψεν· «Ἵνα γένησθε θείας κοινωνοὶ φύσεως»[1]. Τὸ γὰρ κτίσμα καὶ ὑπὸ χρόνον ὄν, οὐ θεία φύσις ἐστίν. Μέμνησο δὲ πρὸς τούτοις, ὅτιπερ «τὴν κοινωνίαν» ἡμῶν εἶπεν «μετὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ αὐτοῦ» ἰσοτίμως, καὶ οὐχὶ «Διὰ τοῦ [305] Υἱοῦ αὐτοῦ». Καὶ ὁ Ἀμὼς δὲ προφητεύων «Παντοκράτορα» ὁμοίως τὸν Υἱὸν ὀνομάζει, οὕτω που λέγων· «Ὁ οἰκοδομῶν εἰς οὐρανὸν τὴν ἀνάβασιν αὐτοῦ καὶ τὴν ἐπαγγελίαν αὐτοῦ ἐπὶ γῆς θεμελιῶν· ὁ προσκαλούμενος τὸ ὕδωρ τῆς θαλάσσης καὶ ἐκχέων αὐτὸ ἐπὶ πρόσωπον πάσης τῆς γῆς· Κύριος ὁ Θεὸς ὁ Παντοκράτωρ ὄνομα αὐτῷ»[2]. Περὶ ἧς ἀναβάσεως ψάλλει καὶ Δαυΐδ· «Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος»[3]. Ἄμφω ταῦτα περὶ τοῦ Υἱοῦ. Ὁ γὰρ Πατὴρ οὔτε κατέβη οὔτε ἀνέβη, ὡς ὁ Ἀπόστολος ἑρμηνεύει, γράφων ὧδε· «Τὸ δὲ ἀνέβη τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον; Ὁ καταβάς, αὐτός ἐστιν καὶ ὁ ἀναβὰς ὑπὲρ ἄνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα»[4]. Ὡς πάντων, φησίν, ὑπερανεστηκὼς καὶ ὑπερφέρων ὁμοῦ τῷ τεκόντι Πατρί, ἅτε ἀγένητος. Φανερὸς γάρ ἐστι τοῦτο νοήσας ἀφ' ὧν καὶ αἱ νοεραὶ δυνάμεις, ἐπειδὴ κτίσματα μεμετρημένα τυγχάνουσιν οὖσαι ἐν οὐρανῷ, ἀλλ' οὐχ ὑπὲρ ἄνω τῶν οὐρανῶν, οὐδὲ πληροῦσαι τὰ πάντα εἰσίν. Καὶ Σοφωνίας παντοκράτορα ὡσαύτως ἀναγορεύει αὐτόν, λέγων· «Αὕτη αὐτοῖς ἀντὶ τῆς ὕβρεως αὐτῶν· διότι ὠνείδισαν καὶ ἐμεγαλύνθησαν ἐπὶ τὸν Κύριον τὸν παντοκράτορα. Ἐπιφανήσεται Κύριος ἐπ' αὐτοὺς καὶ ἐξολοθρεύσει Κύριος πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς καὶ προσκυνήσουσιν ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ»[5]. Καὶ Μαλαχίας ἑπομένως ἐκ προσώπου τοῦ Δεσπότου φάσκει· «Διότι ἀπὸ ἀνατολῶν ἡλίου καὶ ἕως δυσμῶν δεδόξασταί μου τὸ ὄνομα ἐν τοῖς ἔθνεσιν, καὶ ἐν παντὶ τόπῳ θυμίαμα προσάγεται τῷ ὀνόματί μου καὶ θυσία καθαρά· διότι μέγα τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσιν, λέγει Κύριος παντοκράτωρ· ὑμεῖς δὲ βεβηλοῦτε αὐτό»[6]. Ἡ γὰρ μνήμη τῆς τε «ἐπιφανείας» καὶ τοῦ «δοξάζεσθαι ἐν τοῖς [308] ἔθνεσιν»[7], τὸν Υἱὸν σημαίνεσθαι δείκνυσιν, οὗ τὸ ὄνομα «βεβηλοῦσιν» Ἰουδαῖοι σὺν τοῖς κτισματολάτραις. Καὶ αὐτὴ δὲ ἡ ἀκολουθία παντοκράτορα αὐτὸν εἶναι βούλεται, καθ' ὃ εἰκὼν καὶ Μονογενὴς παντοκράτορος κεχρεωστημένος, τὸ καὶ ἐν τούτῳ εἰκὼν νοεῖσθαι τοῦ παντοκράτορος. Καὶ Παῦλος δὲ Ἑβραίοις γράφει· «Ὃς ὢν ἀπαύγασμα τῆς δόξης τοῦ Πατρός»[8], τοῦτ' ἔστιν συνάναρχος καὶ ὁμοούσιος. Ἵνα γὰρ τὰ ἀπαράβλητα παραβολικῶς πως παραδειχθείη, εἰ κἂν οὕτω ποσῶς εἰς νοῦν δειχθείη τὸ ὑπὲρ νοῦν, ἐρῶ (τὸ μέγα καὶ μόνον μέγα μικρῷ συμβάλλων), ὡς ἅμα τε ἥλιος, ἅμα ἐξ ἡλίου φύσεως καὶ ἐξ ὅλου τοῦ δίσκου ἀμερίστως καὶ ἀδιαστάτως καὶ ἰσομέτρως ὅλον τὸ φῶς συνεκφαίνεται καὶ

---

1. Β' Πέτρ. 1,4. 2. Ἀμ. 9.6. 3. Ψαλ. 46,6. 4. Ἐφ. 4,9-10. 5. Σοφον. 2,10-11. 6. Μαλ. 10,11-12. 7. Μαλ. 10,11. 8. Πρβλ. Ἑβρ. 1,3.

συνενεργεῖ καὶ συμπαρέχει τὴν θέρμην τοῖς αἰσθήσεως δεκτικοῖς καὶ τῆς τοῦ προέντος οὐσίας τὸ ἀμέσως καὶ οὐχ ὕστερον προχεόμενον καὶ συμπροϊὸν καὶ συνυφιστάμενον φῶς, ὅλην ἐν ἑαυτῷ διεκφαίνει τὴν ποιότητα. Εἰ δὲ πρὸς τὸ εἶκον ἐκείνοις «Ἦν ὅτε οὐκ ἦν» τὸ ἀπαύγασμα· ποῦ ἡ ἀπαυγάζουσα αὐτὸ ὑπόστασις τοῦ φωτός; Συνδιολισθήσει γάρ που πάντως ἐκείνῳ τοῦτο. Καὶ μὴν καὶ Δανιὴλ προφητεύων εἶπεν· «Καὶ φῶς μετ' αὐτοῦ ἦν»[1], ἀντί τοῦ, ὁ Υἱὸς μετὰ τοῦ Πατρός. Τοῦτο γὰρ μάλιστα δείκνυσιν τὸ ἀσυνείκαστον καὶ μέγα τῆς θεότητος ὅτι συνάναρχον αὐτοῦ καὶ σύναρχον, ὁμοῦ δὲ καὶ τέλειον καὶ ἀπαράλλακτον ἀπαθῶς ἐγέννησεν ὁ Πατήρ. Κτίσματος γὰρ ἴδιον καὶ οὐ κτίστου· τρεπτοῦ καὶ οὐκ ἀτρέπτου· ὑπὸ κρίσιν καὶ οὐ κριτοῦ· ζωοποιουμένου καὶ οὐ ζωοποιοῦντος· ὑπὸ ἁμαρτίαν καὶ οὐ Θεοῦ τὸ μὴ οὕτως γεννῆσαι καὶ γεννηθῆναι. Εἰ γὰρ αὐτός, οὔπω ἐνεργείας ἄλλης οὐδεμιᾶς γενομένης, ἐποίησε τοὺς αἰῶνας, οἳ ἐκ τῶν χρόνων ἀποτελοῦνται, καὶ τοῖς πᾶσιν ἀρχὴν ἐπέθηκεν, οὐδὲν δὲ πρὸ τῶν χρόνων καὶ αἰώνων νοεῖσθαι δύναται, εἰ μὴ ἡ ἀκατάληπτος καὶ ἀληθῶς μόνη πρωτίστη καὶ πρωτουργὸς φύσις, ἡ μόνως οὖσα ἄναρχος καὶ αἰώνιος καὶ ὕφεσιν πρὸς ἑτέραν οὐκ ἔχουσα· πῶς οὐκ ἀνάρχως ἐκ τῆς ὑποστάσεως γεννηθῆναι πιστεύεται τοῦ Πατρὸς καὶ οὐκ ἐκ τῆς ἐνεργείας; Χρόνον γὰρ οὐ διορίζοντος, οὐκ ἔστιν πρότερον καὶ ὕστερον· ἀλλ' ὁ μὴ ὢν ὑπὸ χρόνον, ἄναρχός ἐστιν· ὁ δὲ ἄναρχος ἄκτιστος. Ὥσπερ γὰρ οὐκ ἔστι χρόνος ἀγένητος, οὕτως οὐδὲ κτίσις ἄχρονος, ἀλλ' ἔχει μέτρον τὸν χρόνον· σὺν αὐτῇ γὰρ καὶ ὁ χρόνος γέγονεν. Καὶ εἰκό**[309]**τως πάντα μὲν ἀπὸ τοῦ Δημιουργοῦ μετρεῖται ὡς δεύτερα, αὐτὸς δὲ ὑπ' οὐδενός, ἐπειδὴ ἄναρχος καὶ φύσει Θεός.

Τὰ δὲ ἴσα θεωρεῖται καὶ περὶ τοῦ Ἁγίου Πνεύματος. Οὐ γὰρ γέγραπταί ποτε, «ἐξεπορεύθη», ἀλλ' «ἐκπορεύεται»[2]. Πῶς δὲ αὐτὴ ἡ ζωὴ ζωοποιεῖται ἢ τὸ ἀληθινὸν φῶς φωτίζεται; Ἦν δὲ ἄρα τότε θεῖον φῶς καὶ «ζωὴ αἰώνιος»[3] ἀεὶ καὶ αὐτὸς ἑαυτὸν λέγει ὁ ἀψευδὴς καὶ μέγας Θεός· οὐκ ἦν μὴ ὅτε ἀπαύγασμα δόξης καὶ χαρακτῆρα ὑποστάσεως»[4] καὶ εἰκόνα ἀγαθότητος[5] καὶ δύναμιν καὶ σοφίαν[6] καὶ δικαιοσύνην Θεοῦ»[7] (ἃ ὑπάρχειν τὸν αὐτὸν Μονογενῆ Παῦλος μαρτυρεῖ) οὐκ εἶχεν ὁ Πατήρ· ἀλλ', ὃ μὴ προσῆκεν εἰπεῖν, ὕστερον ὅ τι οὖν προσέλαβεν. Εἰ δὲ εἶχεν, ἦν ἀεὶ ὁ ταῦτα ὢν Μονογενής. Οὔτε γὰρ ὁ ταῦτα ὢν ἐκτὸς τοῦ Θεοῦ, οὔτε ὁ Θεὸς χωρὶς τοῦ ὄντος αὐτοῦ ταῦτά ποτε νοηθῆναι δύναται. Ταῦτα δὲ ὑπάρχει ὁ Μονογενής, οὐ καθάπερ ἕξις ἢ ἐπιτηδειότης, ἀλλ' οὐσιωδῶς, καθὰ προείρηται. Εἰ δὲ καὶ ἐν τῇ ἀρχῇ τῆς κοσμογονίας, τὰ πρῶτα δένδρα σὺν τοῖς ἐξ αὐτῶν καρποῖς συνυπέστη (καὶ παράδοξον οὐδὲν εἰ σὺν τῇ ῥίζῃ ὁ καρπὸς συνανέτειλεν), πῶς ἀμήχανον κατ' ἀρχὰς τὸν εὐμήχανον Πατέρα μὴ ἔγκαρπον γεγε-

1. Πρβλ. Δαν. (Θδτ.) 2,22. 2. Πρβλ. Ἰω. 15,26. 3. Πρβλ. Α' Ἰω. 5,20. 4. Ἑβρ. 1,3. 5. Πρβλ. Σοφ. Σολ. 7,26. 6. Πρβλ. Α' Κορ. 1,24. 7. Πρβλ. Α' Κορ. 1,30.

νῆσθαι τοῦ ἰδίου Υἱοῦ καὶ εὐθὺς ἐκ τῆς δόξης τῆς ὑποστάσεως αὐτοῦ συνεκλάμψαι τὸ ἀπαύγασμα; Καθὰ οὖν αὐτοῦ ἡ τῆς ἐνανθρωπήσεως κάτω γέννησις ἑτέρᾳ γεννήσει οὐ συγκρίνεται (ἐκ Παρθένου γὰρ ἄρρευστος, ἀπήμαντος, ὅπερ ἡ φύσις ἡμῶν οὐκ ἔχει), οὕτω καὶ ἄνω γέννησις ἀκατάληπτος ὑπὲρ τὸ πλέον καὶ πᾶσαν ἐξαλλάττουσα γέννησιν ὑπάρχει· καὶ οὔτε ἀπιστεῖν χρή, οὔτε μὴν ζητεῖν ἢ ἐξηγεῖσθαι τὸν τρόπον ἡμῖν ἀσφαλές, τοῖς εἰπεῖν μὴ δυναμένοις. Πῶς παρθένος ἔτεκεν μείνασα παρθένος, μήτε δὲ τὴν ἰδίαν ἡμῶν **[312]** γέννησιν ἐπισταμένοις· ὅπου γε καὶ τὴν καθ' ἡμᾶς εἰ ἐγινώσκομεν, οὐ πάντως καὶ τὴν τοῦ Θεοῦ, ἥτις καὶ ταῖς ἐπουρανίοις δυνάμεσιν ἀκατάληπτος οὖσα τυγχάνει· διὸ σὺν ἐκπλήξει ὁ προφήτης φησίν, περὶ μὲν τῆς κάτω γεννήσεως· «Καὶ ἄνθρωπός ἐστιν, καὶ τίς γνώσεται αὐτόν;»[1] ἀντὶ τοῦ, οὐδείς· περὶ δὲ τῆς ἄνω· «Τὴν δὲ γενεὰν αὐτοῦ τίς ἐξηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ»[2]· τὴν γέννησιν, «γενεάν»· τὴν ὕπαρξιν, «ζωήν»· τὸ ὑπερεξεπῆρθαι ἀμέτρως ἀπὸ τῆς γῆς καὶ ὑπερφέρειν παντὸς νοῦ, «αἴρεται ἀπὸ τῆς γῆς» καλέσας μυστικώτατα. Ὅτι γὰρ παντὸς χρόνου ὃν ἂν νοήσῃ τις, πολλὰ κυκλεύσας τῇ διανοίᾳ, ἀπεράντως ἀνώτατος καὶ ποσότητος πάσης ἀσυγκρίτως ἀμείνων, καὶ τὴν οὐσίαν ἀπερινόητος, καὶ πάντοθεν ἄποπτος εἰς ἅπαν καθέστηκεν, αὐτὸς ἑαυτὸν περιβαλών, καὶ οὐδὲν ἑαυτοῦ ἔξωθεν ἔχων· καὶ παραχωρεῖ τῷ τοσούτῳ αὐτοῦ ἀκαταλήπτῳ καὶ ἡ ἀγγέλων πληθύς, καὶ πᾶς οὐρανίων ταγμάτων δῆμος· ἐκβοῶσιν ὧδί· ὁ μὲν Δαυῒδ ἐν ιζ' ψαλμῷ· «Ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ καὶ κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ»[3]· ἡ δὲ ᾠδὴ Ἀμβακούμ· «Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ»[4]· ὁ δὲ Ματθαῖος· «Οὐδείς», φησίν, «γινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός»[5]. Τὸ μὲν γὰρ τεχθὲν παρὰ τῆς κτίσεως κατὰ κοινωνίαν ἄλλου πρὸς ἄλλο γεγέννηται καὶ οὐ συμφυὲς τῷ γεννήσαντι· οὐδὲ τέλειον εὐθὺς καὶ ἀπαθῶς ἐξελήλυθεν. Ἐπὶ δὲ τῆς θεότητος, τὸ ἔμπαλιν. Ἐπειδὴ γὰρ ἡ κτίσις τοιῶσδε, ὁ γενεσιουργὸς ἐναντίως, καὶ οὐχ ὁμοίως τῶν ἰδίων ποιημάτων, ἀλλ' ὡς οἶδεν ταῦτα μόνη ἡ μακαρία Τριάς. Οὐδὲ γὰρ ἀκατάληπτος, εἰ κατελαμβάνετο· οὐδὲ μυστήριον, εἰ ἐγινώσκετο· οὐδὲ θεῖον, εἰ ἐχωρεῖτο· οὐδὲ δημιουργὸς πάντων, εἰ ἀπὸ χρόνου· οὐδὲ ἀσύνθετος καὶ ἀμερής, εἰ πρὸς τὰ σώματα. Καθάπερ γὰρ ἀκούοντες περὶ τοῦ Πατρός· «Ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος σὺ εἶ»[6]· καὶ «ἕως τῶν νεφελῶν ἡ ἀλήθεια αὐτοῦ»[7]· οὐχ ὅρους τιθέαμεν αὐτῷ, ἀλλὰ τὸ ἀΐδιον πιστεύομεν (οὐ γὰρ ὁμῆλιξ αὐτῷ ὁ αἰών)· ὡσαύτως περί τε τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος φρονεῖν ὀφείλομεν· ἐπὶ γὰρ τῆς πάντων ἐπικρατούσης μιᾶς φύσεως, εἰς ἣν αὗται αἱ πάντιμοι ὑποστάσεις. Τὰ ἴσα μελῳδεῖ καὶ περὶ τοῦ Υἱοῦ· «Σὺ ὁ αὐτὸς εἶ καὶ **[313]** τὰ ἔτη σου οὐκ ἐκλείψουσιν»[8]. Καὶ εἰ μὴ μι-

---

1. Ἱερ. 17,9. 2. Ἡσ. 53,8. 3. Ψαλ. 17,12. 4. Ἀββ. 3,2.
5. Ματθ. 11,27. 6. Ψαλ. 89,2. 7. Ψαλ. 107,5. 8. Ψαλ. 101,28.

κρὸν τὸ περὶ τοῦ Πατρὸς γεγράφθαι, «Ὁ ὑπάρχων πρὸ τῶν αἰώνων»[1], οὐ μικρὸν οὐδὲ τὸ περὶ τοῦ Υἱοῦ αὐτοῦ χρησμῳδηθέν, ὅτι «Προαιώνιος Θεός»[2]· δῆλον δ', ὡς ἀπερινόητος, καθὰ δειχθήσεται οὐ πολλῷ ὕστερον. Καὶ καθὰ ὁ Πατὴρ ἔχει ἀθανασίαν[3], μᾶλλον δὲ αὐτός ἐστιν ἡ ἀθανασία· οὕτως ὁ Υἱός ἐστιν ζωὴ αἰώνιος, ἔστι δὲ τὸ αὐτό. Καὶ ὥσπερ ὁ Πατήρ, Εἷς Θεὸς εἴρηται· οὕτως ὁ Υἱὸς κέκληται «Μονογενής, Θεὸς[4] Λόγος» καὶ «Εἷς Κύριος Ἰησοῦς Χριστός»[5]. Καὶ ὡς Ἰάκωβος περὶ αὐτοῦ γράφει· «Εἷς ἐστιν ὁ νομοθέτης καὶ κριτής, ὁ μόνος σῴζειν δυνάμενος»[6]· οὕτω τὸ Πνεῦμα παρὰ Παύλου, Κορινθίοις καὶ Ἐφεσίοις γράψαντος ὕμνηται, «Ἕν»[7], καὶ «τὸ αὐτό»[8], καὶ «μόνον»· ἵνα καὶ αὐτῷ τούτῳ τῷ ὡσανεὶ ἀριθμῷ, ἵν' οὕτω λεχθῇ, δείκνυνται φέρουσαι αἱ μακάριαι ὑποστάσεις αὗται τὸ ἑναδικόν, ἤτοι μοναδικὸν τῆς πατρικῆς θεότητος. Καὶ εἰ ἐπὶ τοῦ Πατρὸς ἀληθὲς τὸ «ὁ Θεὸς καὶ Κύριος», ἀψευδὲς καὶ ἐπὶ τοῦ Υἱοῦ αὐτοῦ καὶ τοῦ Πνεύματος. Ὡς γὰρ ἐπεμνήσθημεν πολλαχοῦ, ἥ τε Πρεσβυτέρα Διαθήκη, τὴν ἰσοτιμίαν, φυλάξασα διελάλησεν· «Εἶπε Κύριος τῷ Κυρίῳ μου»[9]· καὶ «Ἔβρεξεν Κύριος παρὰ Κυρίου»[10]· καὶ «Ἐποίησεν ὁ Θεὸς κατ' εἰκόνα Θεοῦ τὸν ἄνθρωπον»[11]· καὶ «Τίς Θεὸς πάρεξ τοῦ Κυρίου»[12], καὶ «Τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν»[13]. Καὶ ἐν τῇ Νέᾳ δὲ Διαθήκῃ, ὁ μὲν Ἰωάννης ἔφη ἅπερ ἤδη ἐλέχθη· ὁ δὲ Θωμᾶς· «ὁ Κύριός μου καὶ ὁ Θεός μου»[14]· καὶ ὁ Παῦλος· «Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν· οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία»[15]· καὶ πάλιν καθάπερ ἀπὸ Κυρίου Πνεύματος· «Καὶ δῴη Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου τῷ Ὀνησιφόρου οἴκῳ»[16]. Ὁ δὲ Ἰώβ· «Πνεῦμα θεῖον τὸ ποιῆσάν με»[17]· καὶ «Πνεῦμα θεῖον τὸ περιόν μοι ἐν ῥισίν»[18]. Ταυτὸν δέ ἐστιν τῇ Γραφῇ λέξαι θεῖον ἢ Θεόν, ὡς διδάσκουσιν, Παῦλος μὲν Ῥωμαίοις γράφων· «Ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θειότης»[19], αἱ δὲ Πράξεις· «οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ χαράγματι τέχνης ἢ ἐνθυμήσεως ἀνθρωπίνης, τὸ θεῖον εἶναι ὅμοιον»[20], Πέτρος δὲ ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ· «Ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως»[21]. Καὶ ὃν τρόπον ὁ Πατὴρ ἀκατάληπτος, οὕτω καὶ τοῦ Χριστοῦ ὁ πλοῦτος ἀνεξιχνία**[316]**στος, κατὰ τὸν Παῦλον, τυγχάνει ὤν. Φησὶν γάρ· «Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἀνθρώπων ἐδόθη ἡ χάρις εὐαγγελίζεσθαι ἐν τοῖς ἔθνεσιν τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ»[22]. Ἀλλὰ καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστιν πέρας[23], οὔτε τῆς συνέσεως ἀριθμός[24], κατὰ τὸν Δαυΐδ· οὔτε τῆς εἰρήνης ὅριον[25], κατὰ Ἡσαΐαν. Καὶ «Τὸ ἄφθαρτον δέ σου», φησίν, «Πνεῦμά ἐστιν ἐν

---

1. Ψαλ. 54,20. 2. Πρβλ. Ψαλ. 73,12. 3. Πρβλ. Α' Τιμ. 6,16. 4. Ἰω. 1,18. 5. Α' Κορ. 8,6. 6. Ἰακ. 4,12. 7. Πρβλ. Α' Κορ. 12,13. Ἐφ. 2,18. 8. Πρβλ. Α' Κορ. 12,4. 9. Ψαλ. 109,1. 10. Γεν. 19,24. 11. Γεν. 1,27. 12. Πρβλ. Ψαλ. 17,32. 13. Ψαλ. 17,32. 14. Ἰω. 20,28. 15. Β' Κορ. 3,17. 16. Β' Τιμ. 1,16. 17. Ἰὼβ 33,4. 18. Ἰὼβ 27,3. 19. Ρωμ. 1,20. 20. Πράξ. 17,29. 21. Β' Πέτρ. 1,4. 22. Ἐφ. 3,8. 23. Ψαλ. 144,3. 24. Πρβλ. Ψαλ. 146,3. 25. Ἡσ. 9,6.

πᾶσιν»[1]· καὶ «Πνεῦμα Κυρίου πεπλήρωκεν τὴν οἰκουμένην»[2]. Οὐδεὶς γὰρ ἂν οὕτω παχύνους καὶ νωθὴς εὑρεθείη, ὅστις μὴ ἐκ τούτων τῶν ἀπλάστων καὶ καθαρῶν μαρτυριῶν τὸ ἀπέραντον τοῦ Μονογενοῦς καὶ τοῦ παναγίου Πνεύματος συνείδοι.

Καὶ ἰσόσταθμα καὶ ὁμοιόλεκτα τὰ περὶ ἀμφοῖν τῶν ὑποστάσεων γραφέντα παρὰ τοῦ Ἀποστόλου φημί, τά τε περὶ τοῦ Πατρὸς διαλεγόμενα· «Ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν Θεός»[3]· καὶ «ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι»[4]· τά τε περὶ τοῦ Υἱοῦ Ῥωμαίοις γραφέντα· «Ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν»[5]· πρὸς τούτῳ καὶ «Τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσιν πληρουμένου». Ἔτι ὅμοια τὰ χρησθέντα, περὶ μὲν τοῦ Πατρός· «Ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν»[7]· περὶ δὲ τοῦ Υἱοῦ αὐτοῦ· «Ὅπου οὐκ ἔνι Ἕλ**[317]**λην καὶ Ἰουδαῖος, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος· ἀλλὰ τὰ πάντα ἐν πᾶσιν Χριστός»[8]. Καὶ ἑτέρωθι· «Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι εἷς Κύριος Ἰησοῦς Χριστός»[9]. Περὶ δὲ τοῦ Πνεύματος, κατά τε τὰ περὶ αὐτοῦ προσφάτως εἰρημένα, καὶ καθ' ὃ πάντα νοεῖσθαι, κεχρεώστηται αὐτῷ· ὅσα ἐστὶν ὁ Πατήρ, ὡς Πνεῦμα αὐτοῦ, δίχα μέντοι τοῦ εἶναι Πατέρα. Ἐξεικονίζει γὰρ καὶ ἐν τούτῳ καὶ ἐν πᾶσιν τὸν Θεόν, ᾗ διαγορεύει· «Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν ἡμῖν ἐστιν ἐκ τοῦ Πνεύματος αὐτοῦ, οὗ ἔδωκεν ἡμῖν»[10]· καὶ ἰσοδύναμον τῷ μελῳδηθέντι περὶ τοῦ Θεοῦ Πατρός, «Σὺ εἶ μόνος Ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν»[11], τὸ περὶ τοῦ Υἱοῦ χρησμῳδηθὲν ἐν πς' ψαλμῷ· «Μήτηρ Σιὼν ἐρεῖ· Ἄνθρωπος καὶ ἄνθρωπος ἐγενήθη ἐν αὐτῇ καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος»[12]. Καὶ τὸ περὶ τοῦ Ἁγίου Πνεύματος ἐν Εὐαγγελίῳ· «Ὑμεῖς λήψεσθε δύναμιν ἐξ ὕψους ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ ὑμᾶς»[13]. Καὶ καθὰ μέγας ὁ Πατὴρ πρὸς τοῖς ἄλλοις, ὅτι οἶδεν τὸν Υἱόν· οὕτω καὶ ὁ Υἱὸς μέγας ἐστὶ καὶ διὰ τὸ γινώσκειν τὸν Πατέρα. Ὁμοίως καὶ τὸ Ἅγιον Πνεῦμα. Φησὶ γάρ· «Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ»[14]. Καὶ ἀπαράλλακτον τῷ παρὰ Παύλου Ἑβραίοις γραφέντι περὶ τοῦ Πατρός· «Ἔπρεπε γὰρ αὐτῷ, δι ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα»[15], τὸ περὶ τοῦ Υἱοῦ χρησμῳδηθέν· «Πάντα δι' αὐτοῦ ἐγένετο»[16]· καὶ περὶ τοῦ Πνεύματος· «Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαι αἱ δυνάμεις αὐτῶν»[17]. Αἱ οὖν τῷ Θεῷ καὶ Πατρὶ ἐν ἴσῳ ἐκτετιμημέναι ἔνδοξοι ὑποστάσεις, ὡς τὴν ἐπὶ πάν**[320]**των θεϊκὴν ἄμεικτον καὶ ἀπαράβλητον αὐτοῦ φύσιν δια-

---

1. Σοφ. Σολ. 12,1. 2. Σοφ. Σολ. 1,7. 3. Ἐφ. 4,6. 4. Β' Κορ. 11,31. 5. Ρωμ. 9,5. 6. Ἐφ. 1,23. 7. Α' Κορ. 15,28. 8. Κολ. 3,11. 9. Φιλιπ. 2,10-11. 10. Α' Ἰω. 4,13. 11. Ψαλ. 82,19. 12. Ψαλ. 86,5. 13. Πράξ. 1,8. 14. Α' Κορ. 2,11. 15. Ἑβρ. 2,10. 16. Ἰω. 1,3. 17. Ψαλ. 32,6.

κληρωσάμεναι· πῶς ἂν ἐν πᾶσιν ὑπὸ Θεῷ, καθ' ὃ κτιστὰς ψηφίζονται αὐτάς, συναριθμείησαν; Ὥσπερ γὰρ ἀδύνατόν ἐστι μὴ τὸν Πατέρα ἀνάρχως τε καὶ ἀληθῶς εἶναι Πατέρα (οὐ γὰρ χρόνῳ, οὐδ' ἐπίθετον ἔσχε τὸ ὄνομα τοῦτο), οὕτως ἀδύνατόν ἐστιν μὴ τὸν Υἱὸν Λόγον καὶ τὸ Πνεῦμα αὐτοῦ ἀνάρχως τε καὶ φύσει εἶναι ἐκ τῆς ὑποστάσεως αὐτοῦ· ἅμα γὰρ Πατὴρ (συγχωρηθῇ δὲ τὸ οὕτως εἰπεῖν), ἀδιαστάτως, ὁ μὲν ἐγεννήθη, τὸ δὲ ἐξεπορεύθη. Καὶ τοῦ εἶναι οὖν Πατέρα τοῦ Μονογενοῦς, καὶ τοῦ ἔχειν τὸ Πνεῦμα αὐτοῦ ἐκπορευόμενον παρ' αὐτοῦ οὐ παρῄρηται· καὶ διὰ τὸ εἶναι Πατέρα, οὔτε χρόνῳ, οὔτε οὐσίᾳ διαφέρει τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος αὐτοῦ. Εἰ γὰρ ὕστερον ἐγέννα, μετεβάλλετο ἄν, ἤτ' οὖν ἐτρέπετο, ὅπερ ἀλλότριον θεότητος, μετὰ τοῦ εὑρίσκεσθαι τὸν Θεόν ποτε μὴ λεγόμενον ἢ μὴ ὄντα Πατέρα, ὡς μήπου γεγεννηκότα.

Καὶ Ἑβραίοις δὲ ὁ Ἀπόστολος τὸ ἄναρχον καὶ ἀκατάληπτον τῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ γεννήσεως παριστῶν γράφει περὶ τοῦ Μελχισεδέκ· **[321]** «Ἀπάτωρ, ἀμήτωρ, ἀγενεαλόγητος· μηδὲ ἀρχὴν ἡμερῶν ἔχων, μηδὲ τέλος ζωῆς ἀφωμοιωμένος τῷ Υἱῷ τοῦ Θεοῦ»[1]. Ἀφωμοίωτο, δέ, καθὸ οὐκ ἐγενεαλογήθη, ὡς ἔθος ἦν ποιεῖν ταῖς φυλαῖς τοῦ Ἰσραὴλ περὶ τῶν ἐν αὐτοῖς ἐντίμων· διὰ τὸ εἶναι αὐτὸν τύπον καὶ ὑπογραμμόν τινα τοῦ Δεσπότου, τοῦ ἄνω μὲν ἀμήτορος καὶ ἀχρόνου, κάτω δὲ ἀπάτορος καὶ ἀπὸ χρόνου. Καίτοι ἐπιφανὴς ἱερεὺς γενόμενος ὁ Μελχισεδέκ, ὡς εὐλογηθῆναι παρ' αὐτοῦ τὸν Ἀβραὰμ καὶ δεκάτας αὐτῷ τῶν σκύλων παρασχεῖν, καθὰ ὁ αὐτὸς Ἀπόστολος λέγει· «Θεωρεῖτε δὲ πηλίκος οὗτος ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρισεν Ἀβραάμ»[2]· καὶ πάλιν· «Καί, ὡς ἔπος εἰπεῖν, διὰ Ἀβραὰμ καὶ Λευῒ ὁ δεκάτας λαμβάνων, δεδεκάτωται»[3]· τοῦτ' ἔστιν, διὰ τοῦ προπάτορος Ἀβραάμ. «Ἔτι γάρ», φησίν, «ἐν τῇ ὀσφύι τοῦ πατρὸς ἦν»[4] (Λευῒ ὁ ἀπόγονος Ἀβραάμ, παρ' οὗ ἡ δεκάτωσις τῷ Κυρίῳ γενικῶς ἐπινενόηται) «ὅτε συνήντησεν αὐτῷ» (τοῦτ' ἔστιν τῷ Ἀβραὰμ) ὁ Μελχισεδέκ. Τί δὴ οὖν τὸ βούλημα τῆς κενολογίας αὐτῶν, καί πη τὸ ἄτοπον; Σύνες γάρ· Ὅσοι ἐθέλωσι λέγειν ἀρχὴν καὶ πέρας ὁμολογοῦσιν· καὶ τῷ γένεσιν ἐπαγγέλεσθαι καὶ τὴν ἐκ ταύτης θνῆσιν ἀποδέχονται· καὶ τῷ ἐξ οὐκ ὄντων ἢ ἐξ ἀνομοίας τῆς θεϊκῆς οὐσίας ὑπολαμβάνειν γεγενῆσθαι θνητόν τε ἅμα καὶ ἀλλότριον, τῆς τοῦ Πατρός συνθεότητος ἀποφαίνονται· ὅπερ καὶ λεγόμενον μονονουχὶ καὶ δοξαζόμενον πάσης ἀθεΐας ἀνάμεστον. Ἀλλὰ πρὸς τὸ «Ἐν ἀρχῇ ἦν ὁ Λόγος»[5] τὰ ἐκείνων δῆθεν ἰσχυρά. Ἐγράφη καὶ περὶ τῆς κτίσεως, φησίν, τὸ «Ἦν». Ἔχει γάρ· «Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος»[6]· καί· «Ἦν ἄνθρωπος ἐξ Ἀρμαθὲμ Σιφά»[7]. Οὐδὲν δὲ κοινὸν τῷ «Ἐν ἀρχῇ ἦν» καὶ τῷ· «Ἐν ἀρχῇ ἐποίησεν»·

---

1. Ἑβρ. 7,3. 2. Πρβλ. Ἑβρ. 7,4. 3. Ἑβρ. 7,9 4. Ἑβρ 7,10. 5. Ἰω. 1,1. 6. Γεν. 1,1. 7. Α' Βασ. 1,1.

οὐδὲ τῷ κτίστῃ πρὸς τὸ κτίσμα. Τὸ γὰρ «Ἦν» ἐπὶ τῆς κτίσεως, περὶ μόνου [324] τοῦ ῥέοντος χρόνου, τοῦ καὶ περατουμένου, λέγεται καὶ πιστεύεται. «Ἦν» γὰρ ἡ κτίσις μετὰ τὸ ἐξ οὐκ ὄντων γενέσθαι. Εἶπε γὰρ προλαβὼν ὅτι ἐποίησεν αὐτὴν καὶ τότε ἐπήγαγε τὸ «Ἦν» ἵνα μὴ αὐτόματος νομισθῇ. Ἐπὶ δὲ τοῦ Θεοῦ Λόγου, τὸ ὑπεράναρχον σημαίνει. «Ἐν ἀρχῇ» γάρ, φησίν, «ἦν» καὶ «Θεὸς ἦν»[1]· καὶ τὸ «Ἐν ἀρχῇ ἦν» τὸ ἐκ μὴ ὄντων ἐξωθεῖ. Μαρτυροῦσι δέ, περὶ μὲν τοῦ εἶναι τὸν Υἱὸν προαιώνιον καὶ ποιητὴν τῶν αἰώνων, ὧδε· Παῦλος ἐπιστέλλων Ἑβραίοις μέν· «Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτου τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθηκεν κληρονόμον πάντων· δι οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν»[2]. Αὐτὸς οὖν τὰ ἑαυτοῦ κληρονομεῖ καὶ ὡς ποιητὴς αὐτῶν καὶ ὡς ἀληθινὸς Υἱός· ἐτέθη δὲ κληρονόμος, ὡς ἐνανθρωπήσας. Κορινθίοις δὲ ἐν τῇ πρώτῃ Ἐπιστολῇ· «Θεμέλιον γὰρ οὐδεὶς δύναται θεῖναι, παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός»[3]· τοῦτ' ἔστιν, ἀρχὴν ἐπινοηθῆναι τοῦ Υἱοῦ, ἀμήχανον· ἐν αὐτῷ γὰρ καὶ δι' αὐτοῦ πᾶσα ἀρχή[4]· Δαυῒδ δὲ ἐν ογ' ψαλμῷ περὶ τοῦ ἀνάρχου ψάλλων· «Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν, προαιώνιος· εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς»[5]. Λέγει δὲ τὸν Γολγοθᾶν, τόπον μεσώτατον καὶ οἱονεὶ κέντρον τῆς ὑπ' οὐρανὸν ὀνομάζων αὐτόν· ἐν ᾧ τῇ μὲν θεϊκῇ αὐτοῦ προγνώσει πρὸ αἰῶνος εἰργάσατο ἡμῖν σωτηρίαν ἐν τῇ ἐνανθρωπήσει ὁ Υἱός· τῷ δὲ πράγματι, ὅτε δι' ἀγαθότητα ἔπαθεν ὡς οἶδεν καὶ ἠθέλησεν ὁ ἀπαθὴς ὑπὲρ ἡμῶν, καὶ ἕως τῆς καρδίας τῆς γῆς, ὡς εἰπεῖν, ἐγένετο· καθὰ καὶ Ἰεζεκιὴλ προφητεύει τοιάδε· «Αὐτὴν [325] Ἱερουσαλὴμ εἰς μέσον τῶν ἐθνῶν τέθεικα αὐτήν»[6] · καὶ ἐν ριη' ψαλμῷ· «Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ»[7]. Καὶ αὐτὸς περὶ ἑαυτοῦ ὁ Δεσπότης αἱρετικοῖς που πάντως ἀποκλείων εἶπεν· «Ἀμήν, ἀμὴν λέγω σοι· πρὸ τοῦ τοὺς αἰῶνας γενέσθαι ἐγώ εἰμι»[8].

Περὶ δὲ τοῦ καθεστάναι πάντων ἀσωμάτων τε καὶ σωματοειδῶν δημιουργόν, οὐχὶ δὲ ὑπουργὸν ἢ μεσίτην ἐν ταὐτῷ δὲ καὶ ἄναρχον· πρὸς ταῖς ἤδη παρατεθείσαις μαρτυρίαις καὶ Δαυῒδ ἐν ριγ' ψαλμῷ ᾄδει· «Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν»[9]. Οὐκ εἶπεν· Ὅσα ἐπετράπη. Τίς οὖν καταρνήσαιτ' ἄν, τῆς αὐτεξουσίου καὶ παντεξουσίου μονάδος οὐσίας [328] ὑπάρχειν τὸν ἐθελουσίως αὐτουργοῦντα καὶ ἔχοντα ψιλῷ τῷ οἰκείῳ νεύματι πάντα δίχα μελλήσεως συντρέχοντα; Καὶ ἐν ρα' ψαλμῷ· «Κατ' ἀρχὰς τὴν γῆν σύ, Κύριε, ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον

1. Ἰω. 1,1. 2. Ἑβρ. 1,1-2. 3. Α' Κορ. 3,11. 4. Πρβλ. Κολ. 1,16. 5. Ψαλ. 73,12. 6. Ἰεζ. 5,5. 7. Ψαλ. 118,89. 8. Πρβλ. Ἰω. 8,58. 9. Ἰω. 113,11.

παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον εἱλίξεις αὐτοὺς καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν»[1]· ἀντὶ τοῦ ἄναρχος ὑπάρχεις καὶ ἀπέραντος. Καὶ Παῦλος δὲ τὰ ἴσα γράφει, πρὸς Ἐφεσίους μέν· «Ἐν τῷ Θεῷ τὰ πάντα κτίσαντι»[2]· πρὸς δὲ Κολασσαεῖς· «Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς ὁρατὰ καὶ ἀόρατα· εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαί, εἴτε ἐξουσίαι, τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἐκτίσθη· καὶ αὐτός ἐστι πρὸ πάντων καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν»[3]. Τοῦ γὰρ οὐσιωδῶς ἐξεικονίζοντος τὸν Θεὸν καὶ τοῦ πρὸ πάντων τῇ θεότητι οὐδεὶς ὑπέρκειται, οὐδὲ πρεσβυτερεύει· ὡς τοῦ μετὰ πάντας οὐδεὶς ὑπόκειται οὐδὲ ὑστερεύει. Καὶ ἄλλως· Εἰ πρὸ πάντων ἐστὶν μόνος ἐκ μόνου, καὶ μόνως· πρὸ πάσης ἐνεργείας ἀπορρήτως ἐγεννήθη καὶ οὐσιωδῶς Υἱός ἐστι τοῦ Πατρός. Δεῖ γὰρ τὸν πρὸ πάντων ὄντα καὶ πάσης φύσεως ὑπερφυῶς ἐπιτροπεύοντα, μηδὲν εἶναι τῶν πάντων· μηδὲ κτίσμα κατὰ σύγκρισιν νοεῖσθαι τῶν παρ' αὐτοῦ παροισθέντων, καὶ πᾶσαν εἰλιχότων πρὸς αὐτὸν ἐξαλλαγήν. Καὶ ἄλλως· Ὃν ἄν τις παντὸς ποιήματος ποιητὴν ἀποφήναιτο, καὶ πᾶσαν βαστάζοντα τὴν κτίσιν, καὶ εἰκόνα τοῦ Θεοῦ καὶ Υἱὸν ὀνομάσοι, τῇ τε ἀληθείᾳ προσέχων καὶ ὑπὸ τῶν θείων λόγων πληροφορούμενος· τοῦτον πῶς ἂν ποίημα, ἢ μικρότερον τοῦ φέροντος τὰ πάντα Θεοῦ ἢ προγενέστερον ἔχοντα, εἰ μὴ μαίνοιτο, προσομολογήσει; Περὶ δὲ τοῦ Θεὸν καὶ Ἄγγελον κεκλῆσθαι, προφητεύουσιν, Μαλαχίας μέν, οὕτως εἰπών· «Ἥξει εἰς τὸν ναὸν αὐτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε· καὶ ὁ ἄγγελος τῆς διαθήκης, ὃν ὑμεῖς θέλετε. Ἰδοὺ ἔρχεται Κύριος καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ»[4]; Ἡ ἀρχὴ τοῦ ῥητοῦ, τὴν οἰκονομίαν· τὸ δ' ἑπόμενον, τὴν φοβερὰν καὶ φιλάνθρωπον αὐτοῦ δευτέραν παρουσίαν δηλοῖ. Ἡσαΐας δὲ βοῶν, τρόπῳ ᾧ εἰώθασιν οἱ συγχαίροντες ἀγγέλλειν τοῖς οὔπω τοῦ γενομένου ᾐσθημένοις· «Παιδίον ἐγεννήθη ἡμῖν, Υἱὸς καὶ ἐδόθη· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης»[5]. Τοῦτον τὸν Θεὸν Λόγον **[329]** καὶ Ἰακὼβ ἄγγελον καλεῖ, ὅτε πορευόμενος εἰς Μεσοποταμίαν, κοιμηθεὶς εἶδεν ὄναρ. Φησὶ γάρ· «Καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐπὶ τῆς γῆς, ἧς ἡ κεφαλὴ ἐφικνεῖτο εἰς τὸν οὐρανόν· καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς· ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς καὶ εἶπεν· «Ἐγὼ Κύριος ὁ Θεὸς τῶν πατέρων σου, ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ἰσαάκ· μὴ φοβοῦ· ἡ γῆ ἐφ' ἧς σὺ καθεύδεις, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου· καὶ ἐγὼ ἔσομαι μετὰ σοῦ, καὶ διαφυλάξω σε ἐν τῇ ὁδῷ πάσῃ, ᾗ ἐὰν πορευθῇς καὶ ἀποστρέψω σε μετὰ σωτηρίας εἰς τὸν οἶκον τοῦ Πατρός σου· καὶ πλατυνθήσεται τὸ σπέρμα σου ἐπὶ

---

1. Ψαλ. 101,26-28. 2. Ἐφ. 3,9. 3. Κολ. 1,16-17. 4. Μαλ. 3,1-2. 5. Ἡσ. 9,5.

λίβα καὶ θάλασσαν καὶ βορρᾶν καὶ ἀνατολάς»[1]. Προεφητεύετο δὲ διὰ μὲν κλίμακος ὁ σταυρός, δι' οὗ οἱ πιστοὶ ἐπὶ τὰς οὐρανίους ἀναβαίνουσιν σκηνάς· ὁ δὲ ἐπὶ τῇ κλίμακι ἐπεστηριγμένος Θεός, αὐτὸς ὁ ἑκουσίως τῷ σταυρῷ ὑπὲρ ἡμῶν προσηλωθείς. Καὶ μεθ' ἕτερα· «Ηὔξατο», φησίν, «Ἰακώβ· Ἐὰν ᾖ Κύριος ὁ Θεὸς μετ' ἐμοῦ καὶ διαφυλάξῃ με ἐν τῇ ὁδῷ ᾗ πορεύομαι καὶ δῷ μοι ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι καὶ ἀποστρέψῃ με μετὰ σωτηρίας εἰς τὸν οἶκον τοῦ πατρός μου· καὶ ἔσται μοι Κύριος εἰς Θεόν· καὶ ὁ λίθος οὗτος, ὃν ἔστησα στήλην, ἔσται μοι οἶκος Θεοῦ· καὶ ἀπὸ πάντων ὧν ἄν μοι δῷς, δεκάτην ἀποδεκατώσω σοι»[2]. Εἶτα πληθυνθεὶς παρὰ τῷ Λάβαν, εἶδεν ἐν τῇ κισσήσει τῶν θρεμμάτων, πάλιν ἐν ὀπτασίᾳ, τὸν ἀνωτέρω ὀφθέντα αὐτῷ Θεόν· καὶ διηγήσατο οὑτωσεί· «Εἶπέ μοι ὁ ἄγγελος τοῦ Θεοῦ καθ' ὕπνον· Ἰακώβ, ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου καὶ ἴδε τοὺς κριοὺς καὶ τοὺς τράγους ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας[3]· οἶδα γὰρ ὅσα σοι Λάβαν ποιήσει. Ἐγώ εἰμι ὁ Θεὸς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου, οὗ ἔστησάς μοι στήλην καὶ ηὔξω μοι ἐκεῖ εὐχήν»[4]. Καὶ ἐν Αἰγύπτῳ δέ, ὁ αὐτὸς Ἰακὼβ τοῖς υἱοῖς Ἰωσὴφ τούτου τοῦ ἀγγέλου καὶ μεγάλου Θεοῦ τὴν εὐλογίαν αἰτεῖται, εἰπών· «Ὁ Θεός, ᾧ εὐηρέστησαν αἱ πατέρες μου Ἀβραὰμ καὶ Ἰσαάκ, ὁ Θεὸς ὁ τρέφων με ἐκ νεότητός μου ἕως τῆς ἡμέρας ταύτης, ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν μου»[5].

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'

[332] Περὶ τῶν λεγόντων ὅτι «Ἀσύγκριτος καὶ μείζων ὁ Πατὴρ τοῦ Υἱοῦ»· καὶ ὅτι· «Ἄλλο εἰκὼν καὶ ἄλλο Θεός»· καὶ ὅτι· «Καὶ ἄνθρωπος εἰκὼν Θεοῦ ἐγράφη καὶ δόξα». Καὶ περὶ τοῦ μαρτυρεῖσθαι «κατ' οὐδὲν διαφέρειν τοῦ Υἱοῦ τὸν Πατέρα».

Καὶ τὸ ἀσύγκριτον δὲ καὶ μεῖζον τῷ Πατρὶ διὰ τὸ ἀγέννητον ἀπονέμουσι· τῷ δὲ Υἱῷ τὸ ἀνόμοιον, διὰ τὸ ἔχειν τὸ γεννητόν, καθέλκοντες πάλιν τὰ περὶ τῆς ἀρρητοτάτης θεότητος εἰς τὰ τῆς ἡμετέρας φύσεως ἀποτελέσματα καὶ τὰ νοητὰ τοῖς ὕλης ῥεύμασιν συνεξομοιοῦσθαι νομίζοντες. Τὰ μὲν γὰρ ὑπερουράνια πάντα νοῦν καὶ πᾶσαν νόησιν ὑπερβαίνοντα, τὰ δὲ γήινα καὶ ταπεινὰ καὶ χρόνῳ γινόμενα καὶ ἀπογινόμενα τυγχάνει. Ἀλλὰ μάλιστα μὲν ἀνάρχως ἐτέχθη, συνυπάρχων καὶ συμπράττων τῷ ἑαυτοῦ ἀληθινῷ Πατρί, ὡς τὸ φῶς τῷ ἡλιακῷ δίσκῳ. Ἔχει δὲ τὸ εἶναι καὶ ἀπὸ Γραφῶν μαρτυρεῖσθαι Θεός, Κύριος, ἅγιος,

1. Πρβλ. Γεν. 28,12-13,15,21,14. 2. Γεν. 28,20-22. 3. Γεν. 31,11-12. 4. Πρβλ. Γεν. 31,12-13. 5. Γεν. 48,15-16.

Δημιουργός, ἄφθαρτος, ζωή, φῶς καὶ πάντα ὅσα ὁ Πατήρ. Καὶ μᾶλλον ἐκ τῶν πλειόνων τὸ ὅμοιον καὶ ἴσον ἔχειν ὀφείλει, ἤπερ ἀπὸ τοῦ ἑνὸς τὸ ἀνόμοιον. Πῶς δὲ ὁ Ἀδὰμ καὶ ἡ Εὕα, οὐ γεννηθέντες, οὐδὲ πατέρα ἐσχηκότες, τοῖς ἐξ αὐτῶν ἡμῖν ἴσοι τῇ φύσει γεγόνασιν; ἢ ποίαν ἁπλῶς παράθεσιν ποιησάμενοι τοῦ, ὡς λέγουσιν, ἀνομοίου; ἢ πῶς παραμετρήσαντες ἐπέστησαν τῷ κρείττονι καὶ μείζονι; Γραφῆς μὲν οὔτε διοριζούσης τῇ φύσει τὴν ἁγίαν καὶ ἄναρχον μίαν καὶ ἀμέριστον Τριάδα, οὐδ' αὖ πάλιν ἀφοριζούσης αὐτῇ τὸ πρώτιστα καὶ τὸ ἔπειτα; Δήλων δὲ ὄντων δύο τούτων, ὅτι τε οὐ πάντως τὸ μεῖζον ἑτερούσιόν ἐστι καὶ ὅτι καθ' ὅλου τὰ συγκριτικὰ ἐπὶ ὁμοουσίων, ἀλλ' οὐκ ἐπὶ ἑτεροουσίων λέγεται. Οὐκ ἂν δὲ οὐδ' ἐξ ἐπιβολῆς εἴποιεν καίριον, ὅτι οὐδὲ περὶ τοῦ ἀσυγκρίτου καὶ μείζονος. Οὐ κατὰ μέγεθος, ἤ τινα ὄγκον· ἀμεγέθης γὰρ καὶ ἀπλατής ἐστιν καὶ πηλικότητος πάσης καὶ συνθέσεως καὶ σχήματος ἀναχωρήσας ὁ Θεὸς Λόγος (καθὰ καὶ ὁ Πατὴρ καὶ τὸ Ἅγιον Πνεῦμα αὐτοῦ) καὶ ὑπὸ μηδενὸς μὲν περιεχόμενος αὐτός, πάντα δὲ ἐμπεριχέων· διότι καὶ πάντων ἀρχὴ μεγεθῶν ὡς ποιητής ἐστιν. Ποῦ γὰρ ἐν ταῖς ἀκροτάταις καὶ ὑπερασωμάτοις καὶ κρείττοσιν ὑποστάσεσι μέγεθος; Οὐδὲ κατὰ τὸ ἄναρχον· συνυπάρχει γὰρ τῷ Πατρί, ὡς ἀπαύγασμα τῆς δόξης αὐτοῦ[1] καὶ μὴ ἔχων πρὸ αὐτοῦ Θεόν. Καὶ γάρ φησιν· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος»[2]. Καὶ οὐδὲ συμμετρεῖται χρόνῳ Θεὸς καὶ ποιητὴς ποιήματι· **[333]** ἐπεὶ ἀνάγκη αὐτοὺς ἀπαιτεῖ (ὅπερ καὶ ἐννοεῖν σφαλερόν), πρότερον ὑποστῆσαι τοῦ ἀνάρχου καὶ ἀπερινοήτου Θεοῦ καὶ Πατρὸς χρόνον καὶ οὕτω συγκρίνειν. Ἄνθρωποι δὲ εἰώθασι μείζονας καλεῖν τοὺς χρόνῳ τὴν γένεσιν προειληφότας, κατὰ τὸν Ἰσαὰκ διαταττόμενον· «Ὁ μείζων δουλεύσει τῷ ἐλάττονι»[3]. Οὐδὲ ὡς αἴτιος· οὐ γὰρ αἴτιος αὐτοῦ. Ἄναρχος γὰρ καὶ ὁ μονογενὴς Υἱὸς ἐδείχθη· ἐπεὶ ὁμοίως αὐτοῦ τε καὶ ἡμῶν μείζων· ὅπερ μὴ γένοιτο εἰπεῖν ἢ ἀκοῦσαι. Οὐδὲ κατὰ τὴν οὐσίαν καὶ τὸ ὅμοιον· ἐξ αὐτοῦ γὰρ ὡς Μονογενὴς παρὰ Πατρὸς πλήρης χάριτος καὶ ἀληθείας[4] καὶ ὡς χαρακτὴρ τῆς ὑποστάσεως[5] πρὸς ἅπαντα ὧν χαρακτὴρ καὶ ὡς εἰκὼν τοῦ Θεοῦ, ἣν ὁ ἑωρακὼς ἑώρακε τὸν Πατέρα. «Ἐν αὐτῷ» γὰρ «κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος»[6]· ἐπισπᾶται δὲ τοῦτο μαρτυρία καὶ τό, «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν»[7]. Οὐδὲ κατὰ ποιότητος ἐπίτασιν· ἐπεὶ μὴ ποιότητες αἱ θεῖαι καὶ ἀπόρρητοι ὑποστάσεις· ἐν σώμασι γὰρ ἡ ποιότης· αἱ δὲ ἀσώματοι, καὶ νοηταί. Ἀλλὰ μηδὲ νοεῖσθαι δύνασθαι περὶ αὐτῶν, ὡς εἴη τοῦ καλοῦ κάλλιον, καὶ τοῦ καλλίονος βέλτιον παραπλησίως τῇ περὶ ἄλλου λεγούσῃ Παύλου φωνῇ· «Νυνὶ δὲ μένει τὰ τρία ταῦτα· πίστις, ἐλπίς, ἀγάπη· μείζων δὲ τούτων ἡ ἀγάπη»[8]· διὰ γὰρ τὴν εἰς ἀρετὴν ἐπίτασιν, ἀπένειμεν τῇ ἀγάπῃ τὸ «μείζω». Ἀγαπήσαντες γάρ, φησί, «πιστεύο-

1. Πρβλ. Ἑβρ. 1,3. 2. Ἰω. 1,1. 3. Γεν. 25,23. 4. Πρβλ. Ἰω. 1,14.
5. Πρβλ. Ἑβρ. 1,3. 6. Κολ. 2,9. 7. Γεν. 1,26. 8. Α' Κορ. 13,13.

μεν»[1]· καὶ «πιστεύσαντες, ἐλπίζομεν συμβασιλεῦσαι τῷ Χριστῷ». Εἰ γὰρ ἀληθὲς τὸ «Εἷς Θεὸς»[2] καὶ τὸ «῞Ινα γένησθε θείας κοινωνοὶ φύσεως»[3] καὶ οὐχὶ φύσεων· ἓν εἶναι καὶ τὸ καθ' ἅπαξ καλὸν ἀποδέδεικται, φημὶ δὲ ἡ θεότης. Οὐδὲ κατὰ τὸ ἴσον· διότι «Μέγας καὶ ἐπὶ πάντων γέγραπται Θεὸς ὁ Υἱός, ἴσον ἑαυτὸν ποιῶν τῷ Πατρὶ»[4] καὶ 'Ομνύων καθ' ἑαυτοῦ[5] ἐπειδὴ μὴ ἔχει τὸν μείζονα. Οὐδὲ κατὰ τὴν δύναμιν. Γέγραπται γάρ· «Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν»[6]· καί, «Πάντα ὅσα ἂν ποιῇ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»[7]. Οὐδὲ κατὰ τὴν δόξαν, ἤ τι ἀξίωμα. «Εἰ γὰρ ᾔδεσαν», φησίν, «οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν»[8]. Καὶ θέλημά ἐστι τοῦ Πατρὸς κατὰ τὸν 'Ιωάννην, «῞Ινα πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα»[9]. Κατὰ τί οὖν λοιπὸν τὸ «μείζω» **[336]** καὶ ἀνόμοιον; ῾Ως ἐδείχθη, κατ' οὐδέν. Καὶ γοῦν ὁ 'Απόστολος, τὰς εἰς τὸν μονογενῆ Υἱὸν καὶ Θεὸν ἀσεβεῖς ὑπολήψεις αἱρετικῶν ἀναστέλλων, τὴν δὲ πρός τὸν Πατέρα αὐτοῦ τῆς φύσεως ταυτότητα, ἔτι δὲ καὶ τὸ συνάναρχον κηρύττων, γράψας, ὡς ἀνωτέρω ἐλέχθη, ὡς «῞Ων ἀπαύγασμα τῆς δόξης»[10] τοῦ Πατρός, ἐπήγαγεν «καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ»[11]. Καὶ πάλιν πρὸς Κολοσσαεῖς καὶ πρὸς ῾Εβραίους ἐπέστειλε· «ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου»[12]. Καὶ ἐν τῷ κατὰ 'Ιωάννην δὲ Εὐαγγελίῳ, ὁ Υἱὸς τὴν ἑαυτοῦ οὐσίαν πατρικῷ χαρακτῆρι ἐσφραγίσθαι παριστῶν, εἶπε· «Τοῦτον γὰρ ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός»[13]· συνυφεστηκυίας δὲ δῆλον ὅτι τῆς σφραγῖδος τῷ ἀρχετύπῳ καὶ ἰσοτύπου οὔσης καὶ ἐν ἑαυτῇ δὲ δεικνυούσης τελείως καὶ ἀληθῶς τὴν Πατρὸς καὶ Υἱοῦ καὶ Πνεύματος ῾Αγίου μονάδα τῆς φύσεως. ῾Η γὰρ σφραγίς, ὡς καὶ ὁ χαρακτὴρ τὸ ὅμοιον καὶ ἀνόθευτον σημαίνει· ἐπεὶ καιρὸς εἰπεῖν καὶ τὸν Πατέρα μὴ ἀγενήτως καὶ ἀσυγκρίτως ἔχειν, εἴπερ ἐξεικονίζεται καὶ χαρακτηρίζεται ὑπὸ γενητοῦ καὶ ἀνομοίου. Τὰ θεῖα ταῦτα καὶ ἑρμηνείας ἀνεπιδεᾶ λόγια μὴ συνέντες ὀρθῶς, διαστρέφοντες δὲ καὶ ἀνθρωπίνοις νοήμασι μαχόμενοι τοῖς τοῦ Θεοῦ ῥήμασι φάσκουσιν· ῎Αλλο Θεὸς καὶ ἄλλο εἰκὼν Θεοῦ, ὡς ἄλλο ἄνθρωπος καὶ ἄλλο εἰκὼν ἀνθρώπου· καὶ τρόπον τινὰ εἰκόνι ἀκινήτῳ τὸν ζῶντα καὶ ἐνεργὸν Θεὸν Λόγον ἀπεικάζουσι· κατ' οὐσίαν δὲ καὶ κατὰ πάντα εἰκών ἐστιν ἀπλανεστάτη καὶ ἄναρχος τοῦ Πατρὸς καὶ οὐ κατὰ μορφὴν καὶ σχῆμα, ὡς ὁ πλαστουργηθεὶς ἢ γεγλυμμένος ἄπνους καὶ οὐκ αὐτοκίνητος ἀνδριάς· οὐδὲ κατὰ εἶδος καὶ χρῶμα ὡς ἡ τεχνητὴ καὶ μιμητὴ ἄφωνος εἰκών. Ταῦτα γὰρ οὐδὲ κατὰ φύσιν οὐδὲ μὴν εἰς ὅλα τὰ ἄλλα ἐκφαίνουσι τὸν πρωτότυπον. Καὶ Υἱὸς μὲν γὰρ ἀνθρώπου εἰκὼν οὐσίας τοῦ ἑαυτοῦ Πατρός ἐστιν· ἀλλὰ συμβαίνει παραλλάττειν ἡλικίαν ἢ εἶδος ἢ γνώμην ἢ δύναμιν ἢ ἀξίαν ἢ τὰ συναμφότερα ἤ καί τι ἕτερον. ῾Ο δὲ Θεὸς Λόγος ἀπαραλλάκτως καὶ ἀπηκρι-

---

1. Πρβλ. Α' Πέτρ. 1,8. 2. 'Εφ. 4,6. 3. Β' Πέτρ. 1,4. 4. Πρβλ. 'Ιω. 5,18. 5. Πρβλ. 'Εβρ. 6,13. 6. Α' Κορ. 1,24. 7. 'Ιω. 5,19. 8. Α' Κορ. 2,14. 9. 'Ιω. 5,23. 10. 'Εβρ. 1,3. 11. ῎Ενθ' ἀν. 12. Κολ. 1,15. 13. 'Ιω. 6,27.

βωμένως εἰς ὅλα τὴν ἁπλῆν καὶ ἀσύνθετον καὶ ἀποίκιλον πατρικὴν θεότητα φυσικῶς καὶ ἀνάρχως ἐξεικονίζει. Οὐδὲ γὰρ νοεῖν ἐξόν, ὡς κατά τι Θεοῦ εἰκὼν καὶ παρά τι· οὐδὲ μὴν γίνεται ἀσυγκρίτου εἰκών, οὐδὲ δύναται διὰ τοῦ ἀνομοίου ἢ μικροτέρου ἢ ὑπεξουσίου τὸ ἀληθές, καὶ ἀρχέτυπον καὶ μείζω καὶ αὐτεξούσιον καὶ ἀσύγκριτον φαίνεσθαι. Οὐδ' αὖ διὰ **[337]** τοῦ κτίσματος ἡ φυσικὴ μορφὴ τοῦ κτίσαντος κατανοεῖσθαι. Οὐδὲ γὰρ οὐδὲ ἄλλη φύσις τὴν ἑτέραν ἐν ἑαυτῇ ἐπιδείκνυσιν· ἀλλὰ καὶ ὁ Πατὴρ εὑρίσκεται ἀνυπόστατος γεγενῆσθαι ὅτε αἱρετικοὶ τὸν χαρακτῆρα οὐ διδόασιν ἔχειν αὐτὸν τῆς ὑποστάσεως. Ἀλλ' οὐδὲ ὁ ἀόρατος καὶ ἀσύνθετος καὶ ἀσχημάτιστος Θεὸς εἰκόνα ἔχει οἵαν ἐκεῖνοι ἐμφαίνουσι μιμητικήν. Παραλύει δὲ τὰ ἐκείνων σαφῶς καὶ ἡ ἐπαγωγὴ ἔχουσα· «Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ»[1]. Περὶ δὲ φυσικῆς εἰκόνος ὑφηγεῖται καὶ Μωϋσῆς οὑτωσεί· «Ἐγέννησεν Ἀδὰμ τὸν Σὴθ κατὰ τὴν ἰδέαν αὐτοῦ»[2]. Οὐκ ἦν δὲ ἑτεροούσιος ἀναγκαίως ὁ Σὴθ τῷ Ἀδάμ· καὶ ὅμως εἰκόνα τὴν ἰδέαν καὶ ὁμοίωσιν τῆς οὐσίας ἐκάλεσεν. Ἀλλὰ καὶ περὶ ἀνθρώπου, φησί, γέγραπται ὅτι ἔστιν εἰκὼν καὶ δόξα Θεοῦ[3]. Ἀλλ' οὐδαμοῦ, ὦ οὗτοι, ἄνθρωπος ἢ ἄλλο ποίημα γέγραπται εἶναι ἀπαύγασμα τῆς δόξης τοῦ Θεοῦ καὶ χαρακτὴρ τῆς ὑποστάσεως· ἄλλο δέ ἐστιν ἄνθρωπον εἰκόνα εἶναι Θεοῦ, τοῦτ' ἔστι τὸ τεχνηθὲν τοῦ τεχνησαμένου, ὡς δίφρος τοῦ τέκτονος. Σολομὼν γὰρ λέγει· «Ἀναλόγως τῶν κτισμάτων ὁ Γενεσιουργὸς θεωρεῖται»[4]· καὶ ἄλλο ἐστίν, κατὰ τὸ σύμμορφον καὶ ταυτούσιον καὶ συνάναρχον ἀπαύγασμα εἶναι δόξης καὶ χαρακτῆρα ὑποστάσεως ἐνυπόστατον καὶ ἀψευδέστατον. Φησὶ γάρ· «Ὁ ἑωρακὼς ἐμέ, ἑώρακε τὸν Πατέρα»[5]· ὁ δὲ ἑωρακὼς ἄνθρωπον, οὐχ ἑώρακε τὸν Θεόν· ὡς ὁ θεασάμενος τὸν δίφρον οὐχ ἑώρακε τὸν τέκτονα. Ἀλλὰ καὶ ἀνάγκη τοῦ μόνου ἀοράτου Θεοῦ μόνην ἀόρατον εἶναι ἐκείνην τὴν εἰκόνα καὶ οὐ τὸν κατ' εἰκόνα ὁρατὸν ἄνθρωπον. Οὔτε οὖν ἄλλῳ ὅμοιός ἐστιν ὁ Υἱός· γράφει γάρ· «Τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ»[6]; Οὔτε τῷ ἑαυτοῦ Πατρὶ ἀνόμοιος· «Ἐγὼ γάρ», φησί, «καὶ ὁ Πατὴρ ἕν ἐσμεν»[7]. Οἱ δὲ κτιστῆς εἰκόνος ἔννοιαν ἐπὶ αὐτοῦ λαμβάνοντες ἐξομοιοῦνται τῷ Ναβουχοδονόσωρ ποιητὴν ἄψυχον εἰκόνα προσκυνεῖσθαι τυπώσαντι. Καὶ τὸν Ἀδὰμ δὲ διὰ τὴν παρακοὴν ἐκ τοῦ παραδείσου ὁ Θεὸς δικαίως ἔρριψε· τὸν δὲ λῃστὴν καὶ σὺν αὐτῷ τὸν Ἀδὰμ καὶ τὸ κοινὸν ἡμῶν ὅλον γένος ὁ Υἱὸς εἰσήγαγεν ὡς ἴσος πάντως τῇ θεότητι καὶ ἀγαθότητι καὶ δεσποτείᾳ τῷ ῥίψαντι τυγχάνων. Ποῦ δὲ ἐγράφη ὅτι ἀσύγκριτος ὁ Πατὴρ πρὸς τὸν ἑαυτοῦ Μονογενῆ; ἢ ὅτι ὁ Υἱὸς αὐτοῦ καὶ τῶν πάντων Δημιουργὸς καὶ κριτής, κατὰ τὴν θεϊκὴν αὐτοῦ καὶ ὅλων ἐξῃρημένην ἄπειρον φύσιν κτίσμα ἐστίν; ἢ ὅλως, ὅτι ποτὲ οὐκ ἦν; ἢ ποῦ ἰδικῶς ἔφη ὁ Πατήρ, Ἔκτισά μοι Υἱόν· ἢ ὁ Υἱὸς Ἐκτίσθην ὑπὸ τοῦ

---

1. Φιλ. 2,6. 2. Πρβλ. Γεν. 5,3. 3. Πρβλ. Α' Κορ. 11,7. 4. Πρβλ. Σοφ. Σολ. 13,5. 5. Ἰω. 14,9. 6. Ψαλ. 88,7. 7. Ἰω. 10,30.

Πατρός; ὅπερ ἀκούειν, μήτιγε καὶ λέγειν, φρικτὸν καὶ φευκτόν. Οὐδαμοῦ μὲν οὖν παντελῶς θείας καὶ πνευματικῆς Γραφῆς εὕρηται ταῦτα. Τοὐναντίον δὲ συγκρίνοντος ἑαυτὸν πρὸς τὸν Πατέρα ἐστὶ πάντα τοῦ Μονογενοῦς τὰ περὶ τῆς θεότητος αὐτοῦ ῥήματα· καὶ ἑνοῦντος ἑαυ-**[340]** τὸν καὶ ὁμότιμον ἀποφαίνοντος· ἀλλ' οὐδὲ τέκνον ἢ παιδίον ἢ γέννημα εἴρηται πώποτε κατὰ τὴν ἄνω ἄπειρον γέννησιν, ἣν οὐδὲν τὸ παράπαν χαρακτηρίσαι δύναται· ἵνα μή τι μικρὸν ἢ ὑπόνοιαν παρέχον ταῖς προλεχθείσαις αὐτῶν σεσοφισμέναις βλασφημίαις φαντασθείη τις· ἀλλ' Υἱὸς διὰ τὸ τέλειον καὶ τὸ ἀνάρχως γεννηθῆναι καὶ τὸ πρὸς τὸν Πατέρα τῆς φύσεως ἀπαράλλακτον. Ὅλα δὲ τὰ νομιζόμενα παρά τισιν εἶναι πρὸς θεότητα μικρὰ καὶ τὸ «Ὁ πέμψας με Πατὴρ μείζων μού ἐστιν»[1], διὰ τὴν φιλάνθρωπον καὶ ἄρρητον ἐνανθρώπησιν αὐτοῦ, τὴν δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν γενομένην, ταῖς ἱεραῖς κεχρησμώδηται βίβλοις· δι' ἣν καὶ ἀγγέλων ἠλαττῶσθαι γέγραπται, κατὰ τὸν Ἀπόστολον ἐπιστείλαντα· «Τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου»[2]. Ἐγὼ οὖν οἶμαι καὶ οὐ πάντως διασφάλλομαι, ὅτι περὶ τοῦ Πατρὸς καὶ ἑαυτοῦ εἶπε, τὴν ἀμφοῖν δεικνὺς ἀγαθότητα καὶ ὁμοουσιότητα. «Ἢ ποιήσατε τὸ δένδρον καλὸν καὶ τὸν καρπὸν αὐτοῦ καλὸν ἢ ποιήσατε τὸ δένδρον σαπρὸν καὶ τὸν καρπὸν αὐτοῦ σαπρόν· ἐκ γὰρ τοῦ καρποῦ», φησί, «τὸ δένδρον γινώσκεται»[3].

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'

Ἐπειδὴ δὲ θεομαχοῦντες οἱ μὲν σὺν τῷ Υἱῷ καὶ **[341]** τὸ Ἅγιον Πνεῦμα τὸ πρῶτον κτίσμα εἶναι λέγειν τολμῶσι· Μακεδόνιος δὲ τὸ Πνεῦμα μόνον· ἐπ' ἐκείνους μὲν τὸ βάρος τοῦ ἐπιμνησθῆναι τῶν τοιούτων ἀπονενοημένων καὶ κατακρίτων ῥημάτων τρέψειεν ἡ ἁγία καὶ ὁμοούσιος Τριάς· ἡμεῖς δὲ ὑποδείξομεν, τὰς θείας παρατιθέμενοι Γραφάς, τὸ πρῶτον κτίσμα τοῦ Θεοῦ οὕτω γεγενῆσθαι. Πρῶτον κτίσμα ἐπαρθὲν ἐκ τῶν οὐρανῶν ἐρρίφη ὡς ἀστραπή, καθὰ αὐτὸς ὁ κτίσας καλῶς καὶ ὕστερον δικαίως ῥίψας ἐν Εὐαγγελίῳ ἐθεώρησε· λέγει δὲ οὑτωσεὶ παρὰ τῷ Ἰώβ· «Ἀλλ' ἰδοὺ θηρίον παρὰ σοὶ χόρτον ἴσα βουσὶν ἐσθίον· ἰδοὺ ἡ ἰσχὺς αὐτοῦ ἐν ὀσφύι, ἡ δὲ δύναμις αὐτοῦ ἐπ' ὀμφαλοῦ γαστρός. Ἔστησεν οὐρὰν ὡς κυπάρισσον, τὰ δὲ νεῦρα αὐτοῦ συμπέπλεκται· αἱ πλευραὶ χαλκαῖ, ὁ δὲ νῶτος αὐτοῦ σιδηροῦς χυτός. Τοῦτό ἐστιν ἀρχὴ πλάσματος Κυρίου πεποιημένον ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἀγγέλων»[4]. Ὥστε τὸν διάβολον πρῶτον κτίσμα εἶναι λέγει, ἑαυτὸν ποιήσαντα ἐγκαταπαίζεσθαι ὑπὸ τῶν ἁγίων ἀγγέλων, διὰ τὸ ἀνόσιον αὐτοῦ καὶ κακόβουλον τῆς προαιρέσεως. Οὐκ ἂν δὲ μετ' αὐτὸν

---

1. Πρβλ. Ἰω. 14,28. 2. Ἑβρ. 2,9. 3. Ματθ. 12,33. 4. Πρβλ. Ἰώβ 40,15-19.

ὁ Υἱὸς ὁ καὶ τοῦτον δημιουργήσας οὔτε μὴν τὸ Πνεῦμα τοῦ Θεοῦ ἐκτίσθη.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄

Περὶ τῆς Ἁγίας Τριάδος. Καὶ ὅτι διὰ τὸ ταὐτὸν τῆς οὐσίας τὰ αὐτὰ ἐπ' ἀμφοτέραις ταῖς ὑποστάσεσιν ὀνόματα λέγονται, πάρεξ τῆς πατρότητος καὶ υἱότητος καὶ τῆς ἐκπορεύσεως τοῦ Πνεύματος· τοῦτο γὰρ ἴδιον ἑκάστης ὑποστάσεως ἰδικῶς. Καὶ ὅτι ποτὲ ὁ Πατήρ, ποτὲ ὁ Υἱός, ποτὲ τὸ Πνεῦμα προστάσσεται. Καὶ ὅτι καὶ τὸ τριαδικὸν καὶ τὸ μοναδικὸν ἐν τῇ Γραφῇ δείκνυται.

Ἐκ πάντων δὴ οὖν τῶν εἰρημένων συνέστη ὡς τὰ ἐκείνων παντοίως ἀλλότρια τῆς ἀληθείας ὄντα τυγχάνει. Σοφιστείας γὰρ ἔργον τὸ εὑρεσιλογεῖν· σοφίας δὲ τὸ μετ' αἰδοῦς καὶ τῆς ἐναρμοττούσης ἀποδοχῆς διευρευνᾶν τὰς Γραφάς. Ἀναγκαῖον δὲ λοιπόν, τὰς ἀπιθάνους αὐτῶν συρφετολογίας καὶ διαμάχας παρελθόντας καὶ τῷ νοητῷ ποτίμῳ ὕδατι τοῦ Ἁγίου Πνεύματος τὰς ἁλμυράς, τὸ δὴ λεγόμενον, ἀποκλυσαμένους ἀκοὰς ἐπιδεῖξαι, ὅτι περ αἱ Γραφαὶ διὰ τὸ ταὐτὸν τῆς θεότητός ποτε μὲν μίαν τῶν θείων ὑποστάσεων, ποτὲ δὲ τὰς τρεῖς ὀνομάζουσιν· καὶ ἑκάστῃ αὐτῶν ὁμοίως τὸ ἀγαθὸν ἀπονέμουσιν· ὡς ὅτ' ἂν λέγῃ Μωϋσῆς· «Ἄκουε, Ἰσραήλ· Κύριος ὁ Θεός **[344]** σου, Κύριος εἷς ἐστιν»[1]. Διὰ τοῦ εἰπεῖν «εἷς» δηλώσας τὴν μίαν θεότητα· διὰ δὲ τοῦ «Κύριος», εἶτα «Θεὸς» καὶ πάλιν «Κύριος», τὴν Τριάδα σημάνας· παρ' ἧ πᾶν ἐγκόσμιον καὶ ὑπερκόσμιον ἀγαθὸν ὑπῆρξεν καὶ ὑπάρξει τοῖς ἀνθρώποις. Καὶ πάλιν· «Εἶπεν ὁ Θεός· Γενηθήτω στερέωμα[2]. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα[3]. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν»[4]. Σημειωτέον, ὅτι καὶ τρεῖς ὑποστάσεις καὶ ἑκάστη Θεὸν ὀνομάζει καὶ τὴν συμφωνίαν καὶ τὴν συνεργίαν δείκνυσι τοῦ εἰπόντος καὶ τοῦ ποιήσαντος καὶ τοῦ ἐπαινέσαντος. Καὶ πάλιν· «Προστάττει», φησίν, «ὁ Θεὸς τῷ Μωϋσῇ λέγων· Λάλησον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ· Οὕτως εὐλογήσετε τὸν Ἰσραήλ[5]· Εὐλογήσαι σε Κύριος καὶ φυλάξαι σε. Ἐπιφάναι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ καὶ ἐλεήσαι σε. Ἐπάραι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σέ· καὶ δῴη σοι εἰρήνην»[6]. Ἵνα δηλώσῃ τρία πρόσωπα, οὐκ εἶπεν ἅπαξ· «Κύριος εὐλογήσαι σε καὶ ἐπιφάναι σοι καὶ δῴη σοι εἰρήνην»[7]· ἀλλὰ τρίτον ὠνόμασεν Κύριον. Καὶ ὡς ἡνίκα προφητεύουσιν· Ἀγγαῖος μὲν θεόχρηστον ἐκ προσώπου τοῦ Πατρὸς φέρων φω-

---

1. Δευτ. 6,4. 2. Γεν. 1,6. 3. Γεν. 1,7. 4. Γεν. 1,8. 5. Πρβλ. Ἀρ. 6,22-23. 6. Ἀρ. 6,24-26. 7. Πρβλ. Αὐτόθι.

νὴν οὕτως ἔχουσαν· «Ἴσχυε, Ζοροβάβελ, διότι ἐγὼ μεθ' ὑμῶν εἰμι· καὶ ὁ Λόγος μου ὁ ἀγαθός, καὶ τὸ Πνεῦμά μου ἐν μέσῳ ὑμῶν»[1]· Ἡσαΐας δὲ ἐξ ὁμοτίμων τῶν αὐτοτελῶν ὑποστάσεων ὁμότιμον τὴν ἀποστολὴν γεγενῆσθαι λέγων καὶ ἐν ὀλίγῃ ῥήσει πᾶσαν κοινωνίαν αὐτῶν ἐνδεικνύμενος καὶ βοῶν· «Καὶ νῦν Κύριος Κύριος ἀπέσταλκέ με καὶ τὸ Πνεῦμα αὐτοῦ»[2]. Οὐ γὰρ ἁπλῶς δεύτερον ὠνόμασεν «Κύριος Κύριος» καὶ οὕτω «τὸ Πνεῦμα αὐτοῦ»· ἀλλ' ἵνα καὶ τὰς ὑποστάσεις καὶ τὴν μίαν δηλώσῃ θεότητα καὶ θέλησιν. Δαυῒδ δὲ (καὶ γὰρ καὶ αὐτὸς ἀρήγει τῷ τοιῷδε κεφαλαίῳ) καὶ ᾠδῆς ἔμπλεα πάντα ποιεῖ καὶ ἐκφαίνει, ὅπῃ πίστεως ἔσχε, κατὰ τάσδε τὰς λέ[345]ξεις· ἐν μὲν ιζ' ψαλμῷ· «Τίς Θεὸς πάρεξ τοῦ Κυρίου; Καὶ τίς Θεός, πλὴν τοῦ Θεοῦ ἡμῶν; ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν»[3]. Ἐν δὲ μη'· «Σύ, ὁ Θεός, ἀντιλήπτωρ μου εἶ. Ὁ Θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με· ὁ Θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου»[4]· ἐν δὲ ϟε'· «Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν· ᾄσατε τῷ Κυρίῳ ,πᾶσα ἡ γῆ· ᾄσατε τῷ Κυρίῳ· εὐλογήσατε τὸ ὄνομα αὐτοῦ»[5]. Τρίτον γὰρ ὀνομάσας ἢ Κύριον ἢ Θεὸν τὴν Τριάδα παρεδήλωσεν. Ἀλλὰ καὶ Ἄννα εἰς τὰς Βασιλείας προσευχομένη, τὴν Τριάδα ἐπεκαλέσατο, εἰποῦσα· «Ἀδωναεί, Κύριε, Ἐλωεὶ Σαβαώθ»[6]· ἑρμηνεύεται γὰρ τῇ Ἑβραΐδι φωνῇ τό, Ἀδωναεί, Κύριος· καὶ πάλιν Ἑλλάδι φωνῇ εἶπε, «Κύριος»· καὶ τρίτον Ἑβραϊστὶ ἔφη, Ἐλωεὶ Σαβαώθ, ὅπερ ἐστί, «Θεὲ στρατιῶν», ἤτοι «δυνάμεων». Ἤδη δὲ νῦν **[348]** καὶ Ἠλίας ὁ Θεσβίτης ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν ἱστορίᾳ τῆς Σιδωνίας χήρας τὸν υἱὸν νεκρὸν ὄντα ἀναβιῶναι εὐξάμενος, τρίτον ἐνεφύσησεν εἰς αὐτὸν καὶ οὕτως ἀνέστησεν[7]· ἐκ τούτου μονονουχὶ σημάνας, ὡς αὐτὸς ἐν τῇ προσευχῇ τὴν ζωοποιὸν ἐπεκαλέσατο Τριάδα, ἀλλὰ καὶ ἡμᾶς μὴ ἄλλως πιστεύειν καὶ δοξάζειν διδάξας. Καὶ τοῖς ὑδροφόροις δὲ παρακελευόμενος, «Δισσεύσατε», καὶ «Τρισσεύσατε»[8], τὰς τρεῖς πανυμνήτους ὑποστάσεις ἰσοδυνάμως καὶ ὁμοτίμως πανταχοῦ ἐν πᾶσιν ἐνεργεῖν παρεδήλου. Εἰ δὲ βούλεσθε, γνώριμον ὑμῖν καὶ ἐκ θείας φωνῆς αὖθις τὸ κινούμενον ποιήσω. Ἐν γὰρ βίβλῳ Γενέσεως, ἐν τῇ πυργοποιΐᾳ, ὁ Θεὸς καὶ Πατὴρ τὰς μακαρίας ὑποστάσεις ἐξέφηνεν, πρὸς τὸν ἑαυτοῦ Υἱὸν καὶ τὸ Ἅγιον αὐτοῦ Πνεῦμα εἰρηκώς· «Δεῦτε καταβάντες συγχέωμεν ἐκεῖ αὐτῶν τὰς γλώσσας, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον»[9]. Καὶ Μωϋσῆς δέ, τὴν ἰσότητα τῆς Τριάδος, ὡς οἶμαι, δηλῶν, ἐξέθετο μίαν ἄμπελον ἐν τρισὶ πυθμέσι, τοῦτον τοῦ ἄλλου πυθμένος οὐδαμοῦ προβαθέστερον εἰρηκώς[10]· ἵνα μή τις τὴν ὑπόστασιν ταύτην ἐκείνης προτερεύειν νομίσῃ, ἀλλὰ τὰς τρεῖς ἐν μιᾷ συντείνειν θεότητι πάντες πιστεύωμεν. Διὰ τοῦτο καὶ ἡ θεόπνευστος Γραφὴ ἐκώλυσεν ἐν τῷ θυσιαστηρίῳ,

---

1. Πρβλ. Ἀγγ. 2,4-5. 2. Ἡσ. 48,16. 3. Ψαλ. 17,32-33. 4. Ψαλ. 58,10-11. 5. Ψαλ. 95,1-2. 6. Α' Βασ. 1,11. 7. Πρβλ. Γ' Βασ. 17,21. 8. Πρβλ. Γ' Βασ. 18,34. 9. Γεν. 11,7. 10. Πρβλ. Γεν. 40,9-10.

ἐν ᾧ ἡ Τριὰς δοξάζεται, ἀναβαθμοὺς ποιεῖν· ὥστε μὴ ὡς ἐν βαθμοῖς διορίζεσθαι ἀνθρώπους, καθ' ὕφεσίν τινα εἶναι τὰς θείας ὑποστάσεις. Καὶ ἁπλῶς ἡ Παλαιὰ Διαθήκη, τύπον φέρουσα τῆς Νέας, μυστικῶς καὶ προμηθεστάτως διαλέγεται· αἰνιττομένη μᾶλλον ἐν πολλοῖς ἢ φράζουσα ἐν ταὐτῷ· καὶ φράζουσα πλέον, ἤπερ αἰνισσομένη τὸ ὕστερον ἐκφανθὲν μυστήριον· ὅπως μήτε πλήξῃ τῇ ἀθρόᾳ προσβολῇ τοὺς ἀμυήτους καὶ οὔπω ὄντας σταθεροὺς τε καὶ δεκτικοὺς τῆς θεοπτίας· μήτε μὴν εἰς τὸ παντελὲς ζημιώσῃ· τὸ μὲν γὰρ ἦν ἀπειρίας, τὸ δὲ ἀπανθρωπίας. Πολλάκις δὲ καὶ ἅπερ τυχὸν ἐνταῦθα ἡμῖν δυσεφίκτως ἔφρασε, δι' ἑτέρας γραφῆς τὴν λύσιν παρέσχετο. Ἡ δὲ Νέα οὐκ ἔτι ὡς ἐν σκιᾷ καὶ παραπετάσματι, ἀλλὰ σαφῶς καὶ διαρρήδην φράζει, ὡς μαρτυροῦσιν οὗτοι· Παῦλος γράφων, Ρωμαίοις μέν· «Εἴπερ εἷς ὁ Θεός»[1]· Γαλάταις δὲ καὶ Κορινθίοις· «Ὁ Θεὸς εἷς ἐστιν»[2]. Καὶ πάλιν δὲ Κορινθίοις τὸ δεύτερον· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν»[3]. Ἐνταῦθα διὰ τὸ ταὐτὸν τῆς θεότητος πρώτου ἐμνημόνευσε τοῦ Υἱοῦ καὶ οὕτω τοῦ Πατρός, εἶτα τοῦ Ἁγίου Πνεύματος αὐτοῦ· «κοινωνίαν **[349]** δὲ τοῦ Ἁγίου Πνεύματος μετὰ Πατρὸς καὶ Υἱοῦ εἶπε τῆς μιᾶς θεότητος καὶ δόξης καὶ βασιλείας· ποία γὰρ ἄλλη ἐπὶ Θεοῦ «κοινωνία»; Ἐφεσίοις δέ· «Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα, εἷς Θεὸς καὶ Πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν»[4]. Εἶτα τοῖς αὐτοῖς· «Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Θεὸν καὶ Πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δῷ ὑμῖν, κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ, εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις»[5]. Ὧδε πάλιν ὁμοίως διὰ τὸ ἰσότιμον τῶν ὑποστάσεων μετὰ τὸν Πατέρα, πρώτου τοῦ Πνεύματος καὶ οὕτω τοῦ Υἱοῦ ἐμνημόνευσε. Καὶ πάλιν Κορινθίοις· «Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος συναγωνίσασθαί μοι ἐν ταῖς προσευχαῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Θεόν»[6]. Ἑβραίοις δέ· «Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν· πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; Ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων, εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι καὶ Πνεύματος Ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν»[7]. Διὰ οὖν τοῦ «Κυρίου» δεδήλωται ὁ Υἱός· διὰ δὲ τοῦ «Θεοῦ» ὁ Πατὴρ εἶτα καὶ τὸ αὐτεξούσιον καὶ παντοδύναμον τοῦ Ἁγίου Πνεύματος. Καὶ ὁ Υἱὸς δὲ ἔδειξε, τὴν μὲν μίαν θεότητα, διὰ τοῦ εἰπεῖν·

---

1. Ρωμ. 3,30. 2. Γαλ. 3,20. Πρβλ. Α' Κορ. 8,4,6. 3. Β' Κορ. 13,13. 4. Ἐφ. 4,5-6. 5. Ἐφ. 3,14-17. 6. Ρωμ. 15,30. 7. Ἑβρ. 2,2-4.

«Τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός»[1]· τὰς δὲ ἰσοτίμους καὶ ἰσοδυνάμους τρεῖς ὑποστάσεις, διὰ τῆς περὶ τὸ βάπτισμα διδαχῆς[2]· μὴ εἰπὼν δὲ πειραστικῶς ἐξετά[352]σαντι τῷ νομικῷ, Μή με λέγε ἀγαθόν, ἀλλὰ «Τί με λέγεις ἀγαθόν;»[3] ἔδειξεν ὡς καὶ αὐτὸς ἀγαθός ἐστιν ἐν ἴσῳ τῷ Πατρὶ καὶ ἐκ τῆς πατρικῆς ἀγαθότητος ἐκφαίνεται ἡ αὐτοῦ, καὶ δείκνυται ἀπὸ ἀγαθοῦ, ἀγαθὸς γεγεννημένος. Εἰ γάρ, φησίν, οἶδάς με ἀγαθὸν καὶ μὴ συμπλέκεις τῷ διδασκάλῳ τὴν λέξιν (ὡς τό, «Εὖ, δοῦλε ἀγαθέ»[4]· καὶ ὡς «Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας προφέρει τὸ ἀγαθόν»[5]· καὶ ὡς, «Ἀγαθὸς ἦν Σαμουὴλ μετὰ Θεοῦ καὶ ἀνθρώπων»[6]· καὶ «Ἀγαθὸς ἦν Σαούλ, υἱὸς Κείς, ἐκ φυλῆς Βενιαμίν, ὑψηλότερος παντὸς Ἰσραὴλ ὑπὲρ ὠμίαν καὶ ἐπάνω»[7]· καὶ «Ἀγαθὸς κύων ὁ ζῶν ὑπὲρ τὸν λέοντα τὸν τεθνηκότα»[8]), μηδὲν παραιροῦ τοῦ πρωτουργοῦ ἀγαθοῦ, ἀλλ' ὡς Θεόν με ἐπίγνωθι· μὴ ἄλλον τῇ θεότητι τοῦ Πατρός, ἀλλὰ τῇ ὑποστάσει· μία γὰρ ἡ ἀμφοτέρων θεότης· ἐπεὶ οὐκ ἔτι τὸ πρῶτον ἀγαθόν, ἓν εὑρίσκεται. Ἀνέγνως γάρ που, φησίν, ὡς «Ἀγαθόν σοι πεποιθέναι ἐπὶ τὸν Κύριον ἢ πεποιθέναι ἐπ' ἄνθρωπον»[9]. Τὸ γὰρ προσκολλᾶσθαι τῷ Θεῷ, ἀγαθόν ἐστιν[10]· καὶ ὡς ἀγαθῷ, ἀκολουθεῖν μοι, καὶ κατόπιν μου βαίνειν ὑμᾶς ἀεὶ προέτρεψα. Διὸ οὐκ εἶπε μέν, Οὐδείς ἀγαθὸς εἰ μὴ εἷς ὁ Πατήρ, ἀλλ', «Οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός»[11]· ὡς καὶ ἐν ἄλλῳ που λέγει· «Τί με λέγετε, Κύριε, Κύριε, καὶ οὐ ποιεῖτε τοὺς ἐμοὺς λόγους»[12]; Ἡ γὰρ κτίσις, φησί, κατὰ μετοχὴν τὴν ἀγαθότητα ἔχει, ἀπομιμουμένη πρὸς δύναμιν τὴν ἑαυτῆς, εἰ θέμις εἰπεῖν, τὴν ἔμφυτον καὶ τελείαν τοῦ Θεοῦ ἀγαθότητα καὶ δι' αὐτῆς σῳζομένη· καί ἐστιν ὕπαρξις τοῦ ἐν αὐτῇ ἀγαθοῦ, τὸ μετέχειν τῆς τοῦ Θεοῦ, προσκολλωμένην αὐτῷ τῇ ὑπακοῇ καὶ τῷ πρὸς [353] αὐτὸν ἔρωτι. Ἐγράφη γὰρ ὡς «Οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται»[13]· καὶ «Μακρὰν ἀπέχει ὁ Θεὸς ἀπὸ ἀσεβῶν»[14]· καὶ «Μακρὰν ἀπὸ ἁμαρτωλῶν ἡ σωτηρία»[15]. Δῆλον δέ, ὡς σχέσει καὶ διαθέσει, διὰ τὴν πρὸς τὸ ἀγαθὸν ἐναντίωσιν, καὶ τὸ πρὸς ἀρετὴν βράδος· ἀλλ' οὐ τόπῳ. Ὅτι δὲ καὶ αὐτὸς ἀγαθός ἐστιν, ἅτε φύσει τῷ ἀγαθῷ Πατρὶ ὑπάρχων ἕν, αὐτός τε ἐν Ματθαίῳ λέγει· «Εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι»[16]; καὶ πάλιν· «Μαρία τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ' αὐτῆς»[17]. Ἔλεγε δὲ «ἀγαθὴν μερίδα» ἑαυτόν. Καὶ συνεξαγγέλλουσι δὲ αὐτῷ οὐκ ἀφανεῖς ἄνδρες, ἀλλὰ καὶ σφόδρα προσομιλήσαντες τῷ θεϊκῷ Πνεύματι· οἱ δέ εἰσι μεταξὺ τῶν ἄλλων τῶν συνοπαδῶν αὐτοῖς, οὗτοι· ὁ Ἱεροψάλτης ἐν ριζ' ψαλμῷ· «Ἐξομο-

1. Ματθ. 19,17. Μάρκ. 10,18. Λουκ. 18,19. 2. Πρβλ. Ματθ. 28,19. 3. Ματθ. 19,17. Μάρκ. 10,18. Λουκ. 18,19. 4. Ματθ. 25,21. 5. Πρβλ. Ματθ. 12,35. 6. Πρβλ. Α' Βασ. 2,26. 7. Πρβλ. Α' Βασ. 9,1-2. 8. Πρβλ. Ἐκκλ. 9,4. 9. Ψαλ. 117,8. 10. Ψαλ. 72,28. 11. Ματθ. 19,17. Μάρκ. 10,18. Λουκ. 18,19. 12. Πρβλ. Λουκ. 6,46. 13. Ψαλ. 72,27. 14. Παρμ. 15,29. 15. Ψαλ. 118,155. 16. Ματθ. 20,15. 17. Λουκ. 10,42.

λογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός»[1]· καὶ ἐν τῷ αὐτῷ· «Ἀγαθὸς Κύριος τοῖς ὑπομένουσιν αὐτόν, ψυχῇ ἐκζητούσῃ αὐτόν»[2]· καὶ Ἡσαΐας·«Κύριος κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραήλ»[3]. Ὅτι δὲ καὶ τὸ Ἅγιον τοῦ Θεοῦ Πνεῦμα ἀγαθὸν ὑπάρχει, ὁ μνημονευθεὶς Δαυΐδ ἐν κδ' ψαλμῷ μελῳδεῖ· «Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ»[4]. Πρὸς δὴ τούτοις, εἰ ἀγαθόν ἐστιν ἡ αἰώνιος ζωή, καὶ τὰ ῥήματα τοῦ Υἱοῦ· (ἔφη γάρ· «Ἐγώ **[356]** εἰμι ἡ ζωή»[5]· καὶ πάλιν· «Τὰ ῥήματα, ἃ λελάληκα ὑμῖν, Πνεῦμά ἐστι, καὶ ζωή ἐστι»)· καὶ εἰ ἀγαθὸν τοῦ Ἁγίου Πνεύματος ὁ ἁγιασμὸς καὶ ἡ ἐν τῷ φωτίσματι ἐνέργεια (συμμνημονεύεται γὰρ ὡς συνεργόν), ἔτι δὲ καὶ ἡ διανομὴ τῶν οὐρανίων δωρημάτων[7]· πάντως ἀγαθὸς ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα. Οὐκ ἀκοῇ δὲ μόνον ἐδιδάχθημεν, ἀλλὰ καὶ ἐθεασάμεθα, ὡς ἐγχωρεῖ τῆς σεπτῆς καὶ ὁμοουσίου Τριάδος, τὸ ἰδικὸν τῶν ὑποστάσεων· τοῦ μὲν Πατρὸς ἐξ οὐρανῶν λέγοντος· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός»[8]· τοῦ δὲ Μονογενοῦς αὐτοῦ ἐπὶ γῆς βαπτιζομένου· τοῦ δὲ ἑνὸς καὶ μόνου Ἁγίου Πνεύματος αὐτοῦ κατιόντος ἐν εἴδει περιστερᾶς καὶ μένοντος ἐπ' αὐτὸν τὸν μονογενῆ Θεὸν καὶ Υἱόν. Καὶ Δαυϊτικὸν γὰρ θησαύρισμα ἐν πδ' τοῦτο πιστοῦται ψαλμῷ· ὅτι ὁ σαρκωθεὶς ἐκ τῶν γηΐνων ἡμῶν, ὑπὸ τοῦ Θεοῦ Πατρὸς ἐμαρτυρεῖτο Υἱός. Γνώριμος δὲ πᾶσιν ὁ λόγος, ἔχων ὧδε· «Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλε, δικαιοσύνη ἐκ τῶν οὐρανῶν διέκυψεν»[9]. Ὁμοίως διὰ τὸ μὴ εἶναι διαφορὰν θεότητος τῇ φρικτῇ καὶ ἀχράντῳ Τριάδι, ποτὲ τὸν Πατέρα μετὰ τοῦ Υἱοῦ ἐκφαίνουσι τὰ λόγια, ὡς ὅταν λέγῃ, Δαυΐδ μέν· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου»[10]. Παῦλος δέ· «Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ»[11]· ποτὲ δὲ τὸν Πατέρα μετὰ τοῦ Ἁγίου Πνεύματος συνάπτουσιν, ὡς ὅταν Ἀγγαῖος προφητεύῃ· «Διότι ἐγὼ μεθ' ὑμῶν εἰμι, λέγει Κύριος παντοκράτωρ, καὶ τὸ Πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν»[12]· καὶ πάλιν· «Οὐκ ἐν δυνάμει μεγάλῃ, οὐδὲ ἐν ἰσχύϊ, ἀλλ' ἢ ἐν Πνεύματί μου, εἶπε Κύριος παντοκράτωρ»[13]. Ἐγχρονιστέων τῷ ῥητῷ. Ἐπειδὴ γάρ ἐστιν ὅτε οἱ ἑτερόδοξοι τοῦ Πνεύματος σὺν τῷ Πατρὶ μνημονευομένου, φασὶν ἀνυπόστατον δύναμίν τινα δηλοῦσθαι, ἠσφαλισμένως ἔχει τὸ προκείμενον ῥητόν. Καὶ Ἡσαΐας· «Καὶ νῦν Κύριος ἀπέσταλκέ με καὶ τὸ Πνεῦμα αὐτοῦ»[14]· καὶ πάλιν· «Ἐκεῖ συνήντησαν ἔλαφοι καὶ ἔδοσαν τὰ πρόσωπα ἀλλήλων· ἀριθμῷ παρῆλθοσαν καὶ μία αὐτῶν οὐκ ἀπώλετο· ἑτέρα τὴν ἑτέραν οὐκ ἐζή- **[357]**τησαν· διότι Κύριος ἐνετείλατο αὐταῖς καὶ τὸ Πνεῦμα αὐτοῦ συνήγαγεν αὐτάς»[15]. Παῦλος δὲ Κορινθίοις· «Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν»[16]; Καὶ πάλιν· «Ἡ

1. Ψαλ. 117,1,29. 2. Πρβλ. Θρ. 3,25. 3. Ἡσ. 63,7. 4. Ψαλ. 142,10. 5. Πρβλ. Ἰω. 11,25. 14,6. 6. Ἰω. 6,63. 7. Πρβλ. Α' Κορ. 12,4-11. 8. Ματθ. 3,17. 9. Ψαλ. 84,12. 10. Ψαλ. 109,1. 11. Ρωμ. 1,7. 12. Ἀγγ. 2,4-5. 13. Ζαχ. 4,6. 14. Ἡσ. 48,16. 15. Ἡσ. 34,15-16. 16. Α' Κορ. 3,16.

ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος Ἁγίου»[1]· καὶ πάλιν· «Ἡμῖν δὲ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ»[2]. Ἄλλοτε δὲ μόνον τὸν Υἱὸν ὀνομάζουσιν, ὡς ἡνίκα Ἡσαΐας προφητεύῃ· «Καὶ νῦν, Κύριε, πατὴρ ἡμῶν σύ, ἡμεῖς δὲ πηλὸς ἔργα τῶν χειρῶν σου πάντες»[3]. Παῦλος δὲ Γαλάταις· «Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε»[4]. Ἄλλοτε σὺν τῷ Ἁγίῳ Πνεύματι τὸν Μονογενῆ κηρύττουσιν, ὡς ὅταν Παῦλος Κορινθίοις μὲν ἐπιστέλλῃ· «Ἀλλὰ ἀπελούσασθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν»[5]. Ῥωμαίοις δέ· «Ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι τῆς συνειδήσεώς μου ἐν Πνεύματι Ἁγίῳ»[6] καὶ πάλιν· «Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν· ἢ Πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβετε»[7]. Καὶ ἄλλοτε τοῦ Ἁγίου Πνεύματος κατὰ μόνας ἐπιμέμνηται, ὡς ὁπόταν Ἡσαΐας μὲν προφητεύῃ· «Αὐτοὶ ἠπείθησαν καὶ παρώξυναν τὸ Πνεῦμα τὸ Ἅγιον»[8]. Καὶ πάλιν· «Κατέβη Πνεῦμα παρὰ Κυρίου καὶ ὡδήγησεν αὐτούς»[9]. Παῦλος δὲ Κορινθίοις γράφει· «Σαρκικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ»[10]· καὶ ὡς Στέφανος ἐν ταῖς Πράξεσι φάσκει· «Ὑμεῖς τῷ Πνεύματι τῷ Ἁγίῳ ἀντιπίπτετε»[11]. Καὶ πάλιν· «Ἡμεῖς ἐσμεν μάρτυρες τῶν ῥημάτων τούτων καὶ τὸ Πνεῦμα τὸ Ἅγιον»[12]. Καθὰ ὡς ἐπίπαν εἰώθαμεν λέγειν· Ἡμεῖς μόνοι ἐνταῦθά ἐσμεν καὶ ὁ Θεός. Καὶ **[360]** ὁ Σωτὴρ δὲ παρ' Ἰωάννῃ, μόνου μνημονεύει τοῦ θεϊκοῦ Πνεύματος, λέγων· «Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς τὴν ἀλήθειαν πᾶσαν»[13]. Καὶ αἱ Πράξεις ὡσαύτως περὶ τούτου πιστοῦνται· «Τοῦ δὲ Πέτρου διανοουμένου περὶ τοῦ ῥήματος εἶπεν αὐτῷ τὸ Πνεῦμα τὸ Ἅγιον[14]. «Ἀναστὰς κατάβηθι καὶ πορεύου σὺν αὐτοῖς, μηδὲν διακρινόμενος· διότι ἐγὼ ἀπέσταλκα αὐτούς»[15]. Καὶ πάλιν· «Τάδε λέγει τὸ Πνεῦμα τὸ Ἅγιον· Ἀφορίσατέ μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν εἰς τὸ ἔργον, ὃ προσκέκλημαι αὐτούς»[16]. Καὶ πάλιν Πέτρῳ εἶπε τὸ Ἅγιον Πνεῦμα· «Ἀναστὰς πορεύθητι εἰς τὸν οἶκον Κορνηλίου»[17]. Καὶ αὖθις κομψευόμεναι αἱ ἀποστολικαὶ Πράξεις, διατριβὴν παρέχουσι τῷ τοιῷδε λόγῳ· περιέχουσι γάρ· «Τότε ὁ Παῦλος πλησθεὶς Πνεύματος Ἁγίου, εἶπε πρὸς αὐτόν»[18]. Καὶ ἔτι· «Ὁ γὰρ Πέτρος πλησθεὶς Πνεύματος Ἁγίου, εἶπε πρὸς τὸν λαόν»[19]. Σημαίνεται δὲ ὁμοίως τὸ ἰσόρροπον καὶ ἰσοδύναμον τῶν παντίμων ὑποστάσεων. Καὶ ἐν τῷ τὸν Δεσπότην Θεὸν Λόγον, διὰ τῆς προλεχθείσης αὐτοῦ εἰς τὸν βάπτισμα πανυμνήτου φωνῆς, τὴν

---

1. Ρωμ. 5,5. 2. Α' Κορ. 2,10. 3. Ἡσ. 64,8. 4. Γαλ. 3,27. 5. Α' Κορ. 6,11. 6. Ρωμ. 9,1. 7. Β' Κορ. 11,4. 8. Ἡσ. 63,10. 9. Ἡσ. 63,14. 10. Α' Κορ. 2,14. 11. Πράξ. 7,51. 12. Πράξ. 5,32. 13. Ἰω. 16,13. 14. Πρβλ. Πράξ. 10,19. 15. Πράξ. 10,20. 16. Πράξ. 13,2. 17. Πρβλ. Πράξ. 10,19-20. 18. Πρβλ. Πράξ. 13,10. 19. Πρβλ. Πράξ. 4,8.

ἰσοτιμίαν ἑαυτῷ καὶ τῷ Ἁγίῳ Πνεύματι τὴν πρὸς τὸν Πατέρα φυλάξαι· δι' ἣν αἱ ἱεραὶ βίβλοι, ποτὲ μὲν πρώτου μέμνηται τοῦ Πατρός, καὶ οὕτω τοῦ Υἱοῦ ἢ τοῦ Ἁγίου Πνεύματος· ποτὲ δὲ πρώτου ἐπιμέμνηνται τοῦ Υἱοῦ, διὰ τὸ τῆς φύσεως ἀμέριστον, καὶ τῆς θεολογίας τὸ ἀδιάφορον· ὡς ὅταν λέγῃ Ἰὼβ τρανῶς τὴν Τριάδα δηλῶν· «Ζῇ [361] Κύριος, ὃς οὕτω με κέκρηκε καὶ ὁ Παντοκράτωρ ὁ πικράνας μου τὴν ψυχήν· εἰ μὴν ἔτι τῆς πνοῆς μου ἐχούσης, Πνεῦμα δὲ θεῖον τὸ περιόν μοι ἐν ῥισίν»[1]. Τὸ ζωοποιοῦν με Ἅγιον Πνεῦμα, φησίν, καὶ ἀναπνέειν ἔτι ποιοῦν. Καὶ ὡς ἡνίκα Παῦλος Θεσσαλονικεῦσι τὸ δεύτερον γράφει· «Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ὁ Θεὸς καὶ Πατὴρ παρακαλέσει ὑμῶν τὰς καρδίας»[2]. Καὶ Γαλάταις· «Παῦλος ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπου, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ Πατρός»[3]. Καὶ Κορινθίοις, ὡς προείρηται· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος»[4]. Καὶ ὁ Σωτὴρ δέ φησιν· «Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν»[5]. Ποτὲ δὲ πρῶτον τὸ Ἅγιον Πνεῦμα ὀνομάζουσιν, μετέπειτα δὲ τὸν Πατέρα ἢ τὸν Υἱόν, ὡς ὅταν Δαυῒδ ψάλλῃ· «Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω»[6]; Καὶ ὁ Ἰὼβ τὸ εὔγνωμον δεικνὺς φάσκει· «Πνεῦμα θεῖον τὸ ποιῆσάν με· πνοὴ δὲ Παντοκράτορος ἡ διδάσκουσά με»[7]. Καὶ ὡς Παῦλος ἐν τῇ πρώτῃ Ἐπιστολῇ Κορινθίοις γράφει· «Διαιρέσεις δὲ χαρισμάτων εἰσίν, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτὸς Θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν»[8]. Ποτὲ δὲ περὶ δύο ὑποστάσεων διαλέγονται ἀνωνύμως, ὡς ὅτε Ζαχαρίας λέγει· «Εἶπε Κύριος πρὸς τὸν διάβολον· Ἐπιτιμήσει Κύριος ἐν σοί, διάβολε»[9]. Καὶ ἀνωτέρω ἐδείχθη διὰ πλειόνων.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ'

[364] Περὶ τοῦ τὸ νῦν λεχθὲν περὶ τοῦ Πατρός, ἄλλοτε περὶ τοῦ Υἱοῦ εἰρῆσθαι ἢ τοῦ Ἁγίου Πνεύματος διὰ τὸ ἐν μιᾷ θεότητι τὴν Τριάδα ὑπάρχειν.

Ἐν μιᾷ τοιγαροῦν θεότητι οἱ ἱεροφάνται τὴν ἔνδοξον Τριάδα ἐπιστάμενοι καὶ τὴν θεολογίαν αὐτῆς ἐπίκοινον οὖσαν, ὅπερ νῦν εἰρήκασι περὶ τοῦ Πατρός, ἄλλοτε ἄλλοι περὶ τοῦ Υἱοῦ ἢ τοῦ Ἁγίου Πνεύματος

---

1. Ἰὼβ 27,2-3. 2. Πρβλ. Β' Θεσ. 2,16-17. 3. Γαλ. 1,1. 4. Β' Κορ. 13,13. 5. Πρβλ. Ἰω. 14,23. 6. Ψαλ. 138,7. 7. Ἰὼβ 33,4. 8. Α' Κορ. 12,4-6. 9. Ζαχ. 3,2.

διαγορεύουσιν· οὐκ ἐναντιούμενοι ἑαυτοῖς, ἀλλὰ διὰ τὸ καὶ ἡμᾶς εἰδέναι τοῦτό τε αὐτὸ τῆς ὀρθῆς πίστεως τὸ καίριον· καὶ ὡς οἵας δ' ἂν ὑποστάσεως ἐπιμνησθῶμεν ἐκ παντὸς καὶ τὴν ἄλλην τῇ πίστει συνανελάβομεν, ἅτε ἀχώριστον. Ἀψευδεῖν δὲ ἀνάγκη τοὺς ἀψευδεῖς ὑποφήτας Θεοῦ καὶ δόξης ἀρνουμένης τὴν ἀλήθειαν καθαροὺς τοὺς τὴν ἁπλῆν καὶ ὄντως ἀλήθειαν, τοῦτ' ἔστιν τὴν ἀγαθότητα, τοῦ Θεοῦ διδάσκοντας. Μὴ καθαροῖς γὰρ καθαρῶν ἐφάπτεσθαι μὴ οὐχὶ θεμιτόν φασιν· οἱ δὲ ἦσαν καθαροὶ καὶ πάσης ψευδοδοξίας ἀλλότριοι. Εὑρήσομεν δὲ τοῦτο εὐθὺς εἰς τὴν θεοπτίαν, ἣν ἐθεάσατο Ἡσαΐας. Τί δὲ μὴ πρῶτον ὅλου ἐκείνου, ὡς ἔχει, μνημονεύσω τοῦ χωρίου; Λέγει οὖν· «Εἶδον τὸν Κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. Καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ· ἓξ πτέρυγες τῷ ἑνὶ καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ πτέρυξι κατεκάλυπτον τὰ πρόσωπα, ταῖς δὲ δυσὶ τοὺς πόδας, ταῖς δὲ δυσὶν ἐπέταντο, καὶ ἔκραζον ἕτερος πρὸς τὸν ἕτερον· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ»[1]. Καὶ μεθ' ἕτερά φησιν. «Εἰπέ μοι· Εἰπὲ τῷ λαῷ· Ἀκοῇ ἀκούετε καὶ οὐ μὴ συνῆτε· καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε[2]. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσιν καὶ τῇ καρδίᾳ συνῶσιν· καὶ ἐπιστρέψωσιν καὶ ἰάσομαι αὐτούς»[3]. Καὶ μεταξὺ ἄλλων ἐπιφέρει· «Καὶ τὸν βασιλέα Κύριον Σα**[365]**βαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου· καὶ ἀπεστάλη πρός με ἓν τῶν Σεραφὶμ»[4] καὶ τὰ ἑξῆς. Τὸν ὀφθέντα τοίνυν Κύριον Σαβαὼθ καὶ βασιλέα Ἡσαΐας μὲν οὗτος αὐτὸν τὸν Θεὸν Πατέρα εἶναι οἶδεν, Παῦλος δὲ ἐν τῇ βίβλῳ τῶν ἀποστολικῶν Πράξεων τὸ Ἅγιον Πνεῦμα τυγχάνειν ὂν ἀπεφήνατο, τοιῶσδε ἀνειπών· «Καλῶς τὸ Πνεῦμα τὸ Ἅγιον ἐλάλησε πρὸς τοὺς πατέρας ὑμῶν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· Πορεύθητι πρὸς τὸν λαὸν τοῦτον καὶ εἰπὲ αὐτῷ· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε»[5] καὶ τὰ ἑξῆς ὡς πρόκειται. Ἰωάννης δὲ ἐν Εὐαγγελίῳ τὸν Υἱὸν τοῦ Θεοῦ εἶναι διωρίσατο· ἔφη γάρ· «Τοσαῦτα σημεῖα πεποιηκότος τοῦ Ἰησοῦ, οὐκ ἠδύναντο πιστεύειν· ὅτι εἶπεν Ἡσαΐας[6]· Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμούς, καὶ ἐπήρωσεν αὐτῶν τὴν καρδίαν· ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ νοήσωσι τῇ καρδίᾳ καὶ ἐπιστρέψωσι καὶ ἰάσομαι αὐτούς»[7]. Καὶ εὐθὺς ἐπάγει· «Ταῦτα δὲ εἶπεν Ἡσαΐας, ὅτε εἶδεν τὴν δόξαν αὐτοῦ»[8], τοῦτ' ἔστιν τοῦ Υἱοῦ τοῦ Θεοῦ. Ταῦτα μὲν δὴ περὶ τούτων ὧδέ πῃ. Ἄκουε δὲ καὶ ἕτερα τῆς αὐτῆς δυνάμεως, τοῦ Δαυὶδ ἐν ψαλμῷ ϟδ' ἐκ προσώπου τοῦ Θεοῦ Πατρὸς ᾄσαντος τῇ λύρᾳ τοιῶσδε· «Ἐπείρασάν με οἱ πατέρες ὑμῶν

---

1. Ἡσ. 6,1-3. 2. Πρβλ. Ἡσ. 6,9. 3. Ἡσ. 6,10. 4. Ἡσ. 6,5-6. 5. Πράξ. 28,25-26. 6. Πρβλ. Ἰω. 12,37-38. 7. Ἰω. 12,40. 8. Ἰω. 12,41.

καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη. Διὸ προσώχθισα τῇ γενεᾷ ταύτῃ καὶ εἶπον[1]· Ἀεὶ πλανῶνται τῇ καρδίᾳ. Αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου»[2]. Παῦλος, Ἑβραίοις γράφων, ἐκ τοῦ αὐτοῦ ψαλμοῦ ἀπὸ τοῦ Ἁγίου Πνεύματος διορίζεται τόνδε τὸν τρόπον· «Καθὼς εἶπε», φησίν, «τὸ Πνεῦμα τὸ Ἅγιον· Σήμερον ἐὰν τῆς φωνῆς μου ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη»[3]. Καὶ Στέφανος, εἰς τὰς ἀποστολικὰς Πράξεις, τοὺς Ἰουδαίους ἀπὸ τῆς αὐτῆς ἐντρέπων Γραφῆς, ἔφη· «Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ Ἁγίῳ ἀντιπίπτετε· ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς»[4]. Ὁμοίως δὲ ἐξ Αἰγύπτου ὡδηγηκέναι τοὺς **[368]** Ἑβραίους, ὁ μὲν Μωϋσῆς Κύριον λέγει ἐν τῷ Δευτερονομίῳ· «Κύριος γάρ», φησίν, «μόνος ἦγεν αὐτοὺς καὶ οὐκ ἦν μετ' αὐτῶν θεὸς ἀλλότριος»[5]. Καὶ ὁ Ἱερεμίας ὡσαύτως· «Καὶ οὐκ εἴπατε», φησίν, «Ποῦ ἐστιν Κύριος ὁ ἀναγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, ὁ καθοδηγήσας ὑμᾶς ἐν τῇ ἐρήμῳ»[6]. Ὁ δέ γε Ἡσαΐας, τὸ Ἅγιον Πνεῦμα ὡδηγηκέναι λέγει· «Ἤγαγε» γάρ, φησίν, «αὐτοὺς διὰ ἀβύσσου, ὡς ἵππον δι' ἐρήμου, καὶ οὐκ ἐκοπίασαν· καὶ ὡς κτήνη διὰ πεδίου. Κατέβη Πνεῦμα παρὰ Κυρίου καὶ ὡδήγησεν αὐτούς»[7]. Ὁ δὲ Παῦλος ὁδηγὸν αὐτῶν τὸν Χριστὸν γεγενῆσθαι διδάσκει· «Ἔπινον γάρ,» φησίν, «ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός»[8]. Ὧ συνῳδὰ καὶ Ἰούδας καθολικῶς γράφει· «Ἅπαξ γὰρ Κύριος Ἰησοῦς λαὸν ἐξ Αἰγύπτου σώσας, δεύτερον τοὺς μὴ πιστεύσαντας αὐτῷ ἀπώλεσεν»[9]. Ἐνταῦθα οὖν διπλῶς ἀναιρεῖται ἡ ἐπιχείρησις τῶν λεγόντων κτίσμα τὸν σεπτὸν Υἱὸν καὶ τὸ θεϊκὸν Πνεῦμα, ἀπό τε τοῦ περὶ ἑκατέρας ὑποστάσεως κεχρησμῳδῆσθαι τὰ τὴν ἄπειρον μίαν φύσιν κατασημαίνοντα ἀπό τε τοῦ παρακεῖσθαι, ὅτι «Οὐκ ἦν μετ' αὐτῶν θεὸς ἀλλότριος»[10], τοῦτ' ἔστιν ἑτερούσιος. Τὸν ἴδιον τρόπον Μωϋσῆς μὲν λέγει· «Οὐκ ἔσται μερὶς οὐδὲ κλῆρος τοῖς Λευΐταις ἐπὶ τῆς γῆς· Κύριος, αὐτός, μερὶς αὐτῶν»[11]. Ἱερεμίας δέ· «Ὁ πλάσας», φησίν, «τὰ πάντα, αὐτὸς κληρονομία τοῦ Ἰακώβ· Κύριος ὄνομα αὐτῷ»[12]. Δαυῒδ δὲ ἐν ιε' ψαλμῷ· «Κύριος μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου»[13]. Ὁ δέ γε Παῦλος τὸ Ἅγιον Πνεῦμα τὴν κληρονομίαν εἶναι Ἐφεσίοις ἐπιστέλλει· «Ἐν ᾧ», φησίν, «πιστεύσαντες, ἐσφραγίσθημεν τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ Ἁγίῳ, ὅ ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν»[14]. Ὁμοίως Παῦλος Κορινθίοις γράφει· «Διαιρέσεις δὲ χαρισμάτων εἰσίν, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν καὶ ὁ αὐτὸς Κύριος· καὶ διαιρέσεις

1. Πρβλ. Ψαλ. 94,9-10. 2. Ψαλ. 94,10-11. 3. Ἑβρ. 3,7-9. 4. Πράξ. 7,51. 5. Δευτ. 32,12. 6. Ἱερ. 2,6. 7. Ἡσ. 63,13-14. 8. Α' Κορ. 10,4. 9. Ἰούδα 5. 10. Δευτ. 32,12. 11. Πρβλ. Δευτ. 10,9. 12. Ἱερ. 10,16. 13. Ψαλ. 15,5. 14. Ἐφ. 1,13-14.

ἐνεργημάτων εἰσίν, ὁ δ' αὐτὸς Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν»[1]. Δεικνὺς δὲ τὴν ταυτότητα τῆς θεότητος, οὐ μόνον ἐνταῦθα πρώτου ἐπιμέμνηται τοῦ Πνεύματος, εἶτα τοῦ Υἱοῦ, καὶ οὕτω τοῦ Πατρός· ἀλλὰ καὶ ὁ νῦν εἰρηκὼς τὸν Θεὸν τὰ πάντα ἐνεργεῖν, μετ' ὀλίγον ἐπάγει· «Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται»[2]· σαφῶς καὶ διαρρήδην αὐτὸ Θεὸν ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ **[369]** Υἱῷ ἅμα καὶ αὐτεξούσιον παριστῶν. Ἔστιν ἀκοῦσαι καὶ τοῦ Θεοῦ καὶ Πατρὸς παρ' Ἡσαΐᾳ μὲν εἰρηκότος· «Καὶ τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω»[3], Ἰωάννου δὲ φήσαντος· «Ἵνα πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσι τὸν Πατέρα»[4] (ἤδη γὰρ ᾔδει σαφῶς, ὅτι οὐχ ἑτερουσίῳ τῷ Μονογενεῖ καὶ τῷ Ἁγίῳ Πνεύματι ἡ δόξα ἀναπέμπεται)· πάλιν τοῦ Μάρκου λέγοντος ἀπὸ τοῦ Χριστοῦ· «Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων τῶν ἁγίων»[5]. Ὁ Ματθαῖος, τὸ αὐτὸ κεφάλαιον ἐκτιθέμενος, οὐκ εἶπεν, Ἐν τῇ δόξῃ τοῦ Πατρός, ἀλλ', «Ἐν τῇ τοῦ Υἱοῦ», οὕτω γράψας· «Ὅταν δὲ ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἅγιοι ἄγγελοι μετ' αὐτοῦ· ὅτε καθίσῃ ἐπὶ θρόνου δόξης αὐτοῦ»[6]. Καὶ παρ' Ἰωάννῃ δέ φησιν· «Δόξασόν με τῇ δόξῃ, ᾗ εἶχον παρὰ σοί, πρὸ τοῦ τὸν κόσμον εἶναι»[7].

ΚΕΦΑΛΑΙΟΝ Κ'

Περὶ τοῦ διὰ τὸ ὁμοούσιον καὶ ἰσοδύναμον κατοικεῖν ἐν πιστοῖς τόν τε Πατέρα τόν τε Υἱὸν τό τε Ἅγιον Πνεῦμα. Καὶ πρὸς τὴν τῶν ἑτεροδόξων ἀντίθεσιν.

Εὑρήσομεν ἔτι τὸ ὁμοούσιον τῆς Τριάδος καὶ ὡς ἀπαραλλάκτως πάντα ἐστὶν αὐτῇ δυνατά, εἰ ξυνείδωμεν, ὅτι αὐτὴ μόνη, ὑπὲρ τὸ ἄυλον καὶ ἀόρατον οὖσα, κατ' οὐσίαν μετέχεσθαι δύναται, καὶ πληροῦν ὃν ἔκτισε ναόν· καὶ αὐτῇ οὐ τὸ πρᾶγμα τοῦτο μόνον, ἀλλὰ καὶ ἡ λέξις ἁρμόζει. Ἕπεται γὰρ τῷ μεθεκτῷ τὸ ἄτρεπτον· καὶ τούτῳ τὸ ἄκτιστον, ὅ ἐστιν καὶ ἄναρχον. Οὐδὲν δὲ κτιστόν, ὅσον ἀπὸ Γραφῶν συνηθείας, μετουσίας τρόπῳ μετέχεσθαι δύναται ἢ πληροῦν οὐσιωδῶς τὸν ἄνθρωπον, ἀλλὰ μόνῳ τῷ τῆς ἕξεως τῆς ἀγαθῆς ἢ τῆς φαύλης. Μεταφορικῶς γὰρ λέγομέν τινας ἀρετῆς καὶ ἐπιστήμης πεπληρῶσθαι, καὶ τεθεωρημένως προφέρειν δύνασθαι τὰ ἀρετῆς καὶ ἐπιστήμης ἐπίχειρα, ὡς οἱ ἀκραιφνῶς τῆς χάριτος τοῦ Ἁγίου Πνεύματος μεταλα-

1. Α' Κορ. 12,4-6. 2. Α' Κορ. 12,11. 3. Ἡσ. 42,8. 4. Ἰω. 5,23. 5. Μάρκ. 8,38. 6. Ματθ. 25,31. 7. Ἰω. 17,5.

χόντες. Μαρτυρεῖται οὖν κατοικεῖν ἐν ἡμῖν ὅ τε Πατὴρ ὅ τε Υἱὸς καὶ τὸ Πνεῦμα, ὡς ἡνίκα Παῦλος Κορινθίοις τὸ δεύτερον γράφει ἐκ τοῦ Ἱερεμίου· «Ἡμεῖς γὰρ ναὸς Θεοῦ ἐσμεν ζῶντος, καθὼς εἶπεν ὁ Θεός· Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω· καὶ ἔσομαι αὐτῶν Θεός, καὶ αὐτοὶ ἔσονταί μου λαός»[1]· καὶ πάλιν· «Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν[2]; καὶ οὐκ οἴδατε, ὅτι τὰ σώ**[372]**ματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν Ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ τοῦ Θεοῦ»[3]; Καὶ Ἐφεσίοις· «Ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι, διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν»[4]. Καὶ ὡς ὅταν ὁ Δεσπότης ἐν Ἰωάννῃ λέγει· «Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει καὶ ἐν ὑμῖν ἔσται»[5]· καὶ πάλιν· «Ἐάν τις ἀγαπᾷ με, τὸν λόγον μου τηρήσει· καὶ ὁ Πατήρ μου ἀγαπήσει αὐτὸν καὶ πρὸς αὐτὸν ἐλευσόμεθα καὶ μονὴν παρ' αὐτῷ ποιησόμεθα»[6]. Ἔσται δὲ τοῦτο πλέον καταφανὲς τῷ ἐπιστάνοντι, ὅτι θελήσας ὁ πάντα δυνάμενος Θεὸς Λόγος ἄτρεπτός τε διέμεινεν καὶ ὑπὸ τῆς Παρθένου ἐκυοφορήθη. Οἱ δὲ πάλιν ἐνίστανται ἀντιλέγοντες. Γέγραπται δῆθεν περὶ μὲν Ἀνανία· «Διὰ τί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου»[7]; περὶ δὲ Ἰούδα, ὡς «Εἰσῆλθεν εἰς αὐτὸν ὁ Σατανᾶς»[8]. Πρὸς οὓς ῥητέον, ὡς Οὐ μετεχόμενος, οὐδὲ τῇ ψυχῇ ὥσπερ ἐπιβατεύων, ἀλλὰ φενακίζων, καὶ κακοβουλίας, καὶ παλίμβολον τρόπον ἐνεργαζόμενος, καὶ πάρεργον ποιῶν τῆς ἑαυτοῦ πονηρίας, πληροῖ τὸν μὴ προσέχοντα τῷ· «Μὴ δῴης εἰς σάλον τὸν πόδα σου καὶ οὐ μὴ νυστάξει ὁ φυλάσσων σε»[9]· καθ' ὃν τρόπον Ἔλυμαν τὸν υἱὸν αὐτοῦ ἐπλήρωσεν τῇ ὑποβολῇ πράξεως σατανικῆς· λέγει γὰρ αὐτῷ Παῦλος, μυσαρῷ τὴν γνώμην καὶ τὰς πράξεις τυγχάνοντι, καὶ ἀνάπλεῳ τῆς διαβολικῆς ὄντι μοχθηρίας, καὶ κατασοφιζομένῳ τοὺς ἁγίους, ὡς δοκεῖν ἐν αὐτῷ οἰκεῖν τὸν ἀρχέκακον πατέρα αὐτοῦ· «Ὦ πλήρης παντὸς δόλου καὶ πάσης ῥᾳδιουργίας**[373]** υἱὲ διαβόλου»[10], ἔτι δὲ καθὼς καὶ τοὺς ψευδοπρεσβύτας ἐπὶ τῆς σεμνοπρεπεστάτης Σωσάννης ἐπλήρωσεν ἀκολάστου γνώμης· ἔχει δὲ οὑτωσί· «Ἦλθον δὲ καὶ οἱ δύο πρεσβύτεροι πλήρεις τῆς ἀνόμου ἐννοίας»[11]. Καὶ ἵνα μὴ ὄχλον πολὺν τῇ ἀκοῇ παρασκευάζωμεν, πολλὰ ἃ λέγειν εἴχομεν, εἰς τοῦτο παρέντες, συντόμως ἐροῦμεν, ὡς εἴπερ κρατεῖ ὁ λόγος αὐτῶν οὗτος, ὅρα λοιπὸν μὴ μέγα οἴεσθαι τὸ τὴν θείαν γαληνότητα οἰκεῖν ἐν πιστοῖς, ἀλλ' ὡς ἕν γε δὴ μόνῳ τῷ δοκεῖν τοῦτο τὴν δόξαν ἔχειν.

---

1. Β' Κορ. 6,16. Πρβλ. Λευϊτ. 26,12. 2. Α' Κορ. 3,16. 3. Α' Κορ. 6,19. 4. Ἐφ. 3,16-17. 5. Ἰω. 14,17. 6. Ἰω. 14,23. 7. Πράξ. 5,3. 8. Πρβλ. Λουκ. 22,3. 9. Ψαλ. 120,3. 10. Πράξ. 13,10. 11. Δαν. Σουσ. (Θδτ.) 28.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'

Περὶ τοῦ διὰ τὸ ἀπαράλλακτον τῆς φύσεως καὶ τῆς οὐσίας «λαλεῖν ἐν πιστοῖς» τὴν Τριάδα.

Καὶ τὸ λαλεῖν δὲ ἐξ ἴσου ἐν ἁγίοις τὰς θείας ὑποστάσεις, τὴν ἀπαραλλαξίαν τῆς φύσεως καὶ ἐξουσίας ἀπαγγέλλει. Ζαχαρίας μὲν γάρ, οὐχ ὁ προφήτης, ἀλλ' ὁ πατὴρ Ἰωάννου, Κύριον τὸν Θεὸν Ἰσραὴλ διὰ τῶν προφητῶν λελαληκέναι ἔφησεν[1]. Καὶ Παῦλος δὲ ὁμοίως Ἑβραίοις ἐπέστειλεν· «Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ»[2]. Καὶ Κορινθίοις δὲ περὶ τοῦ Υἱοῦ ἔγραψεν· «Ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ»[3]. Ὁ δέ γε Σωτὴρ παρὰ Ματθαίῳ διδάσκει· «Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν ἐστιν τὸ λαλοῦν ἐν ὑμῖν»[4].

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'

[376] Περὶ τοῦ διὰ τὸν αὐτὸν λόγον, ἤγουν διὰ τὸ ὁμοούσιον τῆς Τριάδος, γεγράφθαι «ζῆν ἡμᾶς τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι».

Τοῦτο ἐπιφανέστατα θεωρεῖν διδάσκει, καὶ τὸ γεγράφθαι, ζῆν ἡμᾶς τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι· ὡς ὅταν Παῦλος διαλέγεται γράμμασι Ῥωμαίοις· «Ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν»[5]· καὶ πάλιν· «Ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι Χριστῷ» · καὶ Γαλάταις· «Εἰ ζῶμεν Πνεύματι, Πνεύματι καὶ στοιχῶμεν»[7].

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'

Περὶ τοῦ διὰ τὸν λόγον τοῦτον «τὸν ἄνωθεν νόμον» γεγράφθαι εἶναι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος.

Δι' ὃν ἔφαμεν λόγον καὶ ὁ ἄνωθεν νόμος γέγραπται εἶναι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος· καθὰ ὁ ἱεροψάλτης λέγει, ἐν μὲν λς' ψαλμῷ· «Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ, ἐν καρδίᾳ αὐτοῦ»[8]· ἐν δὲ λθ'· «Τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά σου ἐβουλήθην καὶ τὸν νό-

---

1. Πρβλ. Λουκ. 1,68,70. 2. Ἑβρ. 1,1-2. 3. Β' Κορ. 13,3. 4. Ματθ. 10,20. 5. Ρωμ. 6,11. 6. Β' Κορ. 5,15. 7. Γαλ. 5,25. 8. Ψαλ. 36,31.

μόν σου ἐν μέσῳ τῆς κοιλίας μου»[1]. Καὶ ὡς Παῦλος γράφει Γαλάταις μέν· «'Αλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ»[2]· καὶ Κορινθίοις ἐν τῇ α' 'Επιστολῇ· «'Εγενόμην τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Θεοῦ, ἀλλ' ἔννομος Χριστοῦ, ἵνα κερδήσω τοὺς ἀνόμους»[3]. 'Ρωμαίοις δέ· «'Ο γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἐν Χριστῷ 'Ιησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου»[4]. Καὶ πάλιν τὴν Νέαν καὶ τὴν Παλαιὰν Διαθήκην αἰνιττόμενός φησιν· «Νυνὶ δὲ κατηργήθημεν ἀπὸ τοῦ νόμου, ἀποθανόντες ἐν ᾧ κατειχόμεθα, ὥστε δουλεύειν ἡμᾶς ἐν καινότητι Πνεύματος, καὶ οὐ παλαιότητι γράμματος»[5]· καὶ πάλιν· «Οἴδαμεν γάρ, ὅτι ὁ νόμος πνευματικός ἐστιν»[6].

ΚΕΦΑΛΑΙΟΝ ΚΔ'

Περὶ τοῦ διὰ τὴν αὐτὴν τῆς ὁμοουσιότητος ἐν τῇ Τριάδι αἰτίαν χρηματίζειν ἡμᾶς ἢ ἀνθρώπους Θεοῦ ἢ Χριστιανοὺς ἢ πνευματικούς.

Χρηματίζομεν τοίνυν διὰ τοῦτο ἢ ἄνθρωποι Θεοῦ ἢ Χριστιανοὶ ἢ πνευματικοί, δι' ὧν φασιν, ἡ μὲν ἐν Σαρέπτοις χήρα πρὸς τὸν Θεσβίτην 'Ηλίαν· «Τί ἐμοὶ καὶ σοί, ἄνθρωπε τοῦ Θεοῦ»[7]; καὶ πάλιν· «Νῦν ἔγνων, ὅτι ἄνθρωπος τοῦ Θεοῦ ἅγιος εἶ σύ»[8]· ἡ δὲ Σουμανῖτις πρὸς τὸν ἑαυτῆς ἄνδρα περὶ 'Ελισσαιὲ **[377]** τοῦ προφήτου· «'Ιδοὺ δὴ ἄνθρωπος τοῦ Θεοῦ μέγας παραγίνεται πρὸς ἡμᾶς»[9]· αἱ δὲ Βασιλικαὶ ἱστορίαι· «Καὶ ἄνθρωπος τοῦ Θεοῦ ἦλθεν ἐξ 'Ιούδα καὶ προεφήτευσεν ἐπὶ τὸ θυσιαστήριον τὸ ἐν Βαιθήλ»[10]. 'Ο δὲ ἱεροψάλτης ἐν τῇ ἐπιγραφῇ τοῦ πθ' ψαλμοῦ· «Προσευχὴ Μωϋσῇ, ἀνθρώπου τοῦ Θεοῦ»[11]· ὁ δὲ Παῦλος, Τιμοθέῳ γράφων τὸ δεύτερον· «Ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος»[12]· αἱ δὲ Πράξεις· «'Εγένετο δὲ αὐτοὺς καὶ ἐνιαυτὸν ὅλον συναχθῆναι ἐν τῇ 'Εκκλησίᾳ, χρηματίσαι τε πρῶτον ἐν 'Αντιοχείᾳ τοὺς μαθητὰς Χριστιανούς»[13]· ὁ δὲ Παῦλος Κορινθίοις ἐν 'Επιστολῇ διαλεγόμενος· «Περὶ δὲ τῶν πνευματικῶν οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ἀδελφοί. Οἴδατε ὅτι, ὅτε ἔθνη ἦτε, πρὸς τὰ εἴδωλα τὰ ἄφωνα ὡς ἀνήγεσθε ἀπαγόμενοι· διὸ γνωρίζω ὑμῖν, ὅτι οὐδεὶς δύναται εἰπεῖν, Κύριος 'Ιησοῦς, εἰ μὴ ἐν Πνεύματι 'Αγίῳ»[14]· καὶ πάλιν· «Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ (μωρία γὰρ αὐτῷ ἐστιν), καὶ οὐ δύναται γνῶναι, ὅτι πνευματικὸς ἀνακρίνεται· ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντας, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. Τίς γὰρ ἔγνω νοῦν Κυρίου, ὃς συμβιβάσει αὐτόν; 'Ημεῖς δὲ

1. Ψαλ. 39,9. 2. Γαλ. 6,2. 3. Α' Κορ. 9,21. 4. Ρωμ. 8,2. 5. Ρωμ. 7,6. 6. Ρωμ. 7,14. 7. Γ' Βασ. 17,18. 8. Πρβλ. Γ' Βασ. 17,24. 9. Πρβλ. Δ' Βασ. 4,9. 10. Πρβλ. Γ' Βασ. 13,1-2. 11. Ψαλ. 89,1. 12. Β' Τιμ. 3,17. 13. Πράξ. 11,26. 14. Α' Κορ. 12,1-3.

νοῦν Χριστοῦ ἔχομεν»[1]· καὶ πάλιν· «Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἐξ ὑμῶν ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πραότητος· σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς. Ἀλλήλων τὰ βάρη βαστάζετε καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ»[2].

ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Περὶ τοῦ διὰ τὴν αὐτὴν τῆς ὁμοουσιότητος τῆς Τριάδος αἰτίαν, τὴν Γραφήν, ἅπερ νῦν λέγει τοῦ Πατρός, ἄλλοτε, λέγειν τοῦ Υἱοῦ ἢ τοῦ Ἁγίου Πνεύματος.

Μίαν θεότητα καὶ δεσποτείαν ἡ Γραφὴ δηλοῦσα, ἅπερ νῦν λέγει τοῦ Πατρός, ἄλλοτε φάσκει τοῦ Υἱοῦ ἢ τοῦ Ἁγίου Πνεύματος εἶναι, ὡς ἡνίκα ὁ Σωτὴρ παρὰ Ματθαίῳ Ἰουδαίοις λέγει· «Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ»[3]. Καὶ ὡς ὅταν ὁ ἀοίδιμος γράφει Παῦλος Φιλιππησίοις μέν· «Οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Ἰησοῦ Χριστοῦ»[4]· Γαλάταις δέ· «Οἱ δὲ τοῦ Χριστοῦ Ἰησοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ **[380]** ταῖς ἐπιθυμίαις»[5]· καὶ Κορινθίοις· «Ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς, κρίναντος τούτου[6]· καὶ ὑπὲρ πάντων ἀπέθανεν, ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν ἀλλὰ τῷ ὑπὲρ αὐτῶν ἀποθανόντι καὶ ἐγερθέντι»[7]· καὶ πάλιν· «Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστιν»[8]· καὶ πάλιν· «Ζηλοῦτε δὲ τὰ πνευματικά»[9]. Ἔτι καὶ τὴν Ἐκκλησίαν, ἥτις νοεῖται σὺν τῇ ἀναπεμπομένῃ ἐν αὐτῇ δόξῃ, καὶ τῇ προσαγομένῃ ἀναιμάκτῳ λατρείᾳ, Κορινθίοις μὲν τὸ πρῶτον γράφων τοῦ Θεοῦ εἶναι, κατήγγειλεν οὑτωσί· «Ἀπρόσκοποι καὶ Ἰουδαίοις γίνεσθε καὶ Ἕλλησι καὶ τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ»[10]· καὶ πάλιν· «Ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν οὐδὲ αἱ Ἐκκλησίαι τοῦ Θεοῦ»[11]. Ἐφεσίοις δὲ πάλιν ἐπιστέλλων τοῦ Χριστοῦ εἶναι αὐτὴν ἐδίδαξεν, ὧδε εἰπών· «Ἵνα παραστήσῃ ἑαυτῷ ἄμεμπτον τὴν Ἐκκλησίαν, μὴ ἔχουσαν σπίλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων· ἀλλ᾿ ἵνα ᾖ ἁγία καὶ ἄμωμος»[12]. Εἰ γὰρ μὴ ὧδε αὐτῷ ἐδόκει, ἑρμηνεύσει τις, τί βούλεται εἰπὼν ὁ προφήτης Ἀγγαῖος, ὅτι «Μεγάλη ἔσται ἡ δόξα τοῦ οἴκου τούτου, ἡ ἐσχάτη ὑπὲρ τὴν πρώτην»[13]· τοῦτ᾿ ἔστιν, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας καὶ τῆς ἐν αὐτῇ δοξολογίας, παρὰ τὴν συναγωγὴν Ἰουδαίων, ἐν ᾗ μόνος ὁ Θεὸς καὶ Πατὴρ ἐθεολογεῖτο καὶ ἐδοξάζετο. Ἑπομένως τοίνυν καὶ τὸ Εὐαγγέλιον νῦν μὲν Θεοῦ τοῦ Πατρὸς εἶναι λέγει, γράφων Ῥωμαίοις· «Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ, κλη-

1. Α΄ Κορ. 2,14-16. 2. Γαλ. 6,1-2. 3. Ματθ. 22,21. Μάρκ. 12,17. Λουκ. 20,25. 4. Φιλιπ. 2,21. 5. Γαλ. 5,24. 6. Πρβλ. Β΄ Κορ. 5,14. 7. Β΄ Κορ. 5,15. 8. Α΄ Κορ. 2,14. 9. Α΄ Κορ. 14,1. 10. Α΄ Κορ. 10,32. 11. Α΄ Κορ. 11,16. 12. Ἐφ. 5,27. 13. Ἀγγ. 2,9.

τὸς ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ»[1]· καὶ πάλιν· «Οὐ γὰρ ἐπαισχύνομαι τὸ Εὐαγγέλιον. Δύναμις γὰρ Θεοῦ ἐστιν, εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Δικαιοσύνη γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται· ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται»[2]· καὶ Κορινθίοις τὸ δεύτερον· «Ὅτι δωρεὰν τὸ τοῦ Θεοῦ Εὐαγγέλιον εὐηγγελισάμην ὑμῖν»[3]. Νῦν δὲ Θεοῦ τοῦ μονογενοῦς αὐτὸ τυγχάνειν ἐπιστέλλει Κορινθίοις τὸ μὲν α'· «Ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ· ἀλλὰ πάντα στέγομεν, ἵνα μὴ ἐκκοπήν τινα δῶμεν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ»[4]· τὸ δὲ β'· «Ἐλθὼν δὲ εἰς τὴν **[381]** Τρωάδα εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ»[5]· καὶ πάλιν· «Δοξάζοντες τὸν Θεὸν ἐπὶ τῇ ὑποταγῇ τῆς ὁμολογίας ὑμῶν εἰς τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ»[6]· καὶ Ῥωμαίοις· «Μάρτυς γάρ μου ἐστὶν ὁ Θεὸς ᾧ λατρεύω ἐν τῷ Εὐαγγελίῳ τοῦ Υἱοῦ αὐτοῦ»[7]. Ἀλλὰ καὶ τὴν ἱερὰν λειτουργίαν ποτὲ μὲν Θεῷ τῷ Πατρί, ποτὲ δὲ Θεῷ τῷ μονογενεῖ αὐτοῦ Υἱῷ ἐκτελεῖσθαι ἔφη, γράψας Κορινθίοις, τὸ μὲν α'· «Οὕτως ἡμᾶς, λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ καὶ οἰκονόμους μυστηρίων Θεοῦ· ὃ δὲ λοιπόν, ζητεῖται ἐν τοῖς οἰκονόμοις, ἵνα πιστός τις εὑρεθῇ»[8]· τὸ δὲ δεύτερον· «Ἐν παντὶ συνιστῶντες ἑαυτούς, ὡς Θεοῦ διάκονοι»[9]· καὶ πάλιν· «Διάκονοι Χριστοῦ εἰσιν; παραφρονῶν λέγω· ὑπὲρ ἐγώ»[10]. Καί......

ΚΕΦΑΛΑΙΟΝ ΚϚ'.

. . . .

[τίς φό]βῳ αὐτοῦ καὶ ἐγκατελείφθη; ἢ τίς ἐπεκαλέσατο αὐτὸν καὶ ὑπερεῖδεν αὐτόν»[11]; «Ὅς, γὰρ καὶ οἱ ἔξω φασίν, «πείθεται Θεῷ» μάλα τ' ἔκλυεν αὐτοῦ»[α]. Τοιγαροῦν οὐδὲν ἐπίκτητον ἢ ὑφ' ἑτέρου ἐνεργού-**[384]** μενον, ἐν ἑαυτῷ εἶναι· οἴκοθεν δ' ἐπάγεσθαι τἀγαθὰ πάντα παριστῶν, τὴν μίαν θεϊκὴν εἰρήνην, ἧς ὅριον οὐκ ἔστιν· περὶ ἧς Ἡσαΐας διακέκραγεν· «Κύριε ὁ Θεὸς ἡμῶν, εἰρήνην δὸς ἡμῖν· πάντα γὰρ ἀπέδωκας ἡμῖν[12]· Κύριε, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν»[13]· ὡς αὐτοῦ τυγχάνουσαν, διὰ τὸ ἐπίκοινον τῆς φύσεως καὶ κυριότητος δίδωσι κατ' ἐξουσίαν. Ἔφη γάρ· «Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν»[14]. Διὸ οὐχ ἥκιστα καὶ Παῦλος τοῦτο τὸ θεόσδοτον χρῆμα ἄμφω τὰς ἀγενήτους ὑποστάσεις ἀπαραλλάκτως χορηγεῖν ἔφη, Ῥωμαίοις οὕτω που γράψας· «Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ»[15], διάγνωσιν δὲ ἡμῖν, τοῦτ' αὐτὸ οὕτως ἔχειν, παρέσχετο καὶ τὸ «Πάντα ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν»[16]. Ταῦτα γὰρ οὐκ ἀμαθῶς εἰς τὴν κτίσιν, ἀλλ' εἰς τὴν θεϊκὴν ἀξίαν ἐκλαμβάνεται, εἰ ἀξίαν

---

1. Ρωμ. 1,1. 2. Ρωμ. 1,16-17. 3. Β' Κορ. 11,7. 4. Α' Κορ. 9,12. 5. Β' Κορ. 2,12. 6. Β' Κορ. 9,13. 7. Ρωμ. 1,9. 8. Α' Κορ. 4,1-2. 9. Β' Κορ. 6,4. 10. Β' Κορ. 11,23. 11. Σοφ. Σειρ. 2,10. 12. Ἡσ. 26,11. 13. Ἡσ. 26,12. 14. Ἰω. 14,27. 15. Ρωμ. 1,7. 16. Ἰω. 16,15.
α. Πρβλ. Ἰλ. Α 218.

ἐπὶ τοῦ Θεοῦ φάναι χρή. Θεὸς γάρ, φησίν, ἐστὶν ὁ Πατήρ; εἰμὶ καὶ ἐγώ· Υἱὸς γὰρ αὐτοῦ μονογενὴς καὶ ἀληθινὸς καὶ ἀγαπητός. Κύριός ἐστιν ὁ Πατήρ; εἰμὶ καὶ ἐγὼ πάντων Κύριος καὶ κληρονόμος ζῶντος Πατρὸς τῆς κληρονομίας δεσπόζων. Κληρονομῶ δὲ τὰ ἐμαυτοῦ, τοῦτο μὲν ὡς ποιητὴς αὐτῶν, τοῦτο δὲ καὶ ὡς γνήσιος Υἱός. Ἐτέθην δὲ κληρονόμος[1], ὡς ἐνανθρωπήσας. Δημιουργὸς καὶ βασιλεύς ἐστιν ὁ Πατήρ; εἰμί. Εἶπον γὰρ ὑμῖν, ὡς « Ἦν τις βασιλεύς, καὶ ἐπορεύθη ποιῆσαι γάμους τῷ υἱῷ αὐτοῦ τῷ βασιλεῖ»[2]. Ἄτρεπτός ἐστιν ὁ Πατήρ; εἰμὶ καὶ ἐγώ. Κεχρησμῴδηται γὰρ περὶ ἐμοῦ· «Σὺ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν»[3]. Ἀπαθής ἐστιν ὁ Πατήρ; εἰμί, ὡς καὶ τοὺς μετόχους μου ἀπαθείας μεταλαμβάνειν. Ἄναρχος ὁ Πατήρ; εἰμί. Οὐ γὰρ ἦν, ὅτε οὐκ εἶχε τὸ ὄνομα τοῦ Πατρὸς καὶ τῆς δόξης αὐτοῦ τὸ ἐνυπόστατον ἀπαύγασμα, καὶ τὸν χαρακτῆρα τῆς ὑποστάσεως[4]· καὶ τὴν εἰκόνα τῆς θεότητος ἐμέ. Ζωὴ καὶ φῶς καὶ ἀγαθότης καὶ δύναμις καὶ σοφία καὶ ἀλήθεια καὶ ὅσα Θεοῦ ἄξιά ἐστιν ὁ Πατήρ; εἰμί, ὡς φθάσαντες ἠκούσατε. Καὶ μέντοι καὶ Σωτὴρ ἐγώ, ἀνατέλλων τὸν ἥλιον ἐπὶ δικαίους καὶ ἁμαρτωλοὺς»[5] καὶ οὐκ ἐπάγων κακὸν ἀντὶ κακοῦ. Φιλάνθρωπος ὁ Πατήρ; εἰμί· ὅπουγε ὑμῶν ἕνεκα ἐμαυτὸν ἐκένωσα, μορφὴν δούλου λαβών[6]· καὶ ῥαπιζόντων καὶ ἐμπτυόντων καὶ ἐμπαιζόντων καὶ σταυρούντων ὑμῶν ἠν**[385]**εσχόμην. Πάντα οὖν εἶπε τὰ πατρικὰ τυγχάνειν αὐτοῦ, ὥστε μηδὲν πλέον διδόναι τῷ Θεῷ Πατρὶ ἢ μόνον τὸ εἶναι Πατέρα Υἱοῦ συναναρχου καὶ συνυφεστῶτος. Οὕτω πιστεύειν ἀναπείθει καὶ τὸ «Πάντα τὰ ἐμὰ σά ἐστιν· καὶ τὰ σά, ἐμά· καὶ δεδόξασμαι ἐν αὐτοῖς»[7]. Εἰ γὰρ μὴ διὰ τὴν φυσικὴν σχέσιν ὧδε ἐλέχθη καὶ πᾶσι τοῖς πατρικοῖς οὐσιωδῶς δεδόξασται ὁ Υἱός· εἰ μὴ βασιλεία καὶ δεσποτεία μία τυγχάνει· ἄρα, κατά γε λόγον αἱρετικόν, ἔστιν ἃ μὴ ὑπὸ τὴν τοῦ Πατρός, ἀλλ' ὑπὸ τὴν ἐξουσίαν τοῦ Υἱοῦ τελεῖ. Καὶ πάλιν· «Ἐὰν ἐγὼ δοξάζω ἐμαυτόν, ἡ δόξα μου οὐδέν ἐστιν· ἔστιν ὁ Πατήρ μου ὁ δοξάζων με»[8]. Ἐμοί, φησίν, λέγοντι περὶ τῆς ἐμαυτοῦ θεϊκῆς δόξης, ὅτι «Ἐγὼ καὶ ὁ Πατὴρ ἕν ἐσμεν»[9], ἀπιστεῖτε· ἀλλ' ἔστιν ὁ μαρτυρῶν μοι Πατήρ, ὅτι κατὰ φύσιν δοξάζομαι, Υἱὸς μὲν ὢν αὐτοῦ ἀγαπητὸς καὶ ἀληθινός, Θεὸς δὲ ὑμῶν καὶ Δεσπότης. Εἶτα λέγει· «Πάτερ, δόξασόν σου τὸν Υἱόν, ἵνα καὶ ὁ Υἱός σου δοξάσῃ σε»[10]. Ἴση κἀνταῦθα ἐφυλάχθη τιμή τε καὶ δόξα ταῖς θείαις ὑποστάσεσιν. Ὧ γὰρ ἂν ὑπολάβωμεν τρόπῳ τὸν Πατέρα δοξάζειν τὸν Υἱὸν αὐτοῦ, τούτῳ αὐτὸς δοξάζεται ὑπ' αὐτοῦ. Καὶ αὖθις ἐπάγει· «Καὶ νῦν δόξασόν με, Πάτερ, παρὰ σεαυτῷ, τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί»[11]. Φρικτὸν ἀκοῇ, ὅτι ὁ δόξαν ἔχων ἀνάρχως παρὰ τῷ ἑαυτοῦ Πατρὶ (τοῦτο γὰρ σημαίνει τὸ « Ἧ εἶχον δόξῃ πρὸ τοῦ τὸν κό-

---

1. Πρβλ. Ἑβρ. 1,2. 2. Πρβλ. Ματθ. 22,2. 3. Ψαλ. 101,28. Ἑβρ. 1,12. 4. Πρβλ. Ἑβρ. 1,3. 5. Πρβλ. Ματθ. 5,45. 6. Πρβλ. Φιλιπ. 2,7. 7. Ἰω. 17,10. 8. Ἰω. 8,54. 9. Ἰω. 10,30. 10. Ἰω. 17,1. 11. Ἰω. 17,5.

σμον εἶναι»[1] ὑπὸ αἱρετικῶν οὐ δοξάζεται. Ποία δὲ ἦν αὕτη; Ἦν, ὡς οἶμαι, καὶ Μᾶρκος ἔφη· «Ὅταν ἔλθῃ ὁ Υἱὸς ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ»[2]· ἀντὶ τοῦ, Τὴν πατρικὴν δόξαν ἔχει, καὶ ἐν αὐτῇ ἥξει τὸ δεύτερον. Ὧν δὲ ἡ δόξα μία, οὐκ ἄλλη καὶ ἄλλη θεότης καὶ βασιλεία καὶ προσκύνησις καθέστηκεν. Ὅθεν προπαραγγέλλει· «Πιστεύετε εἰς τὸν Θεὸν καὶ εἰς ἐμὲ πιστεύετε· ἐν τῇ οἰκίᾳ τοῦ Πατρός μου μοναὶ πολλαί εἰσιν»[3]. Τῆς γὰρ θεότητος, φησίν, διαφορὰν οὐκ ἐχούσης, μίαν πίστεως γνῶσιν περὶ τῆς Τριάδος ἔχειν ὀφείλετε, ἵν' οὕτω κατασκηνώσητε ἐν ἐκείναις ταῖς τρισμακαρίσταις αὐλαῖς, ταῖς πᾶσιν ἁρμοδίαις τε καὶ ἀρκούσαις. Οὐ μόνον γοῦν τὰ ὑφηγητοῦ, ἀλλὰ καὶ τὰ Θεοῦ παρέχων λέγει· «Ἀφέονταί σοι αἱ ἁμαρτίαι»[4]· προσέχεις κἀνταῦθα τὸ αὐτεξούσιον αὐτοῦ, ὅτι ὡσανεὶ πρὸς μείζονα οὐ πρεσβεύει, ἀλλ' ὡς αὐτοκράτωρ συγχωρεῖ. Ματθαῖος δὲ συνεισφέρων καὶ αὐτὸς ταῖς περὶ τοῦ μονογενοῦς Υἱοῦ θεολογίαις ἔφη· «Οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός· οὐδὲ τὸν Υἱόν τις ἐπιγινώσκει, εἰ μὴ ὁ Πατήρ»[5]. Πῶς τοίνυν φιλονεικοῦσιν, ὡς εἰδότες, τὸν μὲν Πατέρα ἀσύγκριτον· τὸν δὲ Υἱὸν αὐτοῦ, ἀνόμοιον αὐτῷ· τὴν δὲ οὐσίαν, ἀγεννησίαν· οὐδὲν **[388]** ἐξαίρετον τῇ γνώσει τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ μονογενοῦς Θεοῦ καταλιμπάνοντες, οὐδὲ λογιζόμενοι, ὅτιπερ οὐδὲν ἑτεροφυὲς ἴσην τῷ ἑτεροουσίῳ κέκτηται γνῶσιν; Παῦλος δὲ ὁμοίως γράφει Τιμοθέῳ μὲν ἐν τῇ πρώτῃ Ἐπιστολῇ· «Προστάσσω σοι ἐνώπιον τοῦ Θεοῦ τοῦ ζωοποιοῦντος τὰ πάντα καὶ Ἰησοῦ Χριστοῦ τοῦ μαρτυρήσαντος ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν, φυλάξαι τὴν παραγγελίαν ἄσπιλον, ἀνεπίληπτον, ἕως τῆς ἐπιφανείας τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνατὸς καὶ Βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων, ὁ μόνος ἔχων ἀθανασίαν, καὶ φῶς οἰκῶν ἀπρόσιτον· ὃν οὐδεὶς ἀνθρώπων εἶδεν, οὔτε ἰδεῖν δύναται· ᾧ τιμὴ καὶ δόξα αἰώνιος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν»[6]. Αἱρετικοῖς μὲν γὰρ δέδοκται τῷ Πατρὶ μόνῳ διδόναι τὸ «Ὁ μόνος δυνατὸς καὶ Βασιλεὺς βασιλευόντων»[7] καὶ τὰ ἑξῆς. Ὥσπερ δὲ περὶ ἀμφοῖν τῶν ἀειμνήστων ὑποστάσεων εἶπεν· «Προστάσσω σοι ἐνώπιον τοῦ Θεοῦ καὶ Χριστοῦ Ἰησοῦ»[8]· οὕτως ἐπ' ἀμφοῖν αὐτῶν, ὡς κατὰ ἑνὸς τῇ θεότητι, καὶ τὰ ἑξῆς ὕμνησεν. Οὐ γάρ, ὡς οὗτοι, ἠγνόησεν αὐτὸς τὸ «Πάντα ὅσα ἔχει ὁ Πατήρ, ἐμά ἐστιν»[9]· καὶ τὸ «Ἵνα πάντες τιμῶσι τὸν Υἱόν, καθὼς τιμῶσιν τὸν Πατέρα»[10]· καὶ τό· «Οὗτός ἐστιν ὁ ἀληθινὸς Θεὸς καὶ ζωὴ αἰώνιος»[11]· καὶ «Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν»[12]· καὶ «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός»[13]· ἀλλὰ καὶ ἀποτείνεται μᾶλλον τὰ ἐκκείμενα πρὸς τὸν Υἱόν. Ἔχει γάρ· «Παραφυλάξαι τὴν παραγγελίαν ἕως τῆς

1. Ἰω. 17,5. 2. Μάρκ. 8,38. 3. Ἰω. 14,1-2. 4. Ματθ. 9,2,5. 5. Ματθ. 11,27. 6. Πρβλ. Α' Τιμ. 6,13-16. 7. Πρβλ. Α' Τιμ. 6,15. 8. Πρβλ. Α' Τιμ. 6,13. 9. Ἰω. 16,15. 10. Ἰω. 5,23. 11. Α' Ἰω. 5,20. 12. Βαρ. 3,36. 13. Ματθ. 3,17. 17,5.

ἐπιφανείας τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· ἣν καιροῖς ἰδίοις δείξει ὁ μακάριος καὶ μόνος δυνατός»[1]. Δῆλον δ' ὅτι ὁ Υἱὸς δείξει τὴν ἑαυτοῦ ἐπιφάνειαν, τὸ δεύτερον ἐλευσόμενος. Ἐπιτήρει οὖν, ὅτι διὰ τὴν ἰσοτιμίαν Πατρὸς καὶ Υἱοῦ καὶ δόξαν τὴν πρώτην αὐτῷ ἀπονέμει. Ῥωμαίοις δέ· «Τὰ γὰρ ἀόρατα αὐτοῦ, ἀπὸ κτίσεως κόσμου, τοῖς ποιήμασιν νοούμενα καθορᾶται· ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καὶ θεότης»[2]. Καὶ ταυτὶ δὲ οὐ ῥέπει πρὸς ποίημα. Οὐ γὰρ ἐν τῷ γενητὸν νοεῖσθαι τὸν Δημιουργόν, ἡ ἀϊδιότης καὶ θεό**[389]**της αὐτοῦ οὐ γνωρίζεται, τοῦτ' ἔστιν ἡ ἀεὶ καὶ κατὰ ταυτὰ ἔχουσα θεότης. Φιλιππησίοις δέ· «Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν, μορφὴν δούλου λαβών»[3]. Τί τῆς ἰσότητος ταύτης εὑρίσκεται ἄνισον; Οὐχ ἥρπασε γάρ, φησίν, οὐκ ἔλαβε τὸ ἴσον εἶναι τῇ φύσει τῷ Θεῷ καὶ Πατρί. Καὶ δὴ ὁ μὴ ὑπ' ἄλλου κενωθείς, ἑαυτὸν δὲ κενώσας, αὐθέντην δεσπότην ὁμοῦ καὶ ἀΐδιον ἑαυτὸν ἐπέδειξεν. Εἰ γὰρ ἐγένετο ἐν δούλου μορφῇ, ἀναμφίλογον, ὡς οὐ διετέλει πρὶν ἢ τοῦτο γένηται ἐν ποιήμασιν, ἀλλ' ἐν ἐλευθέρᾳ τῇ πατρικῇ φύσει ἦν. Ἐπειδὴ μὴ δυνατὸν ἦν ὀφθῆναι, συγκατέβη ἀτρέπτως, ἀφαντασιάστως, ἕως οἰκέτου μορφῆς· καὶ τὰ τοῦ οἰκέτου ἀπώσατο ἄχθη καὶ ζωῆς φαιδροτέρας δέδωκεν ἀρχήν· ὅθεν καὶ ὅστις ἀνάρχως ἦν, ἐπεγνώσθη. Καὶ τὰ ἄλλα δὲ τὰ ἐπισταλέντα τοῖς αὐτοῖς Φιλιππησίοις, ὅτι ἤδη πως τὸν Υἱόν, προὔχοντά τε καὶ ὑπερβάλλοντα σὺν τῷ ἑαυτοῦ Πατρί, ὅσον πρὸς ἀσυνέτους ἀποφαίνει, ἤδη μοι λέλεκται πρόσθεν ἐν κεφαλαίῳ ζ'· κωλύει δὲ οὐδέν, καὶ ἀπὸ τῆς ἀρχαίας τοῦτο συστῆσαι Γραφῆς· δεῖ γὰρ μὴ παρέργως κεχρῆσθαι τῇ θεολογίᾳ. Λέγει οὖν παρὰ τῷ Ἡσαΐᾳ ὁ Θεός· «Τὰς νουμηνίας ὑμῶν καὶ τὰ Σάββατα[4] καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου. Ἐγενήθητέ μοι εἰς πλησμονήν· οὐκέτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν»[5]· κἂν πληρώσητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν· αἱ γὰρ χεῖρες ὑμῶν αἵματος πλήρεις[6]. Λούσασθε, καθαροὶ γένεσθε· ἀφέλετε τὰς ἁμαρτίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν»[7]. Ὁρᾷς τοίνυν, ὅτι καὶ φθάνει φιλανθρωπία τὴν ἀπειλήν, ὅσον οὐδέπω διαλλαττόμενος, καὶ μηνιεῖν μακρά, μᾶλλον δὲ μηνιεῖν ὅλως οὐκ εἰδώς· καὶ μισεῖ τὰς ἑορτὰς αὐτῶν ὅ ἐστι τὴν θρησκείαν, ὡς τῆς τελεωτάτης θεογνωσίας ἀπολειπομένην· παρακελεύεται δὲ βαπτισθῆναι, ὥστε δέξασθαι τὴν πίστιν πρὸς τὸν περὶ τοῦ βαπτίσματος δεσποτικὸν ὅρον. Ἐπιστώσατο δὲ ἡμᾶς καὶ ἀλλαχοῦ ὁ Παῦλος, ἐπὶ λέξεως ἀνακεκραγώς, μὴ ἔχειν ἑαυτοῦ μείζονα τὸν Υἱόν. Εἰπόντος γὰρ τοῦ Θεοῦ ἐν τῇ Γενέσει πρὸς τὸν Ἀβραάμ· «Τὸν υἱόν σου προσένεγκέ μοι θυσίαν»[8]· καὶ τοῦτο προθύμως ποιήσαντος, καὶ ἐπάγειν ἐπ' **[392]** αὐτὸν τὴν χεῖρα μαχαίρᾳ ὡπλισμένη μέλλοντος, ἐκάλεσεν αὐτὸν ἄγγελος Κυρίου, εἰπών[9]· «Ἀβραάμ, μὴ

---

1. Πρβλ. Α' Τιμ. 6,14-15. 2. Ρωμ. 1,20. 3. Φιλιπ. 2,6-7. 4. Πρβλ. Ἡσ. 1,13. 5. Ἡσ. 1,14. 6. Πρβλ. Ἡσ. 1,15. 7. Ἡσ. 1,16. 8. Πρβλ. Γεν. 22,2. 9. Πρβλ. Γεν. 22,10-11.

ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον, μήτε ποιήσῃς αὐτῷ μηθὲν κακόν. Νῦν γὰρ ἔγνων, ὅτι φοβῇ σὺ τὸν Θεὸν καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ»[1]. Εἶτα κριοῦ πρὸς τὴν θυσίαν ἀντὶ 'Ισαὰκ εὑρεθέντος, καὶ τῆς θυσίας ὑπὸ 'Αβραὰμ πληρωθείσης, τῇ μὲν γνώμῃ διὰ τοῦ παιδός, τῇ δὲ σφαγῇ διὰ τοῦ κριοῦ «'Εκάλεσεν», φησίν, «αὐτὸν ἐκ δευτέρου ἄγγελος Κυρίου ἐκ τοῦ οὐρανοῦ, λέγων· Κατ' ἐμαυτοῦ.ὤμοσα, λέγει Κύριος, οὗ εἵνεκεν ἐποίησας τὸ πρᾶγμα, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ· εἰ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ τὴν ἄμμον τῆς θαλάσσης· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πάντα τὰ ἔθνη ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς»[2]. Ἦν δὲ οὔτε ὁ Πατήρ, οὔτε μὴν λειτουργὸς ἄγγελος. Οὐ γὰρ ὀμνύει καθ' ἑαυτοῦ λειτουργὸς ἢ εὐλογεῖ ἢ λέγει· «Οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ»[3]· οὐδ' ἀποστῆσαι τὴν τῷ Θεῷ προσαγομένην τολμᾷ θυσίαν, οὐδ' αὖ προσίεσθαι αὐτὴν ἐξουσιάζει. 'Αλλὰ ἦν ὁ τὴν θυσίαν ζητήσας μονογενὴς Θεὸς Λόγος, χαριζόμενος τὸν μονογενῆ τῷ 'Αβραάμ, ὡς Παῦλος ἑρμηνεύει, γράφων 'Εβραίοις οὑτωσί· «Τῷ γὰρ 'Αβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς» (ἅπερ ἐπηγγείλατό τε καὶ ἐποίησεν), «ἐπεὶ κατ' οὐδενὸς μείζονος εἶχεν ὀμόσαι, ὤμοσεν καθ' ἑαυτοῦ, λέγων· Εἰ μὴν εὐλογῶν εὐλογήσω σε»[4]. Καὶ Ρωμαίοις δὲ τὸν Υἱὸν αὖθις καθ' ἑαυτοῦ ὀμνύοντα ἐξηγεῖται· «Πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, καθὼς γέγραπται· Ζῶ ἐγώ, λέγει Κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ»[5]. Καὶ τὸ ἐκ δεξιῶν δὲ συγκαθέζεσθαι τῷ Πατρί»[6], ἔτι δὲ καὶ τὸ θεοφράστῳ γλώττῃ ἀναφθέγγεσθαι τὸν εὐαγγελιστήν, καθέδραν πρέπουσαν τῷ Υἱῷ τὸν πατρικὸν εἶναι κόλπον[7]· εἰ μὴ σημαίνει τὸ ταυτούσιον καὶ ὁμότιμον καὶ τὸ χρῆναι σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι αὐτοῦ προσκυνεῖσθαι τὸν μονογενῆ Θεὸν καὶ Υἱόν, ἀλλὰ κατὰ ἄνθρωπον οὐ δέον ἐκδέχεσθαι χρὴ τὰ περὶ Θεοῦ γεγραμμένα· μείζων καὶ ἐνδοξότερος κατ' αὐτούς ἐστιν ὁ ἐκ δεξιῶν, ὁ τὸν θεϊκὸν ἄφατον κόλπον, ὡς τὸν χερουβικόν, ἔχων πολύωπα θρόνον· ὃ μὴ γένοιτο εἰπεῖν ἐπὶ τῆς ἀρρητοτάτης καὶ γαληνοτάτης Τριάδος! 'Ο μὲν γὰρ Δαυῒδ ᾄδει περὶ τοῦ Πατρὸς ἐν ρθ' **[393]** ψαλμῷ· «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου»[8]· ὁ δὲ Παῦλος 'Εβραίοις ὑφηγεῖται· «Ὃς ὢν ἀπαύγασμα τῆς δόξης τοῦ Πατρὸς καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς»[9]· ὁ δὲ εὐαγγελιστής· «'Ο μονογενὴς Θεός, ὁ ὢν ἐν τῷ κόλπῳ τοῦ Πατρός, αὐτὸς ἐξηγήσατο»[10].

---

1. Γεν. 22,12. 2. Γεν. 22,15-18. 3. Γεν. 22,16. 4. 'Εβρ. 6,13-14. Πρβλ. Γεν. 22,16-17. 5. Ρωμ. 14,10-11. Πρβλ. 'Ησ. 45,23. 6. Πρβλ. Μάρκ. 16,19. 7. Πρβλ. 'Ιω. 1,18. 8. Ψαλ. 109,1. 9. 'Εβρ. 1,3. 10. 'Ιω. 1,18.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ΄.

Ὁμοίως θεολογία περὶ τοῦ Υἱοῦ ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος[1] καὶ ὅτι «Θεὸς μέγας καὶ ἐπὶ πάντων[2], πρὸς ὃν οὐ λογισθήσεται ἕτερος»[3]· καὶ «ἀληθινὸς Θεός»[4]· καὶ «ζωὴ αἰώνιος»[5]· καὶ «μόνος Δεσπότης»[6]· καὶ «μόνος θαυματουργός»· καὶ «ὕψιστος»[7] καὶ «βασιλεὺς»[8] καὶ «ἐξουσιαστής»[9]· καὶ «πάντα ἐν πᾶσι Χριστὸς»[10] καὶ τὰ λοιπά.

Τοσαῦτα μὲν καὶ περὶ τούτων ἤρκει· οὐκ ἠρεμοῦσι δὲ οἱ τῶν θείων μύσται καὶ τὰ τῆς προνοητικωτάτης πάντων Τριάδος ζηλοῦντες· ἀλλ᾽ ἔτι ὑψηλὰ καὶ οἷα περὶ τοῦ Πατρὸς, τοιαῦτα καὶ περὶ τοῦ Υἱοῦ θεολογοῦσιν· «ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος»[11] καὶ ὅτι «Θεὸς μέγας καὶ ἐπὶ πάντων[12], πρὸς ὃν οὐ λογισθήσεται ἕτερος»[13]· καὶ «ἀληθινὸς Θεὸς» καὶ «ζωὴ αἰώνιος»[14] καὶ «φῶς τὸ ἀληθινὸν»[15] καὶ «μόνος Δεσπότης»[16]· καὶ «μόνος Ὕψιστος»[17] καὶ «μόνος θαυματοποιὸς» καὶ «Βασιλεὺς μέγας»[18] καὶ «Κύριος πάντων»[19] καὶ «Δημιουργὸς»[20] καὶ «ἐξουσιαστὴς»[21] καὶ «τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον»[22] καὶ «Σωτὴρ»[23] καὶ «πάντα ἐν πᾶσιν Χριστὸς»[24] καὶ «εὐλογημένος εἰς τοὺς αἰῶνας»[25]· καὶ ὅτι «μέγα τὸ τῆς εὐ**[396]**σεβείας μυστήριον»[26] (δῆλον δ᾽ ὡς τὸ Χριστιανῶν, παρ᾽ οἷς ἀγένητος Θεὸς ὑμνεῖται ὁ Χριστός)· καὶ ὅτι τῇ ἑαυτοῦ θεότητι περιποιεῖ τὸν λαόν, διὰ τὸ ὁμοουσίως ἔχειν πρὸς τὸν Πατέρα. Τοιῶσδε τοίνυν περὶ τούτων λέγουσιν οἱ μνημονευθησόμενοι νῦν πρὸς ἡμῶν ἅγιοι· οἷς ὁ Θεός, κατὰ τὸν ιε΄ ψαλμόν, ἐγνώρισεν ὁδοὺς ζωῆς. Δαυΐδ, ἐν μὲν ζ΄ ψαλμῷ εὐχόμενος· «Ἐξεγέρθητι, Κύριε ὁ Θεός μου, ἐν προστάγματι, ᾧ ἐνετείλω, καὶ συναγωγὴ λαῶν κυκλώσει σε· καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον»[27]. Αἰσθάνῃ, ὡς ὁ προφήτης Κύριον καὶ Θεὸν οἶδεν αὐτόν, καὶ δέεται αὐτοῦ λέγων· Ἐξεγέρθητι ἐπὶ τὴν ἐνανθρώπησίν σου, τρόπῳ ᾧ προώρισας τῷ «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»[28]. Ὑπὲρ ταύτης γάρ φησιν τῆς περιγινομένης ἡμῖν ἐντεῦθεν σωτηρίας, τὰ μὲν ἔθνη τῇ πίστει κυκλώσει σε· σὺ δέ, ὅθεν ἦλθες, ἀχωρίστως ἐπάνελθε· ἐν δὲ μς΄· «Θεὸς μέγας Κύριος, καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν»[29]· ἐν δὲ μθ΄·

---

1. Κολ. 2,9. 2. Πρβλ. Ἐφ. 4,6. 3. Πρβλ. Βαρ. 3,36. 4. Α΄ Ἰω. 5,20. 5. Ἔνθ᾽ ἀν. 6. Ἰούδα 4. 7. Πρβλ. Πράξ. 7,48. 8. Ματθ. 2,2 κ.ἀ. 9. Ἡσ. 9,5. 10. Κολ. 3,11. 11. Κολ. 2,9. 12. Πρβλ. Ἐφ. 4,6. 13. Πρβλ. Βαρ. 3,36. 14. Α΄ Ἰω. 5,20. 15. Ἰω. 1,9. 16. Ἰούδα 4. 17. Πρβλ. Πράξ. 7,48. 18. Πρβλ. Ματθ. 5,35. 19. Ρωμ. 10,12. 20. Πρβλ. Ἑβρ. 11,10. 21. Ἡσ. 9,5. 22. Ἡσ. 9,6. 23. Λουκ. 2,11. κ.ἀ. 24. Κολ. 3,11. 25. Ρωμ. 1,25. 26. Α΄ Τιμ. 4,16. 27. Ψαλ. 7,7-8. 28. Ἰω. 2,19. 29. Πρβλ. Ψαλ. 46,3.

«Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν, ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ· ὁ Θεὸς ἐμφανῶς ἥξει»[1]· ἐν δὲ ξζ'· «Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ»[2]· καί, «Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμάς· Κύριος ὄνομα αὐτῷ»[3]· ἐν δὲ πα'· «Ἀνάστα ὁ Θεός· κρῖνον τὴν γῆν»[4]. Ἄθρει μέν, πῶς ἑκάστη λέξις ἀνάπτει τὴν περὶ αὐτοῦ δόξαν καὶ ἐξαρκεῖ πεῖσαι τῆς πατρικῆς μονάδος ὑπάρχειν αὐτὸν οὐσίας· καὶ ὅτι ὁ μεγαλογράφος, τὸν ἐν τάφῳ οὐ δίχα ζωῆς τεθέντα, ἵνα σὺν τοῖς ζῶσιν καὶ τοὺς ἀπελθόντας τῶν ἀνθρωπίνων πραγμάτων σώσῃ, Θεὸν καλεῖ, καὶ ἀνίστασθαι τοῦ μνήματος προφητεύει, κρινοῦντα τοὺς μετὰ τοσαύτην καὶ τηλικαύτην εὐεργεσίαν γηΐνως φρονήσαντας. Ἴσθι δέ, ὅτι δυσμὰς τοὺς ἐσχάτους λέγει καιρούς. Ἐν αὐτοῖς γὰρ ἐπέστη ἐμφανῶς τῷδε τῷ θεατῷ κόσμῳ· ἐν δὲ ος'· «Ἐν τῷ ἁγίῳ ἡ ὁδός σου· τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος»[5]. Τὸν σαρκωθέντα Θεὸν Λόγον ἀνευφημεῖ κἀνταῦθα, τὸν ἐν τῷ Ἰουδαϊκῷ ἱερῷ ἐμφιλοχωρήσαντα καὶ διδάξαντα καὶ θαυματουργήσαντα· ἐν δὲ τῷ ριζ'· «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου[6]· Θεὸς μέγας Κύριος καὶ ἐπέφανεν ἡμῖν»[7]. Εἰ εὐλόγως παρὰ τῷ προφήτῃ «Θεὸς μέγας», καὶ εἰ «εὐλογημένος», ὅ ἐστιν δεδοξασμένος, καὶ βασιλεὺς μέγας, καὶ μόνος θαυματουργὸς ὑπάρχει ὁ ἐπιφανεὶς ἡμῖν Κύριος (ἔστιν δὲ ὁ Υἱός)· ἀλόγως παρὰ αἱρετικοῖς, μικρότερος τοῦ ἰδίου Πατρὸς ὑπονοεῖται. Οὐκ ἐνδέχεται γὰρ τὸν αὐτὸν τῇ ἀληθείᾳ, πρώτως μὲν ἔχειν κατὰ τὴν προφητείαν, δευτέρως δὲ κατ' ἐκείνους. Εἰ δὴ πυθόμεθα **[397]** τοῦ αὐτοῦ ψαλμῳδοῦ, μαθησόμεθα, ὅτι ἐπίσταται, ὡς τὸν Πατέρα, οὕτω καὶ τὸν Υἱόν, ὑπάρχοντα Θεὸν τῶν προπατόρων. Ἐν γὰρ μς' ψαλμῷ κέκραγεν· «Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη· ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ· ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ»[8]. Συνεκκλησιάσθησαν δὲ μετὰ τοῦ Θεοῦ τοῦ ἐνανθρωπήσαντος, περὶ οὗ ᾄδεται ἐν β' ψαλμῷ· «Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ»[9]; Ἡσαΐας δὲ ἀσύγκριτον αὐτόν, ὡς τὸν ΘεὸνΠατέρα, ἀνευφημῶν βοᾷ· «Ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον Θεόν, πλὴν σοῦ»[10]. Ἄλλον γὰρ οὐκ εἴδομεν Θεὸν ἢ τὸν ἐκ Παρθένου Μαρίας, κατὰ τὴν σωτήριον ἐνανθρώπησιν τεχθέντα· οὐδὲ ἠκούσαμεν, εἰ μὴ τὸν μαρτυρηθέντα ὑπὸ τοῦ Θεοῦ Πατρός· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός»[11]· καὶ πάλιν, ὡς προελέχθη· «Παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, Θεὸς ἰσχυρός, Ἐξουσιαστής, Ἄρχων εἰρήνης, Πατὴρ τοῦ μέλλοντος αἰῶνος»[12]. Μεθ' ἕτερά τε ἐπάγει· «Καὶ τῆς εἰρή-

1. Ψαλ. 49,1-2. 2. Ψαλ. 67,2. 3. Ψαλ. 67,5. 4. Ψαλ. 81,8. 5 Ψαλ. 76,14-15. 6. Ψαλ. 117,26. 7. Πρβλ. Ψαλ. 117,27. 8. Ψαλ. 46,9-10. 9. Ψαλ. 2,1-2. 10. Ἡσ. 64,3. 11. Ματθ. 3,17. 17,5. 12. Ἡσ. 9,5.

νης αὐτοῦ οὐκ ἔστιν ὅριον»[1]. Ὁ Υἱός, φησίν, τοῦ Θεοῦ ἐνανθρωπήσας, ἐγεννήθη παιδίον καὶ ἐδόθη ἡμῖν, φέρων αὐτὸς ἐπὶ τοῦ ὤμου αὐτοῦ ταύτης αὐτοῦ τῆς κάτω γεννήσεως τὴν ἀρχήν· τοῦτ' ἔστιν, αὐτὸς ἑαυτοῦ ἀρχὴ τυγχάνων, ἐν τῷ ἀρρεύστως ὑπὸ Παρθένου, καὶ ἐξ αὐτῆς ἀρρήτως σαρκωθέντα τεχθῆναι, συνουσίας ἀνδρὸς ἀρχὴν οὐ παρασχομένης. Ὄνομα δὲ αὐτῷ, Θεὸς ἰσχυρός, Ἐξουσιαστής. Οὐκ εἶπεν· Ὑπεξούσιος· ἀλλ' ἐφανέρωσεν αὐτοῦ τὴν φύσιν, τὴν δύναμιν, τὴν αὐθεντίαν. Ὅπερ ὄνομα γινώσκων Δαυῒδ ψάλλει· «Γνώτωσαν, ὅτι ὄνομά σοι, Κύριος· σὺ εἶ μόνος Ὕψιστος ἐπὶ πᾶσαν τὴν γῆν»[2]· τὸ «μόνος», διὰ τὴν μίαν θεότητα εἰπών. Πατέρα δὲ αὐτὸν μέλλοντος ἐκάλεσεν αἰῶνος ὄντα, καὶ τῶν παρελθόντων αἰώνων δημιουργόν, διὰ τὸ ἀπὸ χρόνου τοῦ τῆς οἰκονομίας ἐγνῶσθαι αὐτὸν πολὺ τοῖς ἀνθρώποις. Κτιστῆς τοίνυν, καὶ οὐκ ἀκτίστου φύσεως, εἶπεν αὐτὸν Πατέρα· εἷς γὰρ ὁ ἀκτίστου καὶ ὁμοουσίου Υἱοῦ Πατήρ. Παραδεικνὺς δὲ τῆς θεότητος αὐτοῦ τὸ ἀμέγεθες, ἔφη· «Τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον»[3]. Καὶ Ἱερεμίας δέ, ἤτοι Βαροὺχ (βίβλος γὰρ μία ἀμφοτέρων), σεμνηγορεῖ περὶ αὐτοῦ· «Οὗτος ὁ Θεὸς ἡμῶν· οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. Μετὰ ταῦτα, ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη»[4]. Εἰ οὖν μὴ θεοπρεπῶς νοηθείη, ὅτι διὰ τὸ ταὐτὸν τῆς θεότητος ἄμφω τῶν ἀπορρήτων ὑποστάσεων, ἡ προκειμένη γραφὴ οὕτως ἐρρήθη, λείπεται ἀθετήσαντα **[400]** εἰπεῖν, ὅτι ὁ τεκὼν αὐτὸς Θεὸς καὶ Πατήρ, οὐ Θεὸς ἡμῶν, οὐδὲ συγκρίνεται τῷ Υἱῷ αὐτοῦ. Ἐκπέπτωκεν δὴ οὖν καὶ εἰσπάμπαν ἠφάνισται ὁ λόγος τῶν διαβαλλόντων μικρότερον καὶ ὑπουργὸν τὸν Θεὸν Λόγον. Πῶς γὰρ ἂν ἄλλος εἴη ἀσύγκριτος πρὸς τὸν Υἱὸν «Πρὸς ὃν οὐ λογισθήσεται ἕτερος»[5]; Καὶ πάλιν· «Θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν ἐπὶ τῆς γῆς[6]· Κύριος, ὃς ἐποίησεν τοὺς οὐρανοὺς ἐν συνέσει[7], αὐτὸς Θεὸς ζῶν καὶ ἀληθινός»[8]· ὡς ἄλλης θεότητος μὴ οὔσης ἀληθινῆς, εἰ μὴ τῆς τοῦ γνησίου Υἱοῦ τοῦ Θεοῦ, δι' οὗ καὶ παρ' οὗ ἅμα παντὶ τῷ κόσμῳ καὶ οἱ οὐρανοὶ παρεκομίσθησαν. Καὶ ὁ ἔξοχος δὲ ἀνδρῶν Παῦλος, τὴν αὐτὴν ἀκολουθίαν τοῖς προφήταις τηρῶν τοὺς πρέποντας περὶ αὐτοῦ ἀποδίδωσι λόγους γράφων Τίτῳ μέν· «Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ, τοῦ δόντος ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων»[9]. Διὰ μὲν γὰρ τοῦ ἀναφθέγγεσθαι «τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ»[10], δηλοῖ τὸ μὴ δευτέρως ἔχειν κατ' οὐσίαν καὶ

---

1. Ἠσ. 9,6. 2. Ψαλ. 82,19. 3. Ἠσ. 9,6. 4. Βαρ. 3,36-38. 5. Πρβλ. Βαρ. 3,36. 6. Ἱερ. 10,11. 7. Πρβλ. Ψαλ. 135,5. 8. Πρβλ. Α' Θεσ. 1,9. 9. Τίτ. 2,13-14. 10. Τίτ. 2,13.

τὸ ἄναρχον πρὸς τὸν μέγαν Θεὸν Πατέρα. Καὶ κατὰ τὸ φαινόμενον γάρ ἐστι συνιδεῖν, ὅτι εἰ μικρὸς ὁ Υἱός, πῶς ἔσται μέγας ὁ Πατήρ; εἰ ἦν, ὅτε οὐκ ἦν ὁ Θεὸς Λόγος· ἦν, ὅτε Πατρὸς ὄνομα οὐχ ὑπῆρχεν. Ἔστω δὲ ἵλεω ἡμῖν, τοιαῦτα λέγειν τολμῶσιν διὰ τὴν ἄλλων ἀγνωμοσύνην· «Ἡ γὰρ εὐλάβεια καλὸν ἔθος», φασί, «τοῖς χρωμένοις». Διὰ δὲ τοῦ φράζειν· «Τοῦ δόντος ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον»[1] (οὐχὶ δέ, ἄλλῳ ἵνα καθαρίσῃ λαόν), ἀκόλουθα τῶν μνημονευθέντων [401] προσεπιτίκτει. Σημαίνει γὰρ αὐτόν, τὴν μίαν αὐτεξούσιον καὶ ἀγαθὴν θεότητα τὴν πάντων αἰτίαν, διακεκληρῶσθαι. Ἴδιον γὰρ δημιουργοῦ μέν, καὶ οὐ δημιουργήματος, τὸ ὑπεραποθανεῖν, εἰ οὕτω χρὴ φάναι, τοῦ ἰδίου ποιήματος· Υἱοῦ δὲ ἀγαπητοῦ, θεότητα καὶ βασιλείαν οὐ διάφορον ἔχοντος μετὰ Πατρός, τὸ ἑαυτῷ τὸν λαὸν περιποιῆσαι. Ἄγων δὲ τὸν λόγον, ὁ πολὺς οὗτος καὶ ἀληθὴς ἐξηγητής, εἰς τὸ ἀποδεῖξαι αὐτόν, ἅμα μὲν φιλάνθρωπον σωτήριόν τε Θεόν, ἅμα δὲ ὡς ἑαυτὸν ἐδυσώπησεν, καὶ οὐ κρείττονι εἶξεν θεότητι, γενέσθαι μεθ' ἡμῶν, ὡς εἷς ἐξ ἡμῶν, τροπῆς δίχα καὶ ἁμαρτίας φάσκει· «Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος»[2]. Κολοσσαεῦσι δὲ καὶ μέμφεται καὶ καταβολὴν τῆς πρωτίστης θεολογίας περὶ αὐτοῦ ποιεῖται, γράφων, ὡς ἤδη ἐν τῷ «Περὶ ὁμοουσίου» εἴρηται κεφαλαίῳ· «Διὰ τί κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστὸν Ἰησοῦν· ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς»[3]· τοῦτ' ἔστιν, οὐσιωδῶς. Καὶ γὰρ ἐκεῖνος φύσει πλήρωμά ἐστιν, αὐτὸ ἡ πατρικὴ θεότης ὑπάρχων τῇ οὐσίᾳ. «Οὐχ ἁρπαγμὸν» γὰρ «ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ»[4] ἡμεῖς δὲ ἐκ τοῦ πληρώματος δι' ἀγαθότητα αὐτοῦ χάριν ἐλάβομεν, ἥνπερ φύσει, ὡς δοῦλοι, οὐκ εἴχομεν, κατὰ Ἰωάννην λέγοντα· «Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν καὶ χάριν ἀντὶ χάριτος»[5]· τοῦτ' ἔστιν, τὴν τῆς ἀναγεννήσεως ἀντὶ ἧς ἀπεβάλομεν χάριτος, παρακρουσάμενοι τὴν ἐπὶ τῷ ἑνὶ φυτῷ πρώτην θεσμοδοσίαν. «Οὐκ ἔτι γάρ», φησίν, «ἐστὲ ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν»[6]· καὶ αὖθις· «Ὅτι ἐν αὐτῷ εὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτόν»[7]. Ἑπόμενα καὶ ταῦτα τοῖς πρόσθεν. Τοῦ γὰρ Πατρὸς ἐν τῷ Υἱῷ καὶ αὐτοῦ ἐν τῷ Πατρὶ τῇ φύσει τυγχάνοντος, ὡς καὶ πᾶν συγγενὲς ἀχώριστόν πως τοῦ [404] ἑαυτοῦ συγγενοῦς καθέστηκεν, κἂν τῇ ὑποστάσει διέζευκται· καλῶς καὶ ὁ ἐν τῷ κινουμένῳ ἐδαφίῳ λόγος, εἰ καὶ ἄγαν βαθέως, ἀλλ' οὐ πᾶσιν εὐσυνόπτως· «Δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἀποκαταλλάσσειν τὰ πάντα»[8]· ὡς ἁρμόττειν τῷ Υἱῷ καὶ τὸ περὶ τοῦ Πατρὸς χρησθέν· «Ἐξ οὗ τὰ πάντα»[9]· εἴπερ ὑγιῶς ἔχει, τά τε νῦν εἰρημένα, τό τε «Ἐν αὐτῷ κατοικεῖ

---

1. Πρβλ. Τιτ. 2,14. 2. Πρβλ. Τίτ. 3,4-5. 3. Κολ. 2,8-9. 4. Φιλιπ. 2,6. 5. Ἰω. 1,16. 6. Ρωμ. 6,14. 7. Κολ. 1,19-20. 8. Πρβλ. Κολ. 1,20. 9. Α' Κορ. 8,6.

πᾶν τὸ πλήρωμα τῆς θεότητος»[1]. Καὶ Τιμοθέῳ δὲ γράψας, εἰς ἄκρον ἐθεολόγησεν περὶ αὐτοῦ, καὶ ἀπ' ἀμφοῖν τῶν λέξεων, τὸ μὴ εἶναι κατὰ θεότητα παρὰ φύσιν τὴν πατρικὴν ἐδίδαξεν. Εἶπε γὰρ τοιῶσδε· «Ὁμολογουμένως μέγα ἐστὶν τὸ τῆς εὐσεβείας μυστήριον· Θεὸς ἐφανερώθη ἐν σαρκί, ἐδικαιώθη ἐν Πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ»[2]. Οὔπω γὰρ πᾶσιν σαφῶς ἔκδηλος ὢν οὗτος ὁ πάντων γενεσιουργὸς καὶ εὐεργέτης, ἐκφανὴς εὑρέθη, ἡνίκα διὰ τὴν πάντων σωτηρίαν ἐγένετο ἐθελοντής, καὶ ὡς εἷς τῶν πάντων. Ὅθεν «ἐδικαιώθη ἐν Πνεύματι»[3], τοῦτ' ἔστιν ἀπεφάνθη, ἤτ' οὖν ἐβεβαιώθη, καὶ παρὰ τῶν ἀγνοησάντων αὐτὸν ἐν τῷ ὄπισθεν χρόνῳ ἀληθινὰς εἶναι Θεός· καὶ τοῦτό φησιν, οὐκ ἀβασανίστως, ἀλλ' αὐτῇ τῇ ψυχικῇ ἡμῶν κινήσει, ὡς ἡ κοινὴ συνήθεια ἔχει λέγειν· Ὁ δεῖνα ἐδικαιώθη ἀληθινὸς εἶναι υἱὸς τοῦδε, πίστιν γένους παρασχόμενος· καὶ ἄλλοτε· Ὁ δεῖνα ἐδικαιώθη καλῶς ἡγεμονεύειν. Καὶ ἵνα πιστικώτερος ὁ λόγος φανῇ, ὦφθαι αὐτὸν ἀξιοῖ καὶ ἀγγέλοις, οἷστισι, διὰ τὴν θείαν αὐτοῦ ἀπειρίαν καὶ ἀνειδεότητα, ἀόρατος ἦν πρὸ ἐκείνου τοῦ χρόνου ὁμοίως τῷ μόνῳ ἀοράτῳ Θεῷ· καὶ ὑπ' αὐτῶν ὑμνῆσθαι· «Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη· ἐν ἀνθρώποις εὐδοκία»[4]· κεκηρύχθαι δ' ἐν τῷδε τῷ παντὶ καὶ πεπιστεῦθαι, ὅτιπερ ὁ ἐκ τοῦ ἀρρήτου φωτὸς ἀχρόνως ἐκλάμψας, ἀπὸ τῆς Ἀειπαρθένου ἐν ὑστέροις καιροῖς διὰ φιλανθρωπίαν ἀφράστως ἐτέχθη, τὰ πατρικὰ πάντα ἐκφήνας ἐν ἑαυτῷ· ἀναβεβηκέναι τε τὸν πάντα περιειληφότα ἐν δόξῃ, ᾗ ἀεὶ ἐτύγχανεν ὢν μετὰ τοῦ Θεοῦ. Ἀξιόπιστος δὲ καὶ αὐτός, περὶ οὗ ὁ λό[405]γος, τῇ ἰδίᾳ μαρτυρῶν θεότητι καὶ κυριότητι καὶ λέγων, παρὰ Ματθαίῳ μέν, πρὸς τὸν διάβολον· «Οὐ μὴ πειράσῃς Κύριον τὸν Θεόν σου»[5]· παρὰ Ἰωάννῃ δέ, πρὸς τοὺς ἀποστόλους· «Ὑμεῖς φωνεῖτέ με· Ὁ Κύριος καὶ ὁ διδάσκαλος· καὶ καλῶς λέγετε· εἰμὶ γάρ»[6]. Θωμᾶς δὲ καὶ τύπους ἥλων, οὓς ἔσχεν δι' ἡμᾶς παρ' ἡμῶν ὁ Σωτὴρ ὡς φιλάνθρωπος, ψηλαφήσας, οὐκ ἐταράχθη, οὐδὲ καθυφῆκε τῆς περὶ αὐτοῦ ἀνωτάτω δόξης. Ἠπίστατο γάρ, ὡς μόνης τῆς αὐτοκρατορικῆς ἀπειροδυνάμου καὶ ἀγαθωτάτης φύσεως ἦν, οὐ μὴν δὲ κτιστῆς, τὸ μόνον οὐχ ὑπὲρ ἰδίων κτισμάτων παθεῖν, ἀλλὰ καὶ καθολικὴν ἥν φαμεν, καὶ γενικὴν σωτηρίαν, καὶ ταύτην αἰωνίως δωρήσασθαι. Τοιγάρτοι κἀντεῦθεν μᾶλλον ἐπιθαρσήσας, ἀντεισφέρει αὐτῷ τὴν βεβαίαν πίστιν καὶ ἀνευφημεῖ· «Ὁ Κύριός μου καὶ ὁ Θεός μου»[7]. Καὶ ἐν ταῖς Καθολικαῖς δὲ Ἐπιστολαῖς, ἐξ ἴσου καὶ ὁμοιολέκτως τὸν Υἱὸν τῷ Πατρὶ θεολογοῦντες, ἔγραψαν, ὡς προελέχθη, Ἰωάννης μὲν ὁ πολὺς ἐν θεολόγοις· «Καὶ οἴδαμεν», φησίν, «ὅτι ὁ Λόγος τοῦ Θεοῦ ἥκει· καὶ ἔδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν Θεὸν καί ἐσμεν ἐν τῷ ἀληθινῷ τῷ Υἱῷ τοῦ Θεοῦ Ἰησοῦ Χριστῷ. Οὗτός ἐστιν ὁ ἀληθι-

---

1. Κολ. 2,9. 2. Α' Τιμ. 3,16. 3. Ἔνθ' ἀν. 4. Λουκ. 2,14. 5. Πρβλ. Ματθ. 4,7. Δευτ. 6,16. 6. Ἰω. 13,13. 7. Ἰω. 20,28.

νὸς Θεὸς καὶ ζωὴ αἰώνιος»[1]. Ἄλλον, φησίν, μὴ ζήτει τῇ οὐσίᾳ Θεὸν ἢ Υἱὸν Θεοῦ. Δὶς γὰρ εἶπόν σοι ἐπὶ αὐτοῦ τὸ ἀληθινόν, ὅτι τε Υἱὸς ἀληθινὸς καὶ Θεὸς ἀληθινός, δεδωκὼς διάνοιαν τοῖς λαβεῖν ἀξίοις· ὥστε ἔχειν εἰδέναι ὡς ἀληθῶς γεγέννηται καὶ ἀληθῶς ἐστι τῷ τεκόντι Θεῷ ὁμοούσιος· Ἰούδας δὲ ὁ εἷς τοὺς δυοκαί[408]δεκα συγγραφείς, μονοκτήτορα ὡρίσατο αὐτόν, ὡς τὴν ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν πατρικὴν διακληρωσάμενον θεότητα, οὑτωσί που τοῖς ἁπανταχοῦ γράψας· «Παρεισέδυσαν γάρ τινες ἄνθρωποι (οἱ πάλαι προγεγραμμένοι εἰς τοῦτο τὸ κρῖμα) ἀσεβεῖς, τὴν τοῦ Θεοῦ ἡμῶν χάριν μετατιθέντες εἰς ἀσέλγειαν καὶ τὸν μόνον Δεσπότην καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι»[2]. Ἀλλὰ καὶ Πέτρος ὁ ἐν ἀποστόλοις κορυφαῖος ἐν ταῖς Πράξεσι φαίνεται εἰπών· «Τὸν Λόγον, ὃν ἀπέστειλεν τοῖς υἱοῖς Ἰσραήλ, εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ, οὗτός ἐστι πάντων Κύριος»[3]. Ποῦ οὖν ἢ πῶς ἢ πότε τοσαύταις ἐναργέσι τε καὶ ἰσοτρόποις καὶ ἀπαραλλάκτοις τοῦ Πατρὸς τετιμημένος χρησμῳδίαις, ἀνόμοιος εἰσκομισθείη;

ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Περὶ τοῦ τὸν Υἱὸν «πᾶν ἀγαθὸν ἀνατέλλειν» καὶ εἶναι «ἥλιον δικαιοσύνης»[4]· καὶ «ἴασιν»· καὶ «θησαυρὸν σοφίας καὶ γνώσεως»· καὶ «φῶς»· καὶ τοὺς πιστεύοντας καὶ μὴ σκανδαλιζομένους εἰς αὐτὸν[5] «υἱοὺς φωτὸς» γίνεσθαι[6].

Οἱ γοῦν περὶ αὐτοῦ ὑμνηκότες διαφόρως ἡμῖν τὴν θεότητα αὐτοῦ, καὶ τὸ τελέως αὐτὸν προεστάναι [409] τῶν οἰκείων ἔργων ἐπιδεικνύντες, διδάσκουσιν, ὅτι αὐτός ἐστι παντὸς ἀγαθοῦ παρεκτικὸς καὶ φῶς ἀγαθοειδὲς καὶ ἀγαθοποιὸν καὶ ἥλιος νοητὸς τῷ ἀφ' ἑαυτοῦ ἀλήκτῳ φωτὶ ἀπολαμπρύνων τὰ ὄμματα τῶν ἀπλανῶν καὶ δεκτικῶν ψυχῶν, καὶ εἴσω τῆς νοητῆς ἄγων περιωπῆς καὶ ποιῶν ὁρᾶν, ἃ μὴ πρότερον δι' ἁμαρτίας ὁρᾶν καθ' αὑτὰ ἐπεφύκει· ἢ καὶ ὅλον τὸν ἄρτιον ἄνθρωπον φωτοειδῆ ποιῶν, ὡς ὁ ἥλιος ἡλιοειδῆ τὰ σώματα τὰ ἐν οἷς παραγίνεται· ἔτι δὲ ὅτι καὶ ἴασις καὶ θησαυρὸς σοφίας καὶ γνώσεως ἀδαπάνητος καὶ πανταρκὴς τυγχάνει. Καὶ οἱ περὶ αὐτὸν εἰλικρινῶς διακείμενοι, ὡς καὶ περὶ τὸν Πατέρα αὐτοῦ, υἱοὶ φωτὸς γίνονται, καθὰ υἱοὶ τοῦ Θεοῦ Πατρός· ὡς ἡνίκα διακηρύττουσιν, Μαλαχίας μέν· «Ἀνατελεῖ ὑμῖν, τοῖς φοβουμένοις τὸ ὄνομά μου, ἥλιος δικαιοσύνης καὶ ἴασις ἐν ταῖς πτέρυξιν αὐτοῦ»[7]. Πέτρος δέ, ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ· «Ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν»[8].

---

1. Α' Ἰω. 5,20. 2. Ἰούδα 4. 3. Πράξ. 10,36. 4. Πρβλ. Μαλ. 3,20. 5. Πρβλ. Ματθ. 11,6. 6. Πρβλ. Ἰω. 12,36. 7. Μαλ. 3,20. 8. Β' Πέτρ. 1,19.

Ἔλεγε δέ, οἶμαι, τὸν ἀπὸ τῆς δευτέρας αὐτοῦ ἐπιφανείας ἀνίσχειν μέλλοντα ταῖς ψυχαῖς φωτισμὸν καὶ πάντα καταφαιδρύνοντα τὰ σκότῳ κεκρατημένα. Καὶ ἑτέρωθι· «Καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν»[1]. Ζαχαρίας δὲ προεφήτευσεν· «Εἴ τι ἀγαθόν, αὐτοῦ· καὶ εἴ τι καλόν, παρ' αὐτοῦ[2] ἔσται». Καὶ Παῦλος, πρὸς μὲν Κολοσσαεῖς περὶ αὐτοῦ ἔφη· «Ἐν ᾧ εἰσιν πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ γνώσεως ἀπόκρυφοι»[3]· πρὸς δὲ Ρωμαίους «Λέγει γάρ», φησίν, «ἡ Γραφή· Πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται[4]· οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου καὶ Ἕλληνος· ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν· πᾶς γάρ, ὃς ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται»[5]. Ποῖον δὲ ὄνομα ἐπικαλοῦνται τοῦ Υἱοῦ, οἱ μηδὲ Θεὸν ἄκτιστον μηδὲ Υἱὸν ὁμοούσιον τῷ Πατρὶ λέγοντες αὐτὸν τὸν καλλίνικον, τὸν Σωτῆρα οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης; Καὶ Ἰωάν**[412]**νης ὁμοίως περὶ αὐτοῦ· «Ὡς τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα υἱοὶ φωτὸς γένησθε»[6]. Μετὰ γὰρ θάνατον, φησίν, μετάνοια οὐκ ἔστιν· ὡς καὶ Δαυΐδ ψάλλει· «Ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι»[7]; Καὶ πάλιν ἀπὸ τοῦ Σωτῆρος· «Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ, ἃ βλέπετε καὶ ἀκούετε· τυφλοὶ ἀναβλέπουσιν, χωλοὶ περιπατοῦσι καὶ νεκροὶ ἐγείρονται καὶ πτωχοὶ εὐαγγελίζονται· καὶ μακάριός ἐστιν ὃς δ' ἂν μὴ σκανδαλισθῇ ἐν ἐμοί»[8]. Τί γὰρ λέξει περὶ τῶν πλανωμένων καὶ τῶν πλανώντων, Ἡσαΐας προεῖπεν· «Λαός μου, οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς, καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν. Ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν Κύριος καὶ στήσει τὸν λαὸν εἰς κρίσιν. Αὐτὸς Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ· ὑμεῖς δὲ τί ἐνεπυρίσατε τὸν ἀμπελῶνά μου»[9]; Ἥξει δὲ αὐτὸς Κύριος εἰς κρίσιν μετὰ τῶν διδασκάλων καὶ ἀρχόντων, οὐχ ὡς αὐτὸς ὑπ' ἄλλου κριθησόμενος, ἀλλ' ὡς ἐλέγξων αὐτούς, καθάπερ διαλαλεῖ ἐν ἄλλῳ μέρει· «Δεῦτε, καὶ διακριθῶμεν, λέγει Κύριος»[10]. Οἷα, φησίν, τὰ ἀπ' ἐμοῦ ὑπῆρξεν ὑμῖν, καὶ οἷα τὰ ἀφ' ὑμῶν γέγονεν εἰς ἐμὲ καὶ τοὺς δούλους μου. Λέγει γὰρ «ἀμπελῶνα» τὸν κόσμον ἢ τὸν λαόν· ὅντινα οἱ μὲν αἱρετικῶν καὶ Ἰουδαίων ἐξηγηταί, διὰ τῆς βλασφήμου διδασκαλίας, ἔνοχον ἐποίησαν τῷ τῆς γεέννης πυρί· οἱ δ' ἄρχοντες, οὐκ οἰκειωσάμενοι τὰ κατ' αὐτόν, ἀποχρησάμενοι δὲ τῇ ἐξουσίᾳ, ποικίλως καὶ διαφόρως ἠδίκησαν. Τοιουτότροπον γὰρ καὶ ἄλλο εἴρηται τῷ αὐτῷ προφήτῃ ἀπὸ τοῦ Δεσποτικοῦ προσώπου· «Τίς ὁ κρινόμενός **[413]** μοι; ἀντιστήτω μοι· καὶ τίς ὁ κρινόμενός μοι; ἐγγισάτω μοι»[11]· ἀντὶ τοῦ· Εἴ τις ἔχει δίκαια λέγειν, ὡς ἔργοις ὠχυρωμένος, ἀντενεχθήτω μοι θέλοντι τοῦτο καὶ πλησιασάτω τοῖς λόγοις. Ἔνιοι δὲ ἀναγινώσκουσι τοιῶσδε· «Τίς ὁ κρινόμενός μοι»[12]; ἀντί· τοῦτ' ἔστι, κατ' ἀντικρὺ καὶ

1. Ἠσ. 60,1. 2. Ζαχ. 9,17. 3. Κολ. 2,3. 4. Ρωμ. 9,33. 5. Ρωμ. 10,12-13. 6. Ἰω. 12,36. 7. Ψαλ. 6,6. 8. Λουκ. 7,22-23. 9. Ἠσ. 3,12-14. 10. Πρβλ. Ἠσ. 1,18. 11. Ἠσ. 50,8. 12. Ἔνθ' ἀν.

πόρρω που στήτω μου, ὡς μὴ ἔχων ἐφόδια καλὰ καὶ διὰ τοῦτο συγκριθῆναί μοι καὶ ἐπιψαῦσαι τοῦ καθαροτάτου βήματος ἀνάξιος. Τοῖς γὰρ ἀξίοις, εἰ τυγχάνοιεν τῶν καλῶν, οὐδεὶς φθόνος· αὐτοῖς γὰρ ἡτοίμασται.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ΄.

Περὶ τοῦ τὸν Υἱὸν τοῦ Θεοῦ εἶναι «κριτὴν ζώντων καὶ νεκρῶν, ἄφεσιν ἁμαρτιῶν παρέχοντα»· καὶ «ὅτι ἐν οὐδενὶ ἄλλῳ ἐστὶν ἡ σωτηρία».

Αὐτὸς γάρ ἐστιν ὁ κριτὴς ζώντων καὶ νεκρῶν, τοῦτ' ἔστιν δικαίων καὶ ἁμαρτωλῶν, ὁ παρέχων ἄφεσιν ἁμαρτιῶν τοῖς πιστεύουσι τῷ ὀνόματι αὐτοῦ καὶ σῴζων ἡμᾶς ἰδίᾳ δόξῃ καὶ δωρεᾷ· καὶ ἐν οὐδενὶ ἄλλῳ ἐστὶ σωτηρία· ἐπείπερ τὴν φύσιν ἐστὶν ἵλεως καὶ Σωτήρ, εἰς οὐδὲν καταδεέστερος τοῦ ἵλεω καὶ σῴζοντος Θεοῦ καὶ Πατρός, ὡς χρησμῳδοῦσιν αἵ τε ἄλλαι Γραφαὶ καὶ μέντοι Μιχαίας λέγων· «Τίς Θεός, ὥσπερ σύ, ἐξαίρων ἀνομίας καὶ ὑπερβαίνων ἀδικίας»[1]; Καὶ Πέτρος ἐν ταῖς Πράξεσιν οὑτωσί· «Καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι, ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν. Τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν»[2]. Ἔχομεν αὐτὸν τοίνυν εὐφημηθέντα, ὡρισμένον ὑπὸ Θεοῦ, διὰ τὴν σωτήριον ἐνανθρώπησιν αὐτοῦ, ἐν ᾗ «ἦλθεν ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός»[3]· δι' ἣν καὶ τὸ «Οὐδὲ γὰρ ὁ Πατὴρ κρίνει οὐδένα· ἀλλὰ πᾶσαν τὴν κρίσιν δέδωκε τῷ Υἱῷ»[4], γέγραπται. Κριτὴν δέ, ὡς ἐξῃρημένον τῶν κτισμάτων. Τὸ γὰρ κτίσμα οὐ κρίνει, ἀλλὰ νόμῳ καὶ κρίσει ὑπόκειται. Καὶ πάλιν· «Οὗτός ἐστιν ὁ λίθος ὁ [416] ἐξουδενωθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδόμων ὁ γενόμενος εἰς κεφαλὴν γωνίας· καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία»[5]. Ἀλλὰ καὶ Καθολικὰ τὸ δεύτερον πέμπει γράμματα, μεταξὺ ἄλλων περὶ αὐτοῦ ἔχοντα καὶ τοῦτο· «Ὡς τὰ πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης, διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς ἰδίᾳ δόξῃ καὶ ἀρετῇ· δι' ὧν τὰ μέγιστα καὶ τίμια ἡμῖν ἐπαγγέλματα δεδώρηται ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως»[6]. Διὸ καὶ Ἰάκωβος ἐν γενικοῖς χαράγμασιν ἔφη· «Εἷς ἐστιν ὁ νομοθέτης, καὶ κριτής, ὁ δυνάμενος σῶσαι καὶ ἀπολέσαι»[7]. Τί δὲ πλήθους δεῖ Γραφῶν εἰς τοῦτο λοιπόν, καὶ Σαμαρειτῶν παρὰ Ἰωάννῃ τῷ ἀκριβεῖ θεηγόρῳ, εὐγνωμόνων ἀνδρῶν, ἀφιέντων φωνάς; «Αὐτοὶ γάρ», φησίν, «ἀκηκόαμεν καὶ οἴδαμεν, ὅτι οὗτός ἐστιν ἀληθῶς ὁ Σωτὴρ τοῦ κόσμου,

---

1. Πρβλ. Μιχ. 7,18. 2. Πράξ. 10,42-43. 3. Πρβλ. Λουκ. 19,10. 4. Ἰω. 5,22. 5. Πράξ. 4,11-12. 6. Β' Πέτρ. 1,3-4. 7. Ἰω. 4,12.

ὁ Χριστός»[1]· ὁ λέγων, φησίν, ἠπίως· «Θάρσει, τέκνον· ἀφέωνταί σοι αἱ ἁμαρτίαι»[2].

ΚΕΦΑΛΑΙΟΝ Λ'.

Περὶ τοῦ διὰ τὴν ἰσοτιμίαν τῆς Τριάδος «τὸν Πατέρα ἀποκαλύπτειν ἡμῖν τὸν Υἱὸν» καὶ «ἕλκειν ἡμᾶς πρὸς αὐτόν»· καὶ πάλιν αὐτὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα «προσάγειν ἡμᾶς τῷ Πατρί». Ἐν ταυτῷ καὶ περὶ τῆς ὁμολογίας Πέτρου· καὶ ὅτι ἔστι μετάνοια.

Ἵνα γὰρ δι' ὅλων ἀποδειχθῇ τῆς μακαρίας Τριάδος τὸ περὶ πάντα ἰσότιμον, ἀποκαλύπτει ἡμῖν τὸν ἴδιον Υἱὸν ὁ Πατήρ, καὶ ἕλκει ἡμᾶς δι' ἑαυτοῦ πρὸς αὐτόν, καὶ μεθιστᾷ εἰς τὴν βασιλείαν αὐτοῦ· καὶ πάλιν ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα προσάγει ἡμᾶς τῷ Θεῷ καὶ Πατρί· οὐκ ἂν γὰρ εἰς ἑτεροούσιον ἢ μείζονα οὐδ' εἰς ὑποκατερχόμενα, ὥσπερ σκῆπτρα, τῶν ἑαυτοῦ μετέθηκεν ἡμᾶς ὁ Θεός. Τετελείωκεν γοῦν τὴν Παλαιὰν Διαθήκην ἡ Νέα, διὰ τὴν εἰς τὸν Υἱὸν καὶ τὸ θεῖον Πνεῦμα πίστιν. Λέγουσι δὲ ὧδε, ὁ μὲν Θεὸς Πατὴρ ἐν Ἡσαΐᾳ πρὸς τὸν Υἱόν· «Ἰδοὺ προσήλυτοι προσελεύσονταί σοι δι' ἐμοῦ καὶ παροικήσουσί σοι, καὶ ἐπὶ σοὶ καταφεύξονται»[3]· ὁ δὲ Υἱὸς ἐν Ἰωάννῃ· «Οὐδεὶς δύναται ἐλθεῖν πρός με, ἐὰν μὴ ὁ Πατὴρ ὁ οὐράνιος ἑλκύσῃ αὐτόν· κἀγὼ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ»[4]. Καὶ πάλιν πρὸς τὸν Πέτρον εἰπόντα «Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος»[5] ἔφη· «Μακάριος εἶ, Πέτρε βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐ**[417]**ρανοῖς. Κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος καὶ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν, καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς· καὶ δώσω σοι τὰς κλεῖς τῶν οὐρανῶν· καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς οὐρανοῖς· καὶ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρανοῖς»[6]. Ὢ πόσα δύναται πίστις! Καὶ τὸ ὁμολογῆσαι Υἱὸν ἀληθινὸν εἶναι τοῦ Θεοῦ καὶ μὴ κτίσμα τὸν μονογενῆ Θεὸν Λόγον. Οὐκ ἐδίστασε Πέτρος σαρκὶ καὶ αἵματι Θεὸν ἐπὶ γῆς ἐμφιλοχωροῦντα ὁρῶν· τοῦτο γάρ ἐστιν, ὅτι «Σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι»[7]. Ἐπέγνω δὲ τὸν συμφυᾶ καὶ συναΐδιον κλάδον τοῦ Θεοῦ· ἐτίμησεν ἐν τούτῳ τὴν ἀποκαλύψασαν αὐτῷ αὐτογενῆ καὶ ἄναρχον ῥίζαν· ἐπίστευσεν αὐτοῦ τῇ πρὸς τὸν Πατέρα τῆς θεότητος ἑνότητι· ἐμακαρίσθη ὑπὸ τοῦ μόνου μακαρίου Δεσπότου· ᾠκοδομήθησαν ἐπὶ τὴν πέτραν ταύτην αἱ Ἐκκλησίαι, ὧν-

---

1. Ἰω. 4,42. 2. Ματθ. 9,2. 3. Ἡσ. 54,15. 4. Ἰω. 6,44. 5. Ματθ. 16,16. 6. Ματθ. 16,17-20. 7. Ματθ. 16,17.

τινων πύλαι ᾅδου, τοῦτ' ἔστιν αἱρετικῶν συλλογισμοί, οὐ περιγένωνται· ἐνεχειρίσθη τὰς κλεῖς τῶν οὐρανῶν· ἵνα τοῖς μὲν πιστεύουσιν (ὡς αὐτὸς Πέτρος ἀρτίως ἀποκρινάμενος φαίνεται καὶ ὡς παρὰ τοῦ Χριστοῦ σὺν τοῖς ἄλλοις ἤκουσεν ἀποστόλοις), βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος[1], ἀνοίξῃ ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ· τοῖς δὲ μὴ οὕτω δοξάζουσιν, τὴν τρισμακαρίαν καὶ εὐκταιοτάτην εἴσοδον ἀποκλείσῃ. Αὐτῷ γὰρ τούτῳ, ᾧ ἐμακαρίσθη, αὐτὸς ἐπὶ τῇδε τῇ δόξῃ ἐδέχθη, ὡς οἱ ἀπεναντίως λέγοντες, κατεψέχθησάν τε καὶ ἀπεβλήθησαν. Ἀληθεύσας δὴ οὖν, Υἱὸν τοῦ Θεοῦ διωμολογηκὼς αὐτόν, τοῦτ' ἔστιν γνήσιον καὶ ὁμοούσιον, παραπλήσια ἤκουσεν, «Βὰρ Ἰωνᾶ», ὃ ἑρμηνεύεται, υἱὲ Ἰωνᾶ. Οὐκ ἦν δὲ πάντως ἑτεροούσιος τῷ τεκόντι αὐτὸν ὁ Πέτρος. Πρὸς τούτοις ἔλαβεν ἐξουσίαν, μᾶλλον δὲ καὶ πάντες δι' αὐτοῦ μὴ ἀπαγορεύειν τοῖς πταίουσιν, ἀλλὰ δέχεσθαι μετανοοῦντας. Οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ ὁ ταύτην ἐπιτρέψας, τῷ Πέτρῳ τὴν αὐθεντίαν· τοῦτο γάρ ἐστιν· «Ὃ ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς οὐρα**[420]**νοῖς»[2]. Ἔρριψεν ἔκτοτε τὴν Ναυάτου καὶ Σαββατίου ἀπανθρωπίαν. Τοῖς προκειμένοις δὲ αὖ ἕπεται καὶ Παῦλος Γαλάταις γράφων· «Ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί»[3]· καὶ Κολοσσαεῦσιν· «Εὐχαριστοῦντες τῷ Πατρί, τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί· ὃς ἐρρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ· ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, τὴν ἄφεσιν τῶν ἁμαρτιῶν»[4]· καὶ Κοριν**[421]**θίοις· «Πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν»[5]· καὶ Ἐφεσίοις· «Καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν καὶ εἰρήνην τοῖς ἐγγύς· ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι, ἐν ἑνὶ Πνεύματι, πρὸς τὸν Πατέρα»[6].

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Περὶ τοῦ μὴ εἶναι τέλος τῆς βασιλείας τοῦ Μονογενοῦς.

Καὶ ὥστε αἱρετικοὺς λέγοντας, ὅτι μετὰ τὴν γενικὴν ἀνάστασιν ὁ Υἱὸς παραδιδόναι μέλλει τὴν βασιλείαν τῷ Πατρί, καταισχύνεσθαι, κηρύττουσι τὸ κράτος τοῦ Υἱοῦ εἶναι ἀτελεύτητον οὑτωσί· Γαβριὴλ μὲν παρὰ Λουκᾷ εὐαγγελιζόμενος τὴν Θεοτόκον· «Καὶ δώσει», φησίν, «αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαυῒδ τοῦ Πατρὸς αὐτοῦ· καὶ βασιλεύσει ἐπὶ

1. Ματθ. 28,19. 2. Ματθ. 16,19. 3. Γαλ. 1,15-16. 4. Κολ. 1,12-14. 5. Α' Κορ. 1,9. 6. Ἐφ. 2,17-18.

τὸν οἶκον Ἰσραὴλ εἰς τοὺς αἰῶνας καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος»[1]. Καὶ μάλα ἀληθῶς· εἰ γὰρ ἀποκαθίστησιν, ἐν ποίᾳ αὐτοῦ βασιλείᾳ, καὶ πότε συμβασιλεύσομεν αὐτῷ; Παῦλος δὲ γράφων, πρὸς Ἐφεσίους μέν· «Πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν **[424]** τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ Θεοῦ»[2]· πάντως δὲ λέγει τὴν μετὰ τὴν ἀνάστασιν. Πότε οὖν λοιπόν, κατ' ἐκείνους, παραδίδωσι τὴν βασιλείαν; Πρὸς δὲ Τιμόθεον ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ· «Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ Χριστοῦ Ἰησοῦ τοῦ μέλλοντος κρίνειν ζῶντας καὶ νεκρούς· καὶ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν βασιλείαν αὐτοῦ κήρυξον τὸν Λόγον»[3]. Σαφὲς δέ, ὅτι βασιλείαν λέγει, ἣν ἔχει ἀδιαίρετον καὶ ἀδιάδοχον μετὰ τοῦ Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν τε καὶ εἰς τὸν μέλλοντα αἰῶνα. Πρὸς δὲ Ἑβραίους· «Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν Υἱόν· Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»[4]. Δαυῒδ δὲ ἐν μδ' ψαλμῷ· «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος, ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέ σε, Θεέ, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου»[5]. Ἄθρει καὶ αὖθις τὴν βασιλείαν αὐτοῦ ἀπέραντον καὶ τὴν θεότητα ἄναρχον. Διὰ δὲ τὴν ἄρρητον αὐτοῦ ἐνανθρώπησιν ἐπήγαγε τό· «Ὁ Θεός σου». Καὶ ἐν ρμδ'· «Ἡ βασιλεία σου, βασιλεία πάντων τῶν αἰώνων· καὶ ἡ δεσποτεία σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ»[6]. Καὶ ἐν τῷ ι' ψαλμῷ· «Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»[7]. Καὶ Πέτρῳ δὲ ὁ Υἱὸς τὰς κλεῖς ὡς Κύριος δέδωκε τῆς βασιλείας (οὐ τοῦ νῦν αἰῶνος, οὔπω γὰρ τυγχάνομεν αὐτῆς, ἀλλὰ τοῦ μέλλοντος, ἐν ᾧ καὶ παραδιδόναι αὐτὸν τεκμαίρονται αἱρετικοί), ἐπὶ τὸ εἰσδεχθῆναι μὲν τοὺς ἄναρχον αὐτοῦ καὶ ἀπέραντον τὴν βασιλείαν εἶναι πιστεύοντας, ἀπωσθῆναι δέ, ὡς μικρῷ πρόσθεν εἴρηται, τοὺς μὴ κράζοντας κατὰ τὸν Ναθαναήλ· «Σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ Βασιλεὺς τῶν Χριστιανῶν»[8]. Καὶ τὴν προφητείαν δὲ Ἡσαΐου, τὴν λέγουσαν· «Τὸν Βασιλέα Κύριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου»[9], Παῦλος μὲν τῷ Πνεύματι τοῦ Θεοῦ ἀνέθηκεν, Ἰωάννης δὲ τῷ Μονο**[425]**γενεῖ, ὡς προείρηται, διὰ τὸ ἐπίκοινον τῆς θεότητος καὶ τῆς ἀδιαδόχου μιᾶς βασιλείας. Πῶς γὰρ καὶ ἐγχωρεῖ, τὸν μὲν ἄρχειν, τὸν δέ, ὡς ἐν ἀνθρώποις, σχολαῖον εἶναι, ὅταν ὁ Πατὴρ ἐν τῷ Υἱῷ καὶ ὁ Υἱὸς ἐν τῷ Πατρὶ μένει, καὶ ὁπότε τὸ Πνεῦμα ἐκπορεύεται παρὰ τοῦ Πατρὸς καὶ μένει παρὰ τῷ Υἱῷ θεϊκῶς;

---

1. Λουκ. 1,32-33. 2. Ἐφ. 5,5. 3. Β' Τιμ. 4,1-2. 4. Ἑβρ. 1,7-8. 5. Ψαλ. 44,7-8. 6. Ψαλ. 144,13. 7. Ψαλ. 9,37. 8. Πρβλ. Ἰω. 1,49. 9. Ἡσ. 6,5.

ΚΕΦΑΛΑΙΟΝ ΛΒʹ.

Περὶ δοξολογίας αὐτοῦ τοῦ Υἱοῦ τοῦ Θεοῦ.

Τοιγαροῦν καὶ περὶ τῆς δόξης αὐτοῦ θέα, οἷα καὶ αὖθις μαρτυροῦσιν οἱ ἅγιοι, «ὧν», φησιν, «ὁ κόσμος οὐκ ἦν ἄξιος»[1]· διδάσκοντες ἡμᾶς τοὺς χάριτι ἐπὶ τῆς γῆς κληθέντας υἱούς, τὸν ἐκ τῆς ὑποστάσεως τοῦ Πατρὸς μονογενῆ Υἱὸν ἐν ἴσῃ, καθάπερ αὐτόν, δοξάζειν δόξῃ, καὶ ἀποβλέπειν εἰς τὴν δόξαν ἣν εἶχεν πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ τῷ Πατρὶ τῷ μὴ φθονοῦντι τῷ Ἀγαπητῷ· βασκανίας γὰρ καὶ παντὸς πάθους τὸ Θεῖον ἐλεύθερον. Δαυῒδ ἐν οαʹ ψαλμῷ, ὃν ὁμολογουμένως περὶ τοῦ Χριστοῦ προεφήτευσεν, «Ἔσται», φησίν, «τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας· πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ»[2] καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν· «καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν»[3]. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ· γένοιτο[4]. Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ», εἶπεν, ἀντὶ τοῦ, δοξαζόμενος ἢ αἰνούμενος. Ὁ γὰρ Θεὸς εὐλογεῖται μὲν ὑπὸ τῶν ἔργων αὐτοῦ, τοῦτ' ἔστιν δοξάζεται· εὐλογεῖ δὲ αὐτὸς τὰ οἰκεῖα κτίσματα, τοῦτ' ἔστιν ἁγιάζει. Ἐπισημαντέον δέ, ὡς καὶ Θεὸς Ἰσραήλ, ὅ ἐστι Θεὸς τῶν πατέρων, καθὰ ὁ Πατὴρ αὐτοῦ ἀνείρηται. Καὶ ἐν πεʹ ψαλμῷ τὸ παγκρατορικὸν καὶ παντοδύναμον τοῦ Μονογενοῦς, καὶ ὡς ὀφείλει δοξάζεσθαι παριστῶν, ψάλλει· «Πάντα τὰ ἔθνη, ὅσα ἐποίησας, ἥξουσιν, καὶ προσκυνήσουσιν ἐνώπιόν σου, Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου, ὅτι μέγας εἶ σύ, καὶ ποιῶν θαυμάσια· σὺ εἶ ὁ Θεὸς μόνος»[5]· καὶ ἐν ιηʹ· «Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ»[6]. Πῶς; Τῷ δεικνύναι ἀπὸ τῆς δοθείσης αὐτοῖς μεγαλειότητος καὶ ὡραιότητος, ἀνυπέρβλητον καὶ δοξαζόμενον τὸν δημιουργήσαντα, ὅς ἐστιν ὁ Θεὸς Λόγος. «Τῷ» γὰρ «Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαι αἱ δυνάμεις αὐτῶν»[7]. Οὔτε οὖν τὴν τῶν **[428]** ἀψύχων αἰσχύνονται περὶ τῆς δόξης τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος μαρτυρίαν. Καὶ ἐν κγʹ· «Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καὶ ἐπάρθητε πύλαι αἰώνιοι καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης»[8]. Παρακελεύεται τῇ μὲν κάτω κτίσει, ἆραι τὰς πύλας ἐν τῇ ἐνανθρωπήσει αὐτοῦ· τῇ δὲ ἄνω, ἐν τῇ ἀναλήψει. Καὶ ἐν ριςʹ· «Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη καὶ ἐπαινεσάτωσαν αὐτὸν πάντες οἱ λαοί»[9]. Ἡσαΐας δέ· «Βασιλέα μετὰ δόξης ὄψεσθε»[10]. Ἐζεκιὴλ δέ· «Εὐλογημένη ἡ δόξα Κυρίου ἐκ τοῦ τόπου

---

1. Πρβλ. Ἑβρ. 11,38. 2. Ψαλ. 71,17. 3. Ἔνθ' ἀν. 4. Ψαλ. 71,18-19. 5. Ψαλ. 85,9-10. 6. Ψαλ. 18,2. 7. Πρβλ. Ψαλ. 32,6. 8. Ψαλ. 23,7. 9. Ψαλ. 116,1. 10. Ἡσ. 33,17.

αὐτοῦ»[1]· καί, «Αὕτη ἡ ὅρασις, ὁμοίωμα δόξης Κυρίου»[2]. Εἶτα Παῦλος· «Φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν· καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ, ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου»[3]· καὶ πάλιν Ῥωμαίοις· «Διὸ παρέδωκεν αὐτοὺς ἐν ταῖς ἐπιθυμίαις τῶν καρδιῶν αὐτῶν εἰς ἀκαθαρσίαν τοῦ ἀτιμάζεσθαι τὰ σώματα αὐτῶν ἐν ἑαυτοῖς· οἵτινες μετήλλαξαν τὴν δόξαν τοῦ Θεοῦ ἐν τῷ ψεύδει· καὶ ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ὅς ἐστιν εὐλογημένος εἰς τοὺς αἰῶνας. Ἀμήν»[4]. Τίς δὲ ὁ πάντων δημιουργός, ὃν εἶναι λέγει εὐλογητὸν εἰς τοὺς αἰῶνας, εἰ μὴ ὁ Μονογενής; τίνες δὲ οἱ ἀλλάξαντες τὴν δόξαν αὐτοῦ; Οἱ λέγοντες· «Δόξα Πατρὶ δι' Υἱοῦ ἐν Ἁγίῳ Πνεύματι»· οἱ καὶ κτίσμα αὐτὸν εἶναι καὶ οὐδὲ βασιλέα αἰώνιον δοξάζοντες. Εἶτα τοῖς αὐτοῖς φησιν· «Εἰς τὸ εἶναι αὐτοὺς ἀναπολογήτους· διότι γνόντες Θεόν, οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν· ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία»[5]. Ποῖος δὲ ὁ γνωσθεὶς Θεὸς καὶ μὴ ἐπιγνωσθεὶς παρὰ αἱρετικῶν καὶ Ἰουδαίων καὶ Ἑλλήνων εἰ μὴ ὁ ἐπιφανεὶς σαρκὶ Θεὸς Λόγος; Καὶ Κορινθίοις δὲ ἐν τοῖς πρώτοις γράμμασι, Κύριον δόξης κατὰ φύσιν εἶναι δεικνὺς αὐτὸν ἐπιστέλλει οὕτως· «Εἰ γὰρ ἤδεσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν»[6]· καὶ ἑτέρωθι· «Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψῃ καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός»[7]· ἀντὶ τοῦ Ἐν αὐτῇ τῇ πατρικῇ δόξῃ ὑπάρχει. Καὶ ἔτι· «Τὸν γὰρ ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον»[8]. Ὑστεροπρώτως εἴρηται. Φησὶ γάρ· Τὸν δοκοῦντά τισιν διὰ τὸ πάθημα τοῦ θανάτου **[429]** ἠλαττῶσθαι Ἰησοῦν, βλέπομεν δόξῃ καὶ τιμῇ ἐστεφανωμένον. Ἀλλὰ καὶ δόξαν αὐτὸν καλεῖ, ἅτε φυσικῶς ἀπαύγασμα ὄντα τῆς πατρικῆς δόξης, δι' ὧν γράφει· «Ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης»[9]. Θεὸν δὲ εἶπε τῆς ἀρρήτου σαρκώσεως, Πατέρα δὲ τῆς ἀνάρχου γεννήσεως. Καὶ πάλιν Ἰωάννης («Ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός) πλήρης χάριτος καὶ ἀληθείας»[10]. Καὶ πάλιν παρὰ Μάρκῳ μὲν ἀπὸ τοῦ Σωτῆρος· «Ὅταν ἔλθῃ ὁ Υἱὸς ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ»[11]· παριστῶν, ὡς ἡ αὐτοῦ δόξα, ἰσότιμος τῆς δόξης ἐστὶν τοῦ Πατρός· παρὰ δὲ Ματθαίῳ· «Ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ καὶ πάντες οἱ ἄγγελοι αὐτοῦ μετ' αὐτοῦ»[12]. Καὶ αὖθις γοῦν Ἰωάννης, συνιστῶν τὸ ἐν δόξῃ εἶναι αὐτόν, καὶ παρὰ πάντων δόξαν ὀφείλεσθαι αὐτῷ, εἶπεν· «Τοσαῦτα δὲ σημεῖα πεποιηκότος τοῦ Ἰησοῦ, οὐκ ἐπίστευσαν εἰς αὐτὸν οἱ Ἰουδαῖοι· ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου[13]· Ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε»[14].

---

1. Ἰεζ. 3,12. 2. Πρβλ. Ἰεζ. 1,28. 3. Ρωμ. 1,23. 4. Πρβλ. Ρωμ. 1,24-25. 5. Ρωμ. 1,20-21. 6. Πρβλ. Α' Κορ. 2,8. 7. Φιλιπ. 2,10-11. 8. Ἑβρ. 2,9. 9. Ἐφ. 1,17. 10. Ἰω. 1,14. 11. Πρβλ. Μάρκ. 8,38. 12. Ματθ. 25,31. 13. Πρβλ. Ἰω. 12,37-38. 14. Ἡσ. 6,9. Ματθ. 13,14.

Καὶ μεταξὺ ἐπάγει· «Ταῦτα δὲ εἶπεν, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ καὶ ἐλάλησεν περὶ αὐτοῦ»[1]. Καὶ Πέτρος δέ, ἐν μὲν τῇ πρώτῃ Ἐπιστολῇ· «Καθ' ὃ κοινωνεῖτε τοῖς τοῦ Χριστοῦ παθήμασιν, χαίρετε, ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι»[2]· ἐν δὲ τῇ δευτέρᾳ· «Ὡς τὰ πάντα ἡμῖν τῆς θείας δυνάμεως αὐτοῦ, τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης, διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς ἰδίᾳ δόξῃ καὶ ἀρετῇ»[3]· ἀντὶ τοῦ Ἡ δόξα τοῦ Μονογενοῦς, ἡ τῆς φύσεως, ἡ τῶν θαυμάτων, ἡ τῆς βασιλείας καὶ αὐτῆς τῆς δοξολογίας, ὁμοία ἐστὶ καὶ ἴση τῆς δόξης τοῦ Πατρός, παρ' οὗ φυσικῶς καὶ ἀδιαστάτως γεγέννηται καὶ ὅλα ἐν ἑαυτῷ ἔχει ὡς Μονογενής. Ὥστε καὶ γενόμενον σάρκα μηδεμίαν τροπὴν ἢ μείωσιν ὑπομεῖναι. Οὕτω καὶ οἱ τρεῖς παῖδες, οὐ τῇ Βαβυλωνίᾳ φλογί, ἀλλὰ τῷ περὶ τὸν κτίστην καὶ εὐεργέτην πυρακτούμενοι πόθῳ, καὶ οὐ μᾶλλον τὴν περιβάλλουσαν αὐτοὺς κάμινον τῆς ἡτοιμασμένης τοῖς κτιστολάτραις γεέννης προσέχοντες, ὑπέβαλλον τῇ κτίσει δοξολογεῖν τὸν φανέντα σὺν αὐτοῖς ἐν τῇ καμίνῳ· περὶ οὗ γέγραπται· «Ἡ δὲ ὅρασις τοῦ τετάρτου ὁμοία Υἱῷ Θεοῦ[4]· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν **[432]** Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας»[5]. Ἀχθομένων δέ, φησίν, καὶ τῶν Κυριοκτόνων πρὸς τὰ παιδία καὶ τοὺς ὄχλους, ὅτι ὡς Θεὸν τὸν Ἰησοῦν δοξάζοντες[6] ἔλεγον «Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου»[7], ὑπέμνησεν αὐτοὺς τῆς λεγούσης Γραφῆς· «Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον»[8]· ἑαυτῷ ἁρμόσας τὸ ῥητὸν τοῦτο καὶ δείξας μὴ ἀνοικείως προσάγεσθαι αὐτῷ δόξαν. Καὶ ἄγγελοι δέ, φησίν, ἔλεγον τεχθέντος αὐτοῦ· «Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη»[9].

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'.

Περὶ προσκυνήσεως. Ἀνακεφαλαίωσις.

Εἴδομεν τοίνυν αὐτὸν δοξαζόμενον, εἴδομεν αὐτὸν καὶ προσκυνούμενον· ἀμφότερα δὲ Θεῷ ἐστιν πρέποντα καὶ ὀφειλόμενα, οὐχὶ δὲ κτίσματι, καθὰ γράφουσιν οἱ ὑποτεταγμένοι ἅγιοι· Δαυῒδ ἐν ϟδ' ψαλμῷ· «Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ καὶ κλαύσωμεν ἐναντίον Κυρίου, τοῦ ποιήσαντος ἡμᾶς, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ καὶ πρόβατα χειρὸς αὐτοῦ»[10]· καὶ ἐν κα'· «Μνησθήσονται, καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς· καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν· ὅτι τοῦ Κυρίου ἡ βασιλεία καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν»[11]. Τί

1. Ἰω. 12,41. 2. Α' Πέτρ. 4,13. 3. Β' Πέτρ. 1,3. 4. Δαν. (Θδτ.) 3,92. 5. Δαν. (Θδτ.) 3,57. 6. Πρβλ. Ματθ. 21,15. 7. Πρβλ. Ματθ. 21,9. 8. Ψαλ. 8,3. 9. Λουκ. 2,14. 10. Ψαλ. 94,6-7. 11. Ψαλ. 21,28-29.

ἐροῦσιν ἄρα οἱ ἀπονέμοντες ὄνομα κεχωρισμένως, τῷ μὲν Πατρὶ τὸ «Θεός», τῷ δὲ Υἱῷ τὸ «Κύριος», ἐπαΐοντες ἐνθάδε τὸν Κύριον προσκυνεῖσθαι καὶ δεσπόζειν καὶ αὐτοῦ εἶναι τὴν βασιλείαν; Καὶ πάλιν ἐν θ' ψαλμῷ· «Καὶ προσκυνήσω σε, Κύριε, ἡ ἰσχύς μου»[1]· καὶ ἐν ρλα'· «Προσκυνή**[433]**σωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ»[2]. Παῦλος ἐκ τῆς ᾠδῆς τοῦ Δευτερονομίου γράφων· «Ὅταν δὲ εἰσαγάγῃ τὸν Πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ»[3]. Καὶ ὁ εὐαγγελιστής· «Εἶπον», φησίν, «οἱ μάγοι· Εἴδομεν αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ»[4]· καὶ πάλιν· «Ἰδού», φησίν, «λεπρὸς ἦλθεν καὶ προσεκύνει αὐτῷ»[5]· καὶ πάλιν παρὰ Ματθαίῳ φησίν· «Ἐκόπασεν ὁ ἄνεμος· οἱ δὲ ἐν τῷ πλοίῳ προσεκύνησαν αὐτῷ λέγοντες· Ἀληθῶς Θεοῦ Υἱὸς εἶ»[6]. Καὶ οὐ καθ' ἡμᾶς, φησίν, τοὺς ἀφθόνῳ δωρεᾷ ἐπικληθέντας υἱούς. Καὶ «Ἄρχων τις προσεκύνει αὐτῷ»[7]. Καὶ μετὰ τὴν ἀνάστασιν αὐτοῦ ἐν τῷ ὄρει, φησίν «Οἱ ἀπόστολοι ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ»[8].

ΚΕΦΑΛΑΙΟΝ ΛΔ'.

Περὶ τῆς πρὸς τὸν Θεὸν Πατέρα πίστεως.

Καθὰ τοίνυν τῆς Γραφῆς μείζονα ἢ περὶ τοῦ Πατρὸς κατὰ τὸ φαινόμενον λεγούσης πολλὰ περὶ τοῦ Υἱοῦ καὶ δηλούσης αὐτὸν παντοκράτορα καὶ ποιητὴν τῶν αἰώνων[9] καὶ πάντων δημιουργόν[10]· καὶ ἀληθινὸν Θεὸν[11] καὶ οὐκ ἔχοντα πρὸ αὐτοῦ Θεόν· καὶ ἐπάνω πάντων καὶ μέγαν καὶ ἐπὶ πάντων Θεόν[12], πρὸς ὃν οὐ λογισθήσεται ἕτερος[13]· καὶ ἐκ δεξιῶν συγκαθεζόμενον τῷ Πατρὶ[14] καὶ εἰς τὸν κόλπον αὐτοῦ ὄντα[15]· καὶ αὐτὸν εἶναι τὴν αἰώνιον ζωὴν[16] καὶ φῶς τὸ ἀληθινὸν[17] καὶ πάντων Κύριον[18] καὶ μόνον Δεσπότην[19] καὶ ἐξουσιαστήν· οὗτινος ἡ μὲν εἰρήνη οὐκ ἔχει ὅριον[20], ἀλλὰ καὶ ὑπερέχει πάντα νοῦν[21] ἡ δὲ βασιλεία ἀτελεύτητος[22]· καὶ ἐν μηδενὶ ἄλλῳ εἶναι τὴν σωτηρίαν[23]· καὶ τὸν Πατέρα ἕλκειν πρὸς τὸν Υἱὸν τοὺς ἀξίους[24]· κατ' οὐδὲν ὑποδεέστερος (μὴ γένοιτο!) νομίζεται ὁ Πατὴρ ἢ τὸ Πνεῦμα αὐτοῦ· τὸν ἴσον τρόπον θεολογούσης περὶ τοῦ Πατρὸς ὑψηλὰ οὐκ ὀφείλει ὡς μικρότερος ἢ ἀνόμοιος λογίζεσθαι ὁ Μονογενὴς ἢ τὸ Ἅγιον Πνεῦμα. Οὐδεμιᾶς γὰρ κτιστῆς δυνάμεώς ἐστιν, μόνης δὲ τῆς ἀκτίστου, τά τε μνημονευθέντα,

1. Πρβλ. Ψαλ. 17,2. 2. Ψαλ. 131,7. 3. Ἑβρ. 1,6. Πρβλ. Δευτ. 32,43. 4. Ματθ. 2,2. 5. Πρβλ. Ματθ. 8,2. 6. Ματθ. 14,32-33. 7. Ματθ. 9,18. 8. Πρβλ. Ματθ. 28,17. 9. Πρβλ. Ἑβρ. 1,2. 10. Πρβλ. Κολ. 1,16. 11. Πρβλ. Α' Ἰω. 5,20. 12. Πρβλ. Ἐφ. 4,6. 13. Πρβλ. Βαρ. 3,36. 14. Πρβλ. Μάρκ. 16,19 Ψαλ. 109,1. 15. Πρβλ. Ἰω. 1,18. 16. Πρβλ. Ἰω. 6,54. 10,28. 17. Ἰω. 1,9. 18. Πρβλ. Ρωμ. 10,12. 19. Ἰούδα 4. 20. Πρβλ. Ἠσ. 9,6. 21. Πρβλ. Φιλιπ. 4,7. 22. Πρβλ. Β' Πέτρ. 1,11. 23. Πρβλ. Πράξ. 4,12. 24. Πρβλ. Ἰω. 6,44.

καὶ τὸ δημιουργεῖν οὐσίαν ἐξ οὐκ ὄντων καὶ λογικήν· ζωοποιεῖν τε· ἁμαρτίας τε συγχωρεῖν· καὶ τὴν κτίσιν ἰδίαν λέγειν[1]· καὶ ἐκ τῶν ἴσων γινώσκειν τὸν Πατέρα, ὡς γινώσκεται ὑπ' αὐτοῦ[2]· καὶ ἰσουργεῖν τῷ Θεῷ Πατρί[3]· καὶ εἶναι ἐν τῷ Πατρὶ καὶ τὸν Πατέρα ἐν αὐτῷ[4] ἐξ ἴσου· ὑπὸ ἀγγέλων τε ὑπηρετεῖσθαι[5]· καὶ τὸ ἔτι τούτων ὑπερτεροῦν τὸν μονογενῆ Υἱὸν καὶ Θεὸν καὶ φῶς ἐκ φωτὸς καὶ ζωὴν αἰώνιον[6] καὶ ἀλήθειαν[7] καὶ Σωτῆρα μαρτυρεῖσθαι[8]· καὶ πανταχοῦ παρεῖναι καὶ πάντα ἐν αὐτῷ ἐστηρίχθαι· βασιλείαν τε οὐρανῶν καὶ τὴν θεϊκὴν εἰρήνην, ὡς αὐτοῦ τυγχάνουσαν, ἀβασκάνως πᾶσιν δωρεῖσθαι· καὶ τοῖς πιστεύουσιν ἐπικαλουμένοις αὐτὸν τὴν ἐπὶ τῇ διηνεκεῖ σωτηρίᾳ παρέχειν ἀσφάλειαν. Οἱ γὰρ κτίσμα καὶ οὐκ ἄναρχον, καλοῦντες τὸν ἀληθινὸν Υἱὸν Θεὸν **[436]** καὶ τὸ Ἅγιον καὶ ζωοποιὸν Πνεῦμα, οὐ πιστεύουσιν εἰς τὰς ὑποστάσεις ταύτας, κἂν λέγωσι πιστεύειν· τάχα δὲ οὐδὲ εἰς τὸν Πατέρα. Παραβαίνουσι γὰρ τὴν ἐντολὴν τοῦτο μὲν τοῦ παραγγέλλοντος Πατρός· «Ἄκουσον, λαός μου καὶ λαλήσω σοι, Ἰσραήλ, καὶ διαμαρτυροῦμαί σοι. Ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις θεῷ ἀλλοτρίῳ»[9]· ἀντὶ τοῦ, οὐκ ὄντι ποτὲ ἢ ἑτερουσίῳ. Καὶ «Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις»[10]· καὶ «Οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι, πλὴν ἐμοῦ»[11]· καὶ «Ἐπικατάρατος πᾶς, ὃς ἔχει τὴν ἐλπίδα ἐπ' ἄνθρωπον»[12]· τοῦτ' ἔστιν, ἐπὶ ποίημα. Τοῦτο δὲ τοῦ λέγοντος Υἱοῦ, ἐν Ματθαίῳ μέν· «Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν»[13]· τοῦτ' ἔστιν, δύο φύσεσιν ἢ δεσποτείαις· ἐν Παύλῳ δὲ Ῥωμαίοις ἐπιστέλλοντι· «Ἐσεβάσθησαν καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα»[14]. Τοῦτο δὲ τοῦ νομοθετήσαντος Μωϋσέως· «Ὁ θυσιάζων θεοῖς ἀλλοτρίοις λιθοβοληθήσεται, πλὴν Κυρίῳ μόνῳ»[15]. Πρόσφατος δὲ καὶ ἀλλότριος Θεός, ὁ μὴ ὁμοούσιος τῷ Θεῷ καὶ Πατρὶ ὤν, καί ποτε μὴ ὑπάρξας. Καὶ οἱ λέγοντες, «Δόξα Πατρὶ δι' Υἱοῦ ἐν Ἁγίῳ Πνεύματι», οὐ δοξάζουσι τὸν Υἱὸν ἢ τὸ Πνεῦμα τοῦ Θεοῦ. Ἄλλῳ γὰρ δι' ἄλλου ἐν ἄλλῳ ἀναπέμπουσι τὴν δόξαν, μᾶλλον δὲ οὐδ' ὁποτέρῳ· καὶ παρατιτρώσκουσι τοῦτο μὲν τὸ θέλημα τοῦ Πατρὸς (λέγοντος· «Τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω»[16]· ἀντὶ τοῦ, Ἑτεροφυεῖ οὐ δώσω, βουλομένου δὲ τιμᾶσθαι τὸν Υἱὸν ὁμοίως αὐτοῦ), τοῦτο δὲ καὶ τὴν παράδοσιν τοῦ Υἱοῦ· ὅμοια πάσχοντες τῶν Χριστὸν μὲν αὐτὸν τῷ στόματι καλούντων, ταῖς δὲ χερσὶ τυπτόντων καὶ κραζόντων· «Προφήτευσον ἡμῖν, Χριστέ, τίς ἐστιν ὁ παίσας σε»[17]· τῶν καὶ λεγόντων οὕτως· «Πιστεύομεν ὡς Μωϋσῆς καὶ οἱ προφῆται»[18]· αὐτὸν δὲ τὸν προφητευθέντα σταυρωσάντων. Ὅτε οὖν καὶ ὁ Θεὸς Πα-

---

1. Πρβλ. Κολ. 1,16. 2. Πρβλ. Ἰω. 10,15. 3. Πρβλ. Ἰω. 10,30. 4. Πρβλ. Ἰω. 10,38. 5. Πρβλ. Ματθ. 4,11. 6. Πρβλ. Ἰω. 6,54. 10,28. 7. Πρβλ. Ἰω. 14,6. 8. Πρβλ. Λουκ. 2,11. Ἰω. 4,42 κ.ἀ. 9. Ψαλ. 80,9-10. 10. Πρβλ. Δευτ. 6,13. 11. Ἐξ. 20,3. 12. Πρβλ. Ἱερ. 17,5. 13. Ματθ. 6,24. 14. Ρωμ. 1,25. 15. Πρβλ. Ἐξ. 22,19. 16. Ἡσ. 42,8. 48,11. 17. Ματθ. 26,68. 18. Πρβλ. Ἰω. 9,28.

τὴρ σὺν τῷ μονογενεῖ Θεῷ παρακούεται καὶ ἡ εἰς κτίσμα πίστις ἀνωφελής ἐστιν, βλάπτειν μᾶλλον ἢ σῴζειν δυναμένη· αὐτοὶ λογιζέσθωσαν, εἰ ἀκίνδυνον ἔχουσι πίστιν, τὴν σωτηρίαν ἀρνούμενοι· δεῖ γὰρ σωθῆναι ὀρθῶς πιστεύοντα· καλὸν γάρ, φασί, τὸ σωθῆναι· τἄλλα δέ ἐστιν ἄλλως λόγος. Καὶ Μακεδονίου δὲ παῖδες ὡς τοῦ Ἁγίου Πνεύματος, οὕτω καὶ τοῦ Μο**[437]**νογενοῦς τὴν δόξαν οὐ σῴζουσιν, ὁμοιούσιον τῷ Πατρὶ καὶ οὐχὶ ὁμοούσιον λέγοντες αὐτόν· ὡς νοεῖσθαι ὅτι ἄλλης ὁμοίας οὐσίας ἐστίν. Ὥστε λείπεται αἱρετικοὺς ἢ ἀμεῖψαι ἐν ταῖς θρησκείαις αὐτῶν τὸ ὄνομα τοῦ Πατρός, ὡς τῇ ἀληθείᾳ παρ' αὐτοῖς οὐκ ὄντος αὐτοῦ Πατρός, ἔτι μὴν καὶ τοῦ μονογενοῦς Υἱοῦ καὶ τοῦ Πνεύματος δὲ τοῦ Θεοῦ, ὡς τοῦτο οὐκ ὄντος· (συγγνώτω δὲ ἡμῖν ἡ ἁγία καὶ σεπτὴ καὶ παρ' ἡμῶν δοξαζομένη ὁμοούσιος Τριάς)· ἀμεῖψαι δὲ πρό γε πάντων τὸ ἑαυτῶν ὄνομα καὶ μήτε καλεῖσθαι Χριστιανοὺς ἢ Πνευματικοὺς μήτε διακεῖσθαι ὡς ὄντες αὐτοὶ ἐκεῖνοι ὁμογενεῖς υἱοὶ τῶν ἰδίων πατέρων· ἢ μὴ ἐξαλλάττειν τῆς τοῦ Πατρὸς θεότητος καὶ δόξης τὸν ἀληθινὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα αὐτοῦ. Ἴδιον γὰρ Ἰουδαίων μὲν τὸ τὸν Πατέρα μόνον τιμᾶν, Ἑλλήνων δὲ τὸ πλῆθος δαιμονίων μέγα καὶ μικρὸν καὶ χρονικὸν καὶ ἑτεροούσιον σέβειν.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Ὅπως χρὴ νοεῖν τὰς θεολογίας τῶν Γραφῶν.

Συναγωνίσασθαι δὲ ὁ ἀνάξιος ἐγὼ ταῖς περὶ τοῦ μονογενοῦς Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος θεολογίαις προήχθην οὐδὲ κατὰ ἔννοιαν παραβλάπτων τὴν περὶ τοῦ Θεοῦ καὶ Πατρὸς ἄφραστον δόξαν (οὐ γὰρ ἠγνόηται, ὡσεὶ καὶ μὴ πρὸ ἀμφοῖν δεδήλωται τῶν εἰρημένων θείων ὑποστάσεων· ἀλλ' ὅμως ἄμφω αἱ ὑποστάσεις ἐξ αὐτοῦ κατὰ φύσιν συμφυῶς εἰσιν, ἡ μὲν τοῦ Υἱοῦ γεννητικῶς, ἡ δὲ τοῦ Πνεύματος αὐτοῦ ἐκπορευτικῶς)· ἀλλ' αἱρετικῶν τὰς πανολεθρίους ἐξηγήσεις ἀποσκευαζόμενος καὶ συνιστάμενος, ὅτι δι' ὧν δοκοῦσι παρὰ τὴν Γραφὴν πλέον τιμᾶν τὸν Πατέρα, διὰ τούτων αὐτόν τε λυποῦσι, καὶ τὸν Μονογενῆ αὐτοῦ καὶ τὸ Πνεῦμα ἐνυβρίζουσιν.

ΚΕΦΑΛΑΙΟΝ ΛϚ'.

Καὶ τοῦτο περὶ τοῦ αὐτοῦ.

Τοὺς τοίνυν ὀρθοδόξους χρὴ εἰδέναι μέν, ὡς καὶ περὶ μικροῦ ἔργου τοῦ Θεοῦ (εἰ τολμήσαντα μικρὸν ἔργον ἐστὶ φάναι Θεοῦ) τοῖς διαλαβεῖν ἐθέλουσι, χρεία λόγων καὶ ἔργων πρὸ τῶν λόγων καὶ πίστεως πρὸ **[440]** ἀμφοῖν τούτων καὶ πολλῆς εὐλαβείας καὶ κατανοή-

σεως ἀκροτάτης· ἵνα διὰ ταῦτα γνῶναι ἀξιωθέντες, ὡς καὶ τὸ μικρὸν οὐχ ἁλώσιμον τῇ διανοίᾳ ἀλλ' ἀπείρως καὶ αὐτὸ τῶν ἀνθρωπίνων ὑπερφέρει ἐπιβολῶν (εἰ γὰρ τοῦ Θεοῦ ἔργον, κἂν μικρὸν δοκῇ, μέγα ὡς Θεοῦ· «Μικροῖς δὲ τὰ μεγάλα πῶς ἕλοι τις ἂν πόνοισιν; Ἀμαθές», φασίν, «καὶ τὸ βούλεσθαι τάδε»), πολλῷ δὲ μᾶλλον ἡ περὶ αὐτοῦ τοῦ ἀφράστου Θεοῦ διάληψις ὑπερβαίνουσα καὶ ἀρχαγγέλλων αἴσθησιν· τῶν μὲν σφαλερῶν ζητήσεων ἀναχωρήσωσιν, γινώσκειν αὐτὰ μόνῳ τῷ Θεῷ ἀφιέντες, σὺν τῷ Ἀποστόλῳ δὲ εἴπωσιν· «Ἐπίστευσα, διὸ καὶ ἐλάλησα»[1]· τὰς δὲ θεολογίας τῶν Γραφῶν νοεῖν οὑτωσί· Ὅτιπερ, ὅταν ἀπὸ ἑνὸς προσώπου λέγουσιν, διὰ τὴν μίαν φύσιν καὶ θέλησιν· ὅταν ἀπὸ ἀμφοῖν, διὰ τὸ δείκνυσθαι τὸ ἰδιοσύστατον τῆς Ἁγίας καὶ ἀκηράτου Τριάδος. Ὅταν γὰρ Ἡσαΐας λέγῃ· ««Ἐγὼ Κύριος ἐξέτεινα τὸν οὐρανὸν καὶ ἐστερέωσα τὴν γῆν»[2]· καὶ πάλιν· «Ἐγώ εἰμι καὶ οὐκ ἔστιν ἄλλος Θεός, πλήν ἐμοῦ»[3]· διὰ τὴν μίαν θεότητα καὶ συμφωνιαν, ὡς προείρηται. Ὅταν δόξῃ μὴ μνημονεύεσθαι τὸ Ἅγιον Πνεῦμα διὰ τὸ συμπεριέχεσθαι αὐτὸ τῷ Θεῷ, οὗ Πνεῦμα τυγχάνει ὄν· ὅταν τὴν μυσταγωγίαν παραδοὺς ὁ Δεσπότης λέγῃ· «Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος»[4]· διὰ τὸ ἰσότιμον καὶ ἰσοσθενὲς καὶ ὁμοούσιον καὶ τὴν εὐκρινίαν τῶν ὑποστάσεων. Ὅταν τὸ νῦν περὶ τοῦ Θεοῦ καὶ Πατρὸς λεχθέν, ἑτέρωθι περὶ τοῦ Μονογενοῦς ἢ τοῦ Ἁγίου Πνεύματος ἀπομέμνηται· διὰ τὰς προλεχθείσας αἰτίας. Ὅταν τὰ αὐτὰ ἔργα, τὴν αὐτὴν ἐνέργειαν ἀμφοτέρας ποιεῖν τὰς ὑποστάσεις διαφόρως διδάσκωσιν· διὰ τὸ ὡς προείρηται. Ὅταν ἑκάστης ὑποστάσεως δυναμένης δημιουργῆσαι, καὶ πάντα ποιῆσαι, εὐδόκησεν ὁ Θεὸς καὶ Πατήρ, διὰ μὲν τοῦ Υἱοῦ καὶ Θεοῦ ὑποστῆναι πάντα, διὰ δὲ τοῦ Ἁγίου Πνεύματος ἁγιασθῆναι· διὰ τὸ ἓν θέλημα τῆς Τριάδος καὶ τὸ δείκνυσθαι ἐξ αὐτῆς χορηγεῖσθαι πάντα τὰ καλὰ καὶ διὰ τὸ ἡμᾶς κοινὴν αὐτῇ καὶ ἴσην ἀναπέμπειν εὐχαριστίαν καὶ δοξολογίαν. Ὅταν τοῖς αὐτοῖς ὀνόμασι κέχρηνται ἐπὶ τῆς μακαρίας Τριάδος· οἷον Θεός, Κύριος, ἅγιος, δίκαιος, ἀγαθὸς καὶ ὅσα τοιαῦτα· πλὴν ὅτι ὁ Πατήρ, μόνος καὶ ἀεὶ Πατήρ· καὶ ὁ ἀληθινὸς Υἱὸς καὶ Θεὸς καὶ τὸ Ἅγιον Πνεῦμα, ἀνάρχως ἓν καὶ τὸ αὐτὸ Πνεῦμα τοῦ Θεοῦ· διὰ τὴν τῆς φύσεως καὶ βασιλείας καὶ πάντων κοινωνίαν· τοῦτο δὲ ἐπὶ αὐτῆς μόνης. Ὅταν ἐν ἀπορρήτῳ διαλέγωνται, διὰ τὸ ἀεὶ τὸ μυστήριον τῆς πίστεως φυλάττεσθαι, μόνοις ἀποκαλυπτόμενον πιστοῖς. Ὅταν λέγωσιν, τὸν μὲν Θεὸν Πατέρα γεννή**[441]**σαντα, τὸν δὲ Υἱὸν Λόγον γεννηθέντα, τὸ δὲ Ἅγιον Πνεῦμα ἐκπορευόμενον· διὰ τὸ θεϊκῶς νοεῖν ἐκ τῆς ὑποστάσεως τοῦ Πατρὸς ἀνάρχως καὶ ἀπαθῶς, καὶ μὴ παραπλησίως τῶν κτισμάτων προεληλυθέναι τε καὶ ἡνῶσθαι. Ὅταν λέγῃ· «Ὁ πέμψας με Πατήρ, μείζων μού ἐστιν»[5],

1. Β' Κορ. 4,13. Ψαλ. 115,1. 2. Ἡσ. 44,24. 3. Πρβλ. Ἡσ. 46,9. 4. Ματθ. 28,19. 5. Πρβλ. Ἰω. 14,28.

καὶ ὅσα νενόμισται πρὸς θεότητα εἶναι μικρά· διὰ τὴν δι' ἡμᾶς καὶ ὑπὲρ ἡμῶν ἄρρητον καὶ ἑκούσιον αὐτοῦ οἰκονομίαν. Ἐπὶ γὰρ τῆς θεότητος οὔτε τὸ μικρὸν οὔτε τὸ μὴ εἶναι πανταχοῦ χώραν ἔχει. Ὅταν λέγῃ ὁ Υἱός, ὅτι «Ὁ Πατήρ μου ἐντολήν μοι δέδωκεν, τί εἴπω καὶ τί λαλήσω καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλάλησα»[1]· περὶ δὲ τοῦ Ἁγίου Πνεύματος «ἀφ' ἑαυτοῦ οὐ λαλήσει»[2] καὶ ὅσα τοιαῦτα· διὰ τὴν συμφωνίαν τῶν θείων ὑποστάσεων καὶ διὰ τὸ κοινὰ εἶναι τῆς μακαρίας Τριάδος τὰ διδάγματα καὶ χαρίσματα καὶ οὐ διαφωνοῦντα ὡς τὰ τῶν ἀνθρώπων.

1. Πρβλ. Ἰω. 12,49. 2. Πρβλ. Ἰω. 16,13.

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

Κεφ. Α΄. Περὶ τοῦ τὴν Ἁγίαν Τριάδα ἀκατάληπτον τῇ τε ἀοράτῳ καὶ ὁρατῇ κτίσει καθεστάναι· καὶ τοῖς πᾶσι παρεῖναι· καὶ πᾶσαν δημιουργίαν εἶναι αὐτῆς κοινήν.

Κεφ. Β΄. Περὶ τοῦ τὸ Ἅγιον Πνεῦμα εἶναι τοῦ Θεοῦ καὶ Πατρὸς Πνεῦμα, ὡς ἡμῶν τὸ ἡμέτερον· καὶ παρ' αὐτοῦ ὁμοουσίως ἐκπεπορεῦσθαι. Καὶ κατὰ αἱρετικῆς διδασκαλίας.

Κεφ. Γ΄. Περὶ τοῦ διάφορα ὀνόματα εἶναι τῷ Πνεύματι τοῦ Θεοῦ σημαίνοντα τὴν θεϊκὴν αὐτοῦ φύσιν καὶ δύναμιν. Καὶ κατὰ αἱρετικοῦ φρονήματος.

Κεφ. Δ΄. Περὶ τῶν λεγόντων αἱρετικῶν «Πνεῦμα ὁ Θεὸς καὶ πῶς τοῦ Πνεύματος Πνεῦμα τὸ Ἅγιον Πνεῦμά ἐστιν»; Καὶ πάλιν· «Οἱ ἄγγελοι οὖν», φασίν, «οὐκ εἰσὶν ἀπὸ τοῦ Θεοῦ καὶ ἅγιοι καὶ πνεύματα τοῦ Θεοῦ»;

Κεφ. Ε΄. Περὶ τῶν λεγόντων, ὅτι «Μονογενοῦς ὄντος», φησίν, «τοῦ Θεοῦ Λόγου, τί τὸ Πνεῦμα καλέσομεν»; Καὶ περὶ τοῦ μαρτυρεῖσθαι, τὸν Υἱὸν μονογενῆ· τὸ Ἅγιον Πνεῦμα ἓν καὶ μόνον· καὶ πάλιν τὸν Υἱὸν «Λόγον»· τὸ Ἅγιον Πνεῦμα «Ῥῆμα». Καὶ περὶ συγκρίσεως. Καὶ περὶ τοῦ μὴ εἶναι παράδειγμα τῆς ἀσυγκρίτου οὐσίας.

Κεφ. Ϛ΄. Περὶ τοῦ πάντα, ὅσα ἴδια θεότητος, μαρτυρεῖσθαι περὶ τοῦ Πνεύματος οὕτως·

α΄. Ὅτι οὐ κατὰ αἱρετικοὺς πρῶτον κτίσμα ἐστίν, ἀλλὰ Θεός· τὸ γὰρ πρῶτον κτίσμα ὁ Σατανᾶς τυγχάνει.

β΄. Ὅτι πληροῖ τὴν οἰκουμένην καὶ συνέχει τὰ πάντα.

γ΄. Ὅτι ἄφθαρτον.

δ΄. Ὅτι αἰώνιον.

[444] ε΄. Ὅτι ὡς ἄτρεπτον, ἀρετῆς τε, κακίας τε ἀνεπίδεκτόν ἐστιν.

ϛ΄. Ὅτι φύσει ἅγιον καὶ ἁγιάζον καὶ δικαιοῦν.

ζ΄. Ὅτι μεθεκτὸν οὐσιωδῶς ἐστι· Θεοῦ δὲ μόνου ἴδιον τοῦτο.

η΄. Ὅτι ἀγαθόν, αὐτοτίκτον τὰς ἐν τῇ κτίσει ἀγαθότητας καὶ ἀληθείας καὶ σοφίας καὶ ἀγάπης· καὶ ἐν αὐτῷ συνεπινοεῖται πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον.

θ΄. Ὅτι φιλάνθρωπον.

ι΄. Ὅτι φύσει ἐλεύθερον καὶ οὐ δοῦλον· καὶ ὡς Θεὸς καὶ Κύριος ἐλευθεροῖ καὶ υἱοὺς Θεοῦ ποιεῖ.

ια΄. Ὅτι ἐπιτάσσει, οὐχ ὑπουργεῖ.

ιβ΄. Ὅτι ἐνδυναμοῖ.

ιγ΄. Ὅτι ἀψευδές· ὅπερ ἴδιον μόνου Θεοῦ.

ιδ΄. Ὅτι ἀλήθεια, διὰ τὸ μὴ διαφωνεῖν αὐτὸ πρὸς τὴν μίαν θεότητα.

ιε΄. Ὅτι οὐδεὶς οἶδεν τὰ τοῦ Θεοῦ, εἰ μὴ τὸ Ἅγιον Πνεῦμα. Καὶ ὅτι διὰ τὴν πρὸς τὸν Πατέρα ἰσότητα, τὸ ἀνάπαλιν ὁ Θεὸς οἶδεν τὰ τοῦ Ἁγίου Πνεύματος.

ις΄. Ὅτι οὐδεὶς ὁρᾷ τὸν Θεὸν καὶ Πατέρα, εἰ μὴ μόνος ὁ Υἱὸς[1] καὶ τὸ Ἅγιον Πνεῦμα. Καὶ πρὸς τοὺς λέγοντας· Οὐ γέγραπται οὖν, φησίν, ὅτι «Οἱ ἄγγελοι βλέπουσιν τὸ πρόσωπον τοῦ Πατρός»[2];

ιζ΄. Ὅτι τὸ Ἅγιον Πνεῦμα, τὴν κτίσιν υἱοθεσίας ἀξιοῖ· αὐτὸ δὲ ἐκ τῆς ὑποστάσεως τοῦ Θεοῦ ἐκπορεύεται[3].

ιη΄. Ὅτι οὐχ ὑμνεῖ, ὡς ἡ ἄλλη κτίσις· ἐπειδὴ αὐτὸ τῶν ὑμνουμένων ἐστί.

ιθ΄. Ὅτι μετὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ συνονομάζεται. Καὶ περὶ αἱρετικῆς ἀντιθέσεως.

κ΄. Ὅτι κοινωνεῖ, ὡς τῇ οὐσίᾳ οὕτω καὶ τοῖς ὀνόμασιν, τῷ Θεῷ Πατρὶ καὶ τῷ μονογενεῖ αὐτοῦ Υἱῷ.

κα΄. Ὅτι ἕν ἐστι καὶ οὐ πολλά, ὡς τὰ κτίσματα.

κβ΄. Ὅτι διὰ τὸ ὁμοούσιον καὶ ἄναρχον γέγραπται εἶναι ὕδωρ ζωῆς ἐκ τῆς πατρικῆς πηγῆς ἐκπορευθέν.

κγ΄. Ὅτι τῷ Ἁγίῳ Πνεύματι ἐχρίσθη ὁ Σωτήρ· οὐκ ἂν δὲ εἰ κτίσμα ἦν, τῷ ἰδίῳ ἐχρίσατο ποιήματι ὁ ἄκτιστος. Καὶ ὅτι καὶ ἡμεῖς χρίσμα ἔχομεν αὐτοῦ.

Κεφ. Ζ΄. Περὶ τῶν θεϊκῶν ἐνεργειῶν καὶ παροχῶν τοῦ Ἁγίου Πνεύματος οὕτως·

α΄. Ὅτι ζωοποιεῖ.

β΄. Ὅτι διὰ τὴν ταυτότητα τῆς θεότητος καὶ τὴν ἴσην ἐνέργειαν γέγραπται, ὡς ἤγειρεν τὸν ἑκουσίως δι᾽ ἡμᾶς παθόντα σαρκὶ Χριστόν ποτε ὁ Πατήρ, ποτὲ αὐτὸς ἑαυτόν, ποτὲ τὸ Ἅγιον Πνεῦμα. Καὶ κατὰ αἱρετικῆς ἐκθέσεως.

γ΄. Ὅτι δημιουργεῖ καὶ ἐκ νεκρῶν ἐγείρει. Ἐν ταὐτῷ, ὅτι τὸ ἁγιάσαι, δημιουργῆσαί ἐστιν καὶ ἀναγκαιότερον τοῦ δημιουργῆσαι. Καὶ κατὰ αἱρετικῆς ἐκθέσεως.

δ΄. Ὅτι ἁγιάζει καὶ δικαιοῖ.

ε΄. Ὅτι σωτηρίαν χορηγεῖ.

ς΄. Ὅτι θανάτου ἐλευθεροῖ καὶ ἁμαρτίας συγχωρεῖ.

---

1. Πρβλ. Ἰω. 6,46. 2. Ματθ. 18,10. 3. Πρβλ. Ἰω. 15,26.

ζ΄. Ὅτι συνεργεῖ τῷ Πατρὶ καὶ τῷ Υἱῷ. Καὶ ὅτι Χριστὸς ἐν τῇ δυνάμει τοῦ Πνεύματος, σημεῖα καὶ τέρατα ἐποίησε καὶ δαιμόνια ἐξέβαλε διὰ τὸ ἀχώριστον τῆς θεότητος.

η΄. Ὅτι ὥσπερ ὁ Θεὸς καὶ Πατὴρ οὕτω καὶ τὸ Ἅγιον Πνεῦμα χρηματίζει, σημαινόμενον Θεὸς καὶ Δεσπότης.

θ΄. Ὅτι σὺν τῷ Χριστῷ κρίνειν μέλλει τὰ πάντα.

ι΄. Ὅτι ὁ Παῦλος ἐν τῇ δυνάμει τοῦ Πνεύματος Ἐλύμαν τὸν μάγον ἐξετύφλωσεν.

[445] ια΄. Ὅτι τῇ δυνάμει τοῦ παναγίου Πνεύματος ἀνεωχθέντες οἱ οὐρανοὶ ὤφθησαν τῷ ὁσίῳ Στεφάνῳ.

ιβ΄. Ὅτι προγνώστης.

Κεφ. Η΄. Περὶ τῆς αὐτεξουσιότητος τοῦ Ἁγίου Πνεύματος οὑτωσί·

α΄. Ὅτι αὐθεντικῶς δωρεῖται τὰ χαρίσματα, ὡς βούλεται[1]· καὶ πνεῖ ὅπου προήρηται[2]. Καὶ κατὰ Μακεδονιανοῦ φρονήματος.

β΄. Ὅτι ἔθετο τοὺς προφήτας καὶ ἀποστόλους· καὶ αὐθεντικῶς ἀπέστειλεν· καὶ ἐποίησεν ὡς ἠβουλήθη φθέγξασθαι αὐτούς.

γ΄. Ὅτι νομοθετεῖ καὶ προστάττει ἀποφαντικῶς, ἅτε Θεός. Καὶ πρὸς τοὺς λέγοντας, ὡς καὶ περὶ ἀγγέλου ἐγράφη· «Τάδε λέγει ὁ ἄγγελος».

δ΄. Ὅτι μετὰ τοῦ Πατρὸς ἀποστέλλει καὶ ὁδηγεῖ αὐτεξουσίως. Καὶ πρὸς τοὺς λέγοντας· «Ὁ Θεὸς πρὸς ἑαυτὸν ὁδηγεῖ, τὸ δὲ Πνεῦμα πρὸς τὴν ἀλήθειαν».

Κεφ. Θ΄. Περὶ τοῦ τὸ Ἅγιον Πνεῦμα εἶναι ὁμοούσιον τῷ Πατρὶ καὶ τῷ Υἱῷ· σημαίνεσθαι δὲ καὶ παντοκράτορα. Ἐν ταὐτῷ περὶ τῆς ἀδιοδεύτου παρθενικῆς πύλης.

Κεφ. Ι΄. Περὶ τοῦ μαρτυρεῖσθαι, ὅτι τὸ Ἅγιον Πνεῦμα Θεὸς καὶ Κύριος καὶ δοξαζόμενος. Καὶ ἀντίθεσις τῆς Μακεδονιανῆς διδασκαλίας.

Κεφ. ΙΑ΄. Περὶ τοῦ αὐτοῦ. Καὶ ὅτι ἐπὶ τοῦ χερουβικοῦ καθέζεται θρόνου· καὶ δύναμιν ἐξαποστέλλει. Καὶ ὅτι ὁ Παῦλος αὐτὸ οἶδεν εἶναι τὸν ὀφθέντα τῷ Ἡσαΐᾳ Κύριον Σαβαώθ. Καὶ κατὰ τοῦ Μακεδονιανοῦ φρονήματος. Καὶ ὅτι ἐν ἡμῖν οἰκεῖ. Καὶ ὅτι ῥᾳδιουργοῦσιν αἱρετικοὶ τὰς θείας Γραφάς.

Κεφ. ΙΒ΄. Περὶ τοῦ τὸ Ἅγιον Πνεῦμα ἀνακαινίζειν ἡμᾶς τῷ βαπτίσματι· καὶ ὡς Δεσπότην ἐλευθεροῦν· καὶ ποιεῖν μετόχους θείας δόξης καὶ υἱοὺς καὶ κληρονόμους τοῦ Πατρὸς συγκληρονόμους δὲ τοῦ Υἱοῦ καὶ ἀδελφοὺς συνδοξασθησομένους καὶ συμβασιλεύσον-

---

1. Πρβλ. Α΄ Κορ. 12,11. 2. Πρβλ. Ἰω. 3,8.

τας αὐτῷ. Καὶ περὶ τοῦ ἀνόνητον εἶναι τὸ βάπτισμα τοῖς μὴ πιστεύουσιν, ὅτι Θεός ἐστι τὸ Ἅγιον Πνεῦμα. Ἐν ταὐτῷ, ὅτι ἄλλη ἡλίου δόξα καὶ ἄλλη σελήνης καὶ ἀστέρων.

Κεφ. ΙΓ΄. Περὶ τῶν πρὸς εὐτέλειαν τοῦ Πνεύματος προφερόντων τὸ «Ἐὰν μή τις γεννηθῇ ἐξ ὕδατος καὶ Πνεύματος»[1].

Κεφ. ΙΔ΄. Καὶ περὶ τοῦ ἀπὸ καταβολῆς κόσμου τά τε ὕδατα ὑπὸ τοῦ Ἁγίου Πνεύματος ἡγιᾶσθαι καὶ προῳκονομῆσθαι ἡμῖν τὴν ἀπὸ τοῦ βαπτίσματος σωτηρίαν. Καὶ περὶ τοῦ Ἰσραηλίτας σωτηρίας τετυχηκέναι ἀπὸ τῆς οὔσης ποτὲ εἰκόνος τοῦ βαπτίσματος· πολλῷ δὲ πλέον τοὺς νῦν βαπτιζομένους καὶ μακαριζομένους.

Κεφ. ΙΕ΄. Περὶ τοῦ τὴν Γραφὴν ἐν πολλοῖς καὶ μάλιστα ἐπὶ τοῦ βαπτίσματος, μόνου τοῦ Ἁγίου Πνεύματος καὶ τῆς σφραγῖδος αὐτοῦ, ἧς ἔχομεν, μνημονεύειν.

Κεφ. ΙϚ΄. Περὶ τοῦ ἐπιτετελεκέναι ἀεὶ τυπικῶς Ἰσραηλίτας, εἰς μὲν τιμὴν καὶ δόξαν τοῦ Ἁγίου Πάσχα τοῦ Χριστοῦ, τὴν ἡμέραν τῶν Ἀζύμων· εἰς δὲ τιμὴν καὶ δόξαν τῆς σεπτῆς ἐπιδημίας τοῦ Ἁγίου Πνεύματος, τὴν παρ᾿ ἐκείνοις ἡμέραν τῆς Πεντηκοστῆς· προηγορεῦσθαι δὲ διὰ τῆς ἑορτῆς τῶν Σκηνοπηγίων τὰς συνάξεις τῶν Ἐκκλησιῶν καὶ μαρτυρίων.

Κεφ. ΙΖ΄. Περὶ τοῦ τὸ Ἅγιον Πνεῦμα συμπαρεῖναι καὶ συνενεργεῖν ἀεὶ τῷ Θεῷ Πατρὶ καὶ ἐνδυναμοῦν ἡμᾶς. Καὶ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ τὴν διδασκαλίαν ὁμότιμον καὶ σύμφωνον εἶναι τῆς τοῦ Υἱοῦ· καὶ εὔχεσθαι τὸν πνευματοφόρον Δαυῒδ στηριχθῆναι ὑπ᾿ αὐτοῦ.

Κεφ. ΙΗ΄. Περὶ τοῦ τοὺς δώδεκα ἀποστόλους τῇ δυνάμει τοῦ Πνεύματος καθοπλισθέντας, μόνους ἀντιστῆναι τῇ οἰκουμένῃ καὶ τῷ διαβόλῳ, λαλοῦντας καὶ νοοῦντας πᾶσαν γλῶσσαν. Καὶ περὶ τοῦ εἰπόντος εὐνούχου· «Ἰδοὺ ὕδωρ· τί κωλύει με βαπτισθῆναι»[2];

[448] Κεφ. ΙΘ΄. Περὶ τῶν λεγόντων· «Διὰ τί, ὡς ὁ Υἱὸς τρανῶς Θεὸς προσηγόρευται, μὴ καὶ τὸ Ἅγιον Πνεῦμα». Καὶ περὶ τοῦ κοινὸν ὄνομα εἶναι τῇ Ἁγίᾳ Τριάδι τὸ Θεὸς καὶ τὸ Κύριος, ὡς ἡ θεότης καὶ κυριότης μία.

Κεφ. Κ΄. Περὶ τοῦ τὸν χοϊκὸν ἄνθρωπον[3] μὴ ἔχειν τὸ Ἅγιον Πνεῦμα, ἀλλὰ τὸν πιστὸν καὶ βαπτίσματος καταξιωθέντα· αὐτόν τε δύνασθαι πρὸς τὸ μέτρον τῆς φύσεως ἡμῶν καὶ τὴν δόξαν τοῦ Ἁγίου Πνεύματος, τῷ τῆς ψυχῆς ὄμματι καθορᾶν.

1. Ἰω. 3,5. 2. Πράξ. 8,36. 3. Πρβλ. Α΄ Κορ. 15,47.

Κεφ. ΚΑ'. Περὶ τῶν λεγόντων, ὅτι «Ἐν τῷ Ἁγίῳ Πνεύματι δοξάζεται ὁ Θεός, οὐ μὴν τὸ Ἅγιον Πνεῦμα». Καὶ περὶ τοῦ· «Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ»[1]. Καὶ περὶ τοῦ τὸ ἀναγεννᾶν τῷ βαπτίσματι τοῦ δοξάζεσθαι ἢ προσκυνεῖσθαι μεῖζον καὶ τιμιώτερον καθεστάναι.

Κεφ. ΚΒ'. Περὶ τοῦ διὰ τὸ τέλειον τῆς περὶ τὸ Ἅγιον Πνεῦμα καὶ τὸν Υἱὸν πίστεως, μείζονα εἶναι τὴν Ἐκκλησίαν τῆς συναγωγῆς.

Κεφ. ΚΓ'. Καὶ περὶ δοξολογίας.

Κεφ. ΚΔ'. Περὶ τῶν ἀντιδιαταττομένων καὶ παρερμηνευόντων τὰς Γραφὰς αἱρετικῶν. Ἐν ταὐτῷ περὶ τοῦ μὴ παραβλέπειν Πατέρας.

Κεφ. ΚΕ'. Ἐπανάληψις, ἤγουν ἐπαναδίπλωσις.

Κεφ. ΚϚ'. Περὶ τῆς ὁρισθείσης ὑπὸ τοῦ Θεοῦ ἀπειλῆς κατὰ τῶν ἀθετούντων τὸν Υἱὸν Αὐτοῦ καὶ τὸ Ἅγιον Πνεῦμα.

Κεφ. ΚΖ'. Περὶ τοῦ καὶ Ἑλλήνων τοὺς λογάδας τὸ πρὸς τὸν Θεὸν ὁμοούσιον τοῦ Ἁγίου Πνεύματος γεγραφέναι καὶ τὸ ἐξ αὐτοῦ ἐκπορεύεσθαι.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τοῦ τὴν Ἁγίαν Τριάδα ἀκατάληπτον εἶναι.

Οἱ σπουδάζοντες εἶναι ναὸς κἂν ποσῶς ἄξιος τοῦ οἰκοῦντος ἐν τοῖς πιστοῖς Ἁγίου Πνεύματος[2], ὡς ἅπαξ ἔχοντες ἐλλάμπον αὐτοῖς τὸ ἀπρόσιτον φῶς, δοξάζουσιν, ὡς ὁ Δεσπότης, ἐν τῇ μυσταγωγίᾳ τοῦ βαπτίσματος ἐθέσπισεν ἰσοτίμως τόν τε αὐτογενῆ Θεὸν καὶ Πατέρα, καὶ τὸν ἐξ αὐτοῦ συνυπάρχοντα αὐτῷ ἀγαπητὸν καὶ μονογενῆ Υἱὸν Λόγον καὶ τὸ μνημονευθὲν Ἅγιον Πνεῦμα, τὸ μόνον ἐκ τῆς ὑποστάσεως αὐτοῦ ἀνάρχως καὶ ἀδιαστάτως ἐκπορευθέν· τῷ μὲν ὁμουσίῳ τῆς Τριάδος μὴ ἀπιστοῦντες τρόπον δὲ καὶ διαφορὰν γεννήσεως καὶ ἐκπορεύσεως οὐ ζητοῦντες· ἐπειδὴ καὶ ταῖς οὐρανίοις λειτουργικαῖς δυνάμεσιν ἄγνωστον, ἄφραστον καὶ φοβερὸν ἐνθυμήσει καθέστηκεν τοῦτο καὶ τὸ πῶς ἑαυτῇ συνυφέστηκεν ἀνάρχως ἡ Ἁγία Τριάς, ἔχουσα ἀεὶ ὡσαύτως καὶ κατὰ ταυτά· καὶ οἷά τε οὖσα ἐπὶ τοῦ αἰωνίου καθημένη θώκου, ἐπιβλέπειν ἀβύσσους καὶ σιωπῶσα ἀκούεσθαι καὶ σιωπώντων ἀκούειν· καὶ πρὸ τοῦ πρακτέου ἐπίστασθαι τὸ μέλλον· καὶ λόγῳ καὶ θᾶττον λόγου καὶ μόνῳ τῷ θέλειν πάντα παραγαγεῖν· καὶ πρὶν

1. Α' Κορ. 12,3. 2. Πρβλ. Α' Κορ. 6,19.

διαθρήση τις ἐν τῇ καρδίᾳ, μόνον δὲ πιστῶς καὶ δικαίως, τὴν ψῆφον εὐθὺς τὴν ἐπὶ τῇ αἰτήσει παρέχειν, καὶ πᾶσι καιρὸν εἰς εὐεργεσίαν ἁρμόζεσθαι· καὶ βραδεῖαν μὲν εἶναι εἰς ὀργήν, εἰς εὐποιΐαν δὲ ἕτοιμον· καὶ χαλεπαίνειν μὲν δι' ἡμετέραν πλημμέλειαν, ἀφιέναι δὲ δι' οἰκείαν φιλ[449]ανθρωπίαν τὴν τιμωρίαν. Ἔτι γε μὴν ἀκατάληπτον αὐτῆς ἐστιν καὶ τὸ πῶς ἓν ἔχει θέλημα καὶ λαλεῖ καὶ παρέχει κοινὸν ἑαυτῆς· καὶ ἐπισκέπτεται οὐ μᾶλλον εὐεξίαν σωμάτων, ἀλλ' αὐτὴν συντετριμμένην καρδίαν. Καὶ μὲν δὴ καὶ τοῦτο, πῶς ὑπάρχει ἀόρατος καὶ σεραφικοῖς ὀφθαλμοῖς ἀπερίληπτος, λόγῳ καὶ τόπῳ ἀχώρητος, δυνάμει ἀμερής, ἀναφής, ἀμεγέθης· ἀβαθής, ἀπλατής, ἀνείδεος· παντεπίσκοπος, παντεπήκοος καὶ πάντων ἐλπίς· φωτὸς οὐρανίου ὑπὲρ τὸ πολὺ φωτεινοτέρα καὶ παντὸς ὕψους, ὅσον οὐκ ἔστιν εἰπεῖν, ὑψηλοτέρα· καὶ παντὸς νοῦ ἀπείρῳ λόγῳ νοητικωτέρα. Πῶς γὰρ οὐκ ἔμελλεν τὰ τῆς Τριάδος πᾶσιν ἀκατάληπτα τυγχάνειν, ὅτε αὐτὴ πάντων ἐστὶ γενεσιουργὸς καὶ ἀνωτάτω πάσης νοερᾶς, ἔτι μὴν καὶ νοητῆς κτίσεως, μεθ' ἣν ἐπέκεινα παντελῶς οὐδέν, πάντα δὲ μᾶλλον ὑπ' αὐτῇ, καὶ δι' αὐτήν, καὶ ὑπὸ πόδας αὐτῆς, ὡς ποιήματα; Προκατήρξατο γὰρ εὐδοκήσας ὁ Πατήρ· ἐδημιούργησε δὲ ὁ Μονογενής· ἡγίασε δὲ τὸ Πνεῦμα τοῦ Θεοῦ, καὶ τῷ ἁγιασμῷ αὐτοῦ ἐτελείωσεν, ἐφώτισεν, ἐνεδυνάμωσεν, ἐζωοδότησεν· ἐν πᾶσιν καὶ ἐν ἑκάστῳ ὅλον ὑπάρχον καὶ ὑπὸ ὅλων ὅλον μετεχόμενον καὶ χωρούμενον δι' ἀγαθότητα· καὶ μὴ μεριζόμενον, μήτε μετερχόμενον ἢ μεταβαλλόμενον· ἀλλ' ἀεὶ πᾶσιν ἐπιπνέον ὁμοίως καὶ οὐκ ἐν μέρει καὶ φυλάττον τὴν οἰκείαν ἄχραντον ἀπὸ τῶν σωμάτων καθαρότητα, πάντα τε θείως [452] καταλάμπον, καὶ πανταχοῦ πληθύον ἁγιασμόν, ἀγάπην, εἰρήνην, σοφίαν, χαράν, ἀσφάλειαν καὶ πᾶν ἀγαθόν, ἅτε ἐκ τῆς πατρικῆς ἐνυποστάτως ἐκλάμψαν πηγῆς· δι' οὗ καὶ δι' ὃ ἡμῖν πλησιάζει ὁ Θεὸς καὶ Πατήρ, μεθ' οὗ καὶ ἐν οὐρανοῖς ἐστιν, καὶ παρ' ἡμῖν μένει· δυναμένης μὲν ἑκάστης θείας ὑποστάσεως ἀπροσδεῶς πάντα ποιῆσαι τελείως· ἵνα δὲ δειχθῇ τὸ συμπρακτικὸν καὶ ἀπαράλλακτον τῆς τε οὐσίας αὐτῶν, τῆς τε προσκυνήσεως καὶ δόξης καὶ εὐχαριστίας τῆς ὀφειλούσης παρ' ἡμῶν γίνεσθαι, διὰ τοῦτο κοινῇ παρὰ τῆς Ἁγίας Τριάδος τῆς κτίσεως πληρωθείσης. Παριστῶν γοῦν τὸ τριαδικῶς διακεκοσμῆσθαι τὴν κτίσιν ψάλλει· «Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαι αἱ δυνάμεις αὐτῶν»[1]. Εἶπεν γὰρ Κύριον μὲν τὸν Θεὸν Πατέρα· Λόγον δὲ τὸν μονογενῆ Υἱόν, δι' οὗ καὶ παρ' οὗ ἐκτίσθησαν· Πνεῦμα δὲ τὸ ἐνυπόστατον Ἅγιον Πνεῦμα τοῦ Θεοῦ, παρ' οὗ ἁγιασθέντες ἐνεδυναμώθησαν. Αὐτὸ γάρ ἐστιν τὸ θεϊκὸν ὄνομα, τὸ παντοκρατορικὸν καὶ ὑπερέχον ἀξίωμα, τὸ σὺν Πατρὶ καὶ Υἱῷ μνημονευόμενον καὶ συνδοξαζόμενον· τὸ ἁγιαστικόν, καὶ ζωοποιὸν καὶ φωτὸς οὐρανίου μεταδοτικόν· τὸ φρουρητικὸν ἑκάστων τῆς ἐν ταυτότητι

1. Πρβλ. Ψαλ. 32,6.

διαμονῆς· τὸ προφήταις καὶ ἀποστόλοις ἐνηχῆσαν καὶ μάρτυρας ἀντιστῆναι τυραννικῇ ὠμότητι ἐνισχῦσαν· τὸ ἀνακαινίζον καὶ ἐλευθεροῦν ὡς Κύριος καὶ υἱοὺς Θεοῦ ἡμᾶς ποιοῦν ὡς Πνεῦμα υἱοθεσίας· τὸ ἀπελαῦνον τῷ φωτίσματι δαιμόνων στίφη καὶ τὸν ἀντικείμενον καταισχῦνον· τὸ ἀναπετάζον ἡμῖν τὰς οὐρανῶν πύλας καὶ ἄγον ἐπὶ τὴν εἴσοδον τῆς σωτηρίας καὶ τῆς ἀγγέλων πολιτείας καὶ ὑμνῳδίας ἐργαζόμενον κοινωνούς· τὸ γινόμενον ἡμῖν τρίβος ἀποφέρουσα πρὸς αὐτὸν τὸν ἐπουράνιον Θεὸν καὶ Πατέρα· ἡ αὐτεξούσιος καὶ ὑπερβάλλουσα γαληνοτάτη ἐπιφάνεια· ἡ γόνιμος καὶ ἄπειρος καὶ σωστικὴ δύναμις· ἡ ἀμεγέθης, καὶ ἀσύγκριτος καὶ σεπτὴ ὑπόστασις· ἡ ἄχραντος καὶ ἔγκριτος καὶ πάναγνος δόξα· ἡ θεία χάρις, ἡ τὰ λείποντα ἀναπληροῦσα καὶ τὰ ἀσθενῆ ἰωμένη· ἡ ἄρρητος καὶ ἀΐδιος ἀγαθότης· ἡ πηγὴ τῶν ἀνεκλείπτων χαρισμάτων καὶ παντὸς ἀγαθοῦ νοῦ πρόοδος· ἡ μελλόντων καὶ ἀγνώστων ἀληθὴς φανέρωσις· ἡ σωτήριος σφραγὶς καὶ τὸ θεῖον χρίσμα· ὁ ἀρραβὼν τῶν ἀιδίων ἀγαθῶν· παρ' οὗ πᾶσα κτίσις, ὁρατὴ καὶ ἀόρατος, λογικὴ καὶ μὴ λογική, ἐνδυναμοῦται· παρ' **[453]** οὗ ἡμῖν ἡ θεία ἀναγέννησις καὶ τῶν ἀνομιῶν ἡ ἄφεσις καὶ τῶν ἁμαρτιῶν ἡ ἐπικάλυψις καὶ ἡ πρὸς τὸν Θεὸν οἰκείωσις[1]· στέφανός τε δικαίοις καὶ ἀγαθῶν ἀπόληψις· οὐράνιόν τε ἐνδιαίτημα καὶ ζωὴ ἀτελεύτητος καὶ βασιλείας Θεοῦ κληρονομία αἰώνιος· οὗτινος τῆς κοινωνίας διὰ τῆς παλιγγενεσίας ὁ μετέχων, τυγχάνει τῶν μνημονευθέντων ἀγαθῶν καὶ πρὸς τὰς καθολικὰς Ἐπιστολάς, θείας ἐστὶ κοινωνὸς φύσεως[2]. Ὁ γὰρ ἀφθάρτου καὶ ἀιδίου φωτίσματος μετειληφώς, ἀγήρως κατὰ τὸ νοητὸν μένει ἐν νεότητι καὶ ἠπιότητι καὶ ἐξομοιοῦται τῷ μόνῳ ἔχοντι ἀθανασίαν καὶ φῶς οἰκοῦντι ἀπρόσιτον[3]. Οἱ γὰρ τῆς Ἀρχαίας καὶ Νέας Διαθήκης ἱερομάνται τῆς ἀνωτάτω μιᾶς θείας φύσεως εἶναι τὸ Ἅγιον Πνεῦμα ἐπίστανται. Αὐτίκα γοῦν μαρτυροῦσιν.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Περὶ τοῦ τὸ Ἅγιον Πνεῦμα εἶναι τοῦ Θεοῦ. Καὶ περὶ αἱρετικῆς ἀντιθέσεως.

Πρῶτον μὲν ὅτι Πνεῦμά ἐστι τοῦ Θεοῦ καὶ ἐκ τοῦ Θεοῦ, εἰ καὶ μὴ μετ' αὐτὸν καὶ μόνον εἶδος τὰ τοῦ Θεοῦ καὶ ἐπὶ πάντας τυγχάνον· λέγουσι τοιάδε· Μωϋσῆς μὲν ἐν τῇ Γενέσει ἐκ προσώπου τοῦ Θεοῦ· «Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας»[4]. Ἀγγαῖος ὁμοίως ἀπὸ θεϊκῆς φωνῆς· «Ἐγώ εἰμι μεθ' ὑμῶν καὶ τὸ Πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν»[5]· Ζαχαρίας ὁμοίως· «Πλὴν ἀκούσατε τοὺς λόγους μου καὶ τὰ

1. Πρβλ. Ἐφ. 2,19. 2. Πρβλ. Β' Πέτρ. 1,4. 3. Πρβλ. Α' Τιμ. 6,16. 4. Γεν. 6,3. 5. Ἀγγ. 2,4-5.

νόμιμά μου δέχεσθε, ἃ ἐγὼ ἐντέλλομαι ἐν Πνεύματί μου τοῖς δούλοις μου τοῖς προφήταις»[1]· Ἡσαΐας ἀπὸ τοῦ Πατρὸς πρὸς τὸν Υἱόν· «Τὸ Πνεῦμα τὸ ἐμόν, ὅ ἐστιν ἐπὶ σοί, καὶ τὰ ῥήματα, ἃ δέδωκα εἰς τὸ στόμα σου, οὐ μὴ ἐκλείπῃ ἐκ τοῦ στόματός σου καὶ ἐκ τοῦ στόματος τοῦ σπέρματός σου»[2]· σπέρμα λέγων αὐτοῦ, τοὺς [456] πιστούς, οὓς καὶ εἰς υἱοθεσίαν ἐκάλεσεν. Καὶ πάλιν ἀπὸ τοῦ Υἱοῦ· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ»[3]. Ἐκπεπεράνθαι δὲ ταῦτα ἐν τῇ οἰκονομίᾳ, Ματθαῖος οὕτως εἶπεν· «Ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἡσαΐου τοῦ προφήτου λέγοντος· Ἰδοὺ ὁ παῖς μου, ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου· θήσω τὸ Πνεῦμά μου ἐπ' αὐτόν»[4]· καὶ πάλιν ἀπὸ τοῦ Πατρός· «Πνεῦμα γὰρ ἐξ ἐμοῦ ἐξελεύσεται»[5]. Καὶ ἐν τῷ Ἰεζεκιὴλ ὁ ὕψιστος Πατήρ, τὸ μὲν ἡμέτερον πνεῦμα, ἡμῶν πνεῦμα· τὸ δὲ Ἅγιον Πνεῦμα, ἴδιον ἑαυτοῦ ἐξονομάζει, ἅτε ἐξ αὐτοῦ ἐκπορευθὲν κατὰ φύσιν· «Καὶ δώσω ὑμῖν καρδίαν καινὴν καὶ πνεῦμα καινόν· καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην καὶ τὸ Πνεῦμά μου δώσω ἐν ὑμῖν»[6]· καὶ ἐν τῷ Ἰωήλ· «Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα»[7]. Καὶ ταῦτα τετελέσθαι Παῦλος ἔγραψε Τίτῳ· «Ὅτε ἐπεφάνη ἡ χάρις ἡ σωτήριος ἡμῶν, οὐκ ἐξ ἔργων, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως Πνεύματος Ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως διὰ Ἰησοῦ Χριστοῦ»[8]. Πότε δὲ ἐξέχεεν; Ὅτε ὁ Χριστὸς ἐμφυσῶν ἔλεγεν· «Λάβετε Πνεῦμα Ἅγιον»[9]. Εὖ δὲ καὶ τὸ «ἐξέχεεν», ἅτε ὕδωρ ἐξ αὐτοῦ ὁμοουσίως ἐκπορευθὲν καὶ μύρον θεϊκὸν καθὰ εὐκαίρως ἐν τοῖς ἁρμόζουσιν τόποις δειχθήσεται πρὸς ἡμῶν· καί τό· «Ἐπὶ πᾶσαν σάρκα»[10]. Αἱ γὰρ λέξεις αὗται, ἐπὶ τῆς ἐν ὁμάδι μεθεκτῆς οὐσίας τῆς Ἁγίας Τριάδος ἁρμόζουσιν, ἀλλ' οὐκ ἐπὶ κτιστῆς ἀμεθέκτου λογικῆς φύσεως. Οὐ γάρ που ἐγράφη οὔτε λέγειν πιθανόν, Ἐκχεῶ ἀπὸ τοῦ ἀρχαγγέλου καὶ οὐδὲ οὕτως ἀπολελυμένως, ἀλλ' «Ἐπὶ πᾶσαν σάρκα»[11]. Καὶ Δαυΐδ δὲ ἱκετεύων βοᾷ· «Τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ»[12]· καὶ πάλιν· «Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ»[13]· καὶ Ματθαῖος ἀπὸ τοῦ Υἱοῦ· «Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρός μου τὸ λαλοῦν ἐν ὑμῖν»[14]· ὅ ἐστιν, Οὐχ ὑμεῖς οἱ κτιστοί, ἀλλὰ τὸ ἄκτιστον Πνεῦμα τοῦ Θεοῦ. Γράφει δὲ καὶ Παῦλος πρὸς μὲν Κορινθίους ἐν τῇ πρώτῃ Ἐπι[457]στολῇ· «Ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν, ἡμῖν δὲ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ. Τὸ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ. Τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ;

---

1. Πρβλ. Ζαχ. 1,6. 2. Ἡσ. 59,21. 3. Ἡσ. 61,1. Λουκ. 4,18. 4. Ματθ. 12,17-18. 5. Πρβλ. Ἡσ. 57,6. 6. Ἰεζ. 36,26-27. 7. Ἰωὴλ 3,1. 8. Πρβλ. Τιτ. 3,4-6. 9. Ἰω. 20,22. 10. Ἰωὴλ 3,1. 11. Αὐτόθι. 12. Ψαλ. 50,13. 13. Ψαλ. 142,10. 14. Ματθ. 10,20.

Οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ. Ἡμεῖς δὲ οὐ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ, ἵνα ἴδωμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν»[1]. Τὰ ἡτοιμασμένα παρὰ τοῦ Θεοῦ ἀγαθὰ εἶπεν, ὅτι τὸ Πνεῦμα ἀπεκάλυψεν ὡς συνδοτήρ· καὶ Πνεῦμα αὐτοῦ, κατὰ ἀντιπαράθεσιν τοῦ ἡμετέρου πνεύματος. Καὶ ἐπασφαλιζόμενος αὖθις τὸ μὴ νομίζεσθαι αὐτὸ ὡς ἄγγελον ἢ ἄλλο πνεῦμα κτιστόν, ἐπήγαγεν· «Οὐ πνεῦμα τοῦ κόσμου ἐλάβομεν» (τοῦτ' ἔστιν γενητόν), «ἀλλὰ τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ»[2]· τοῦτ' ἔστιν, ἐξ ὑπολειπομένων, τὸ ἐκ τοῦ Θεοῦ τῆς ὑποστάσεως ἐκπορευθέν· καὶ ὡς αὐτὸ μόνον οἶδε τὰ τοῦ Θεοῦ, ὡς Κύριος καὶ ἔχον ὡσαύτως τῇ φύσει πρὸς τὸν Πατέρα. Ὁ γὰρ «δοῦλος», ὡς ἐν Εὐαγγελίῳ λέγει, «οὐκ οἶδε τί ποιεῖ ὁ κύριος αὐτοῦ»[3]. Οὐκ ἔτι δὲ ὡς ἐπὶ τοῦ ἀνθρώπου εἶπε τὸ «Κατοικοῦν ἐν τῷ Θεῷ», ἵνα μὴ σύνθετος νομισθείη ὁ ἀσύνθετος Θεός. Πρὸς δὲ Ἐφεσίους· «Μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως»[4]· πρὸς δὲ Ρωμαίους· «Ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν Πνεύματι, εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν· εἰ δέ τις Πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ»[5]· πρὸς δὲ Γαλάτας· «Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον· Ἀββᾶ ὁ Πατήρ»[6]· πρὸς δὲ Φιλιππησίους· «Οἶδα γάρ, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν, διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ»[7]. Ἄθρει δὴ οὖν, ὡς καὶ μόνον τὸ φάναι αὐτὸ «Πνεῦμα τοῦ Θεοῦ» καὶ ἡ προσθήκη δὲ τοῦ ἄρθρου τοῦ «μοῦ» καὶ «σοῦ» καὶ τοῦτο τηλαυγῶς ἐσήμανεν, ὅτι καὶ ἄκτι**[460]**στόν ἐστιν καὶ Θεὸς τοὔνομα ἔχον οὐκ ἐπακτόν, ἀλλ' ἀπὸ τοῦ εἶναι ἐκεῖνο φυσικῶς, τοῦτο ὅπερ καὶ προσηγόρευται. Καὶ τὸ γεγράφθαι δὲ αὐτὸ «Πνεῦμα τοῦ Υἱοῦ»[8], ὁμοίως τὴν πρὸς αὐτὸν κοινωνίαν τῆς φύσεως ἐδήλωσε καὶ ὥστε μὴ κτίσμα αὐτοῦ νομισθῆναι. Πῶς γὰρ ἂν τῷ ἰδίῳ Πατρί, ὡς οὐκ ἔχοντι πρὸ τούτου ἐξ ἑαυτοῦ, ἔκτισεν ὁ Υἱὸς τοῦθ' ὅπερ ἐστί τε καὶ γέγραπται Πνεῦμα Θεοῦ; Ὅπερ οὐ βλάσφημόν ἐστι μόνον, ἀλλὰ καὶ ἠλίθιον. Νοηθείη δὲ ἂν «Πνεῦμα Χριστοῦ»[9], τοῦτ' ἔστι δύναμις Χριστοῦ, ὃν τρόπον εἴρηται· «Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν»[10]. Ἐπειδὴ γὰρ ἐκ τοῦ ἑνὸς Πατρὸς φύσει καὶ οὐ δημιουργικῇ ἐνεργείᾳ προῆλθον αἱ μακάριαι ὑποστάσεις αὗται, εἰς τὸν αὐτὸν ἕνα ἀνάγονται. Ἵνα γὰρ μή τις ὑποπτεύσῃ ἀρχὴν αὐτοῦ εἶναι ἢ πέρας, ἀλλ' ἀπὸ τῆς κατὰ τὴν φύσιν αὐτοῦ προόδου πιστεύσῃ ἀληθῶς αὐτὸ Πνεῦμα εἶναι τοῦ Θεοῦ, ἀναπνευσθὲν ἀνάρχως, καὶ οὐ γενόμενον ὡς ἓν τῶν ἄλλων λειτουργικῶν πνευμάτων· διδάσκων ὁ Κύριος ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ, λέγει· «Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς

---

1. Α' Κορ. 2,9-12. 2. Α' Κορ. 2,12. 3. Ἰω. 15,15. 4. Ἐφ. 4,30. 5. Ρωμ. 8,9. 6. Γαλ. 4,6. 7. Φιλιπ. 1,19. 8. Γαλ. 4,6. 9. Πρβλ. Ρωμ. 8,9. 10. Α' Κορ. 1,24.

ἐκπορεύεται»[1]. Οὐκ εἶπε δέ, κτίζεται. Πᾶσα μὲν γὰρ γέννησις καὶ ἐκπόρευσις, διὰ τῶν ἴσων καὶ ὁμοίων ἐπιτελεῖται· μάλιστα δὲ διαφερόντως ἡ ἀπὸ τοῦ ἑνὸς Πατρὸς καθ' ἕνωσιν τῆς ἑαυτοῦ θεότητός ἐστι γέννησις καὶ ἐκπόρευσις. Ἀλλ' ἐπὶ μὲν τῶν κτισμάτων ἡγεῖται τῷ χρόνῳ ὁ πρωτότυπος· ἐπὶ δὲ τοῦ Θεοῦ οὐχ οὕτως, ἀλλὰ συνυφεστώτως καὶ συμπροεληλυθότως. Συνᾴδων δὲ τῷ Κυρίῳ καὶ Ἰωάννης ἐκήρυξε τοῦ Ἁγίου Πνεύματος τὸ πρὸς τὸν Πατέρα ἴσον καὶ ἀπαράλλακτον, ὅλον, ὡς ἂν εἴποι τις, τὸν ἀπερίγραφον Θεὸν Πατέρα περιλαμβάνον, καὶ παρὰ πιστοῖς εὑρισκόμενον δείκνυσιν, εἰπών· «Ἐν τούτῳ γάρ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ἐκ τοῦ Πνεύματος αὐτοῦ, οὗ ἔδωκεν ἡμῖν»[2]· ὃν τρόπον ὁ Υἱὸς εἶπεν· «Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα»[3]· καί· «Ἐγὼ παρὰ τοῦ Πατρὸς ἐξῆλθον»[4]. Οὐδὲν γὰρ ὅλως κατ' οὐσίαν ἢ κατὰ χρόνον ἢ δόξαν ὕφεσιν ἔχον, δύναται τὴν ὅλην ἐκφαίνειν ἀλήθειαν ἢ ὁμοειδὲς τυγχάνειν καὶ ἴσην **[461]** ἔχειν ἐπίγνωσιν· οὔτε δέ τις τύχοι ἂν μετοχῆς θεότητος ἀληθοῦς διὰ κτίσματος· δίδοται δὲ τὸ Ἅγιον Πνεῦμα, οὐ κατατομῆς μερισμοῖς, ἀλλὰ τῷ λόγῳ τῆς μετουσίας καὶ τοῦ μὴ νοεῖσθαι ἑτεροφυῶς ἢ ἑτερογνώμως τοῦ Πατρὸς οἰκεῖν ἐν ἡμῖν. Ἔδειξε δὲ ἅμα ὁ τῆς βροντῆς υἱός[5], ὡς ἔνθα ἐστὶ τὸ Ἅγιον Πνεῦμα, πάρεστιν ὁ Θεὸς Πατήρ, οὗ Πνεῦμά ἐστιν· ὅπερ καὶ αὐτὸς ὁ Θεὸς προανεφώνησεν εἰπών· «Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω· καὶ ἔσομαι αὐτῶν Θεὸς καὶ αὐτοὶ ἔσονταί μου λαός»[6]. Ὡς πάλιν τὸ ἀντικείμενον δηλοῖ, ὅτι εἴ τις τὸ Πνεῦμα τοῦ Θεοῦ ὡς Θεὸν ἀληθινὸν οὐκ ἔχει, οὐδὲ τὸν Πατέρα ἔχει· παρ' οἷς δὲ μὴ οὗτός ἐστιν οὐδὲν ἀληθὲς οὐδ' ἀσφαλὲς οὐδὲ βέβαιον. Ὡς τὸ ἔμπαλιν· Ὁστισοῦν λέγων περὶ αὐτοῦ, κἂν αἱρετικὸς ὢν τύχοι, ἐὰν ἐρωτηθῇ περὶ ποίου διαλέγεται πνεύματος, λέγῃ, «τοῦ Ἁγίου»· καὶ εἰ αὖθις πάλιν πεῦσις αὐτῷ προσενεχθείη, «ποίου ἁγίου», ἀνάγκη αὐτὸν εἰπεῖν εἰς φανερωτάτην δήλωσιν «τοῦ Πνεύματος τοῦ Θεοῦ», ὡς τῶν ἄλλων μὴ οὐσιωδῶς ὄντων αὐτοῦ. Μοχθηροὶ δὲ ἑαυτοῖς τε καὶ τοῖς ἀκούουσι γινόμενοι αἱρετικοί, βιαίοις ἐπιχειρήσεσιν συκοφαντοῦσι τοὺς ἡμῶν καὶ αὐτῶν ἀμείνους καὶ μέγιστον διαφέροντας καὶ περὶ τοῦ Ἁγίου Πνεύματος χρήσαντας ἁγίους, οἷς οὐκ ἐναντία νομοθετητέον. Φασὶ γὰρ κατὰ λέξιν οὕτως· Ὅταν οὖν λέγῃ ὁ Θεός· «Ὁ παῖς μου Ἡσαΐας»[7]· καὶ «Υἱὸς πρωτότοκός μου Ἰσραήλ»[8], ἡ «μου» συλλαβὴ ἔχειν τι κοινὸν τὴν ἀνθρωπείαν φύσιν πρὸς τὴν τοῦ Θεοῦ δείκνυσιν; Ὥσπερ οὖν, φησί, τοῦτο εἶπεν ὡς τοῦ εἶναι αὐτοῖς αἴτιος, οὕτως καὶ τὴν ψύχωσιν αὐτῶν «Πνεῦμά μου» προσεῖπεν. Εἴ τις δὲ αὐτοῖς τῆς ἀληθείας καὶ ἀκριβείας λόγος ὑπῆν, οὐκ ἂν τηλικαῦτα ἔπταιον. Πρῶτον μὲν γὰρ αὐτῷ τῷ φάναι Ἡσαΐαν καὶ Ἰσραὴλ ἀνθρώπους ἐδήλωσε·

---

1. Ἰω. 15,26. 2. Πρβλ. Α' Ἰω. 3,24. 3. Ἰω. 14,9. 4. Πρβλ. Ἰω. 16,28. 5. Πρβλ. Μάρκ. 3,17. 6. Β' Κορ. 6,16. Πρβλ. Λευϊτ. 26,12. 7. Ἡσ. 20,3. 8. Ἐξ. 4,22.

προσέθηκε δὲ κατ' ἐξαίρετον αὐτοῖς τὸ «μοῦ» ὡς αὐτῷ ταῖς πράξεσι προσήκουσιν. Τὸν Ἡσαΐαν δὲ παῖδα ἐκάλεσε, τοῦτ' ἔστιν οἰκέτην· τὸν δὲ Ἰσραὴλ πρωτότοκον, ὡς πρῶτον ἀρξάμενον λατρεύειν αὐτῷ, καὶ ὄντα τῇ περὶ αὐτὸν διαθέσει, καὶ φροντίδι τοῦ Θεοῦ, ἐν τάξει υἱοῦ. Ὥστε τὸ «μοῦ» ἐπὶ μὲν τοῦ ἀληθινοῦ Υἱοῦ καὶ τοῦ ἀληθινοῦ Πνεύματος λεγόμενον παρὰ τοῦ Θεοῦ, τὴν οἰκείωσιν τῆς φύσεως δηλοῖ· ἐπὶ δὲ τῶν ἄλλων πάντων, τὸ αὐτῷ κατὰ δεσποτείαν ἢ πίστιν διαφέρειν· ὡς καὶ ἡμεῖς εἰώθαμεν λέγειν, ἐπὶ μὲν τῶν ὁμοουσίων ἡμῖν· «Ὁ υἱός μου, τὸ πνεῦμά μου»· ἐπὶ δὲ τῶν ἄλλων «Ὁ ἀγρός μου, ὁ ἵππος μου», ἀλλὰ καὶ «ὁ Θεός μου». Ὃν τρόπον γὰρ τὸν τῆς θείας φύσεως ἐνυπόστατον Λόγον, οὐ τὸ ἁπλῶς καὶ ἀπολελυμένως **[464]** εἰρῆσθαι Υἱὸν καὶ Μονογενῆ καὶ Λόγον τοῦ Θεοῦ καὶ Χριστόν, δείκνυσι γεγενῆσθαι ἐκ τῆς ὑποστάσεως τοῦ Θεοῦ, ἀλλὰ τὸ ἔχειν συνημμένην τὴν συλλαβὴν τοῦ «μου» καὶ «σου» (ὡς ἡνίκα ὁ μὲν Θεὸς λέγῃ· «Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός»[1]· καὶ πάλιν· «Ὁ λόγος μου ὁ ἀγαθός»[2]· καί, «Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου»[3]· ἡμεῖς δὲ ἀνευφημοῦμεν, Ὁ Υἱός σου· ὁ Μονογενής σου· ὁ Χριστός σου· οὐδέ γε μὴν τὸ ὁμωνύμως ἢ συνωνύμως περὶ ἡμῶν γεγράφθαι «Υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι;»[4] ἐξέλκει τὸν Υἱὸν τοῦ Θεοῦ ἡ ὁμωνυμία τῆς θεότητος· οὕτω τὸ Ἅγιον Πνεῦμα, οὐ τὸ ἁπλῶς εἰρῆσθαι Πνεῦμα, ἀλλὰ τὸ συνῆφθαι τῷ ὀνόματι ἢ ὡς ἀπὸ τοῦ Θεοῦ τὸ «μου» ἢ ὡς ἀπὸ τῆς κτίσεως τὸ «σου» ἢ καὶ τὴν «ἅγιος» ἢ «ἄφθαρτος» ἢ «αἰώνιος» λέξιν δηλοῖ ἐκπεπορεῦσθαι αὐτὸ ἐκ τῆς πατρικῆς ὑποστάσεως· οὐδέ γε μὴν τὸ ὁμωνύμως εἰρῆσθαι τὰ λειτουργικὰ καὶ τὰ ἡμῶν πνεύματα ἢ ἅγια ἢ αἰώνια ἐξέλκει αὐτὸ τοῦ κατὰ φύσιν εἶναι ἀληθινὸν Πνεῦμα τοῦ Θεοῦ. Καὶ ἐν τοῖς αἰνίγμασι γὰρ αὐτοῖς τοῖς περὶ αὐτοῦ εὑρίσκεταί τις πάντως δήλωσις περὶ τῆς θείας αὐτοῦ φύσεως καὶ δυνάμεως. Τὰ δὲ κτίσματα πρὸς τὴν ἑαυτῶν φύσιν ἔλαβε τὸ ἅγιον καὶ αἰώνιον, οὐ καθάπαξ ταῦτα κατὰ φύσιν ἐξ ἑαυτῶν ἔχοντα. Ἐπεὶ μή γε αὐτοὶ οὗτοι αἱρετικοὶ εὑρίσκονται κατηγοροῦντες ἑαυτῶν, ὅτι τὸ «μου» ἐπὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ τὸ «ἅγιον» καὶ τὸ «αἰώνιον» ἁπλῶς δέχονται ὡς ἀγγέλλον ταυτότητα τῆς θεϊκῆς φύσεως; Ἔπειτα πρὸς τούτοις, οὐ τὴν ψύχωσιν ἡμῶν πνεῦμα ὠνόμασεν ἐν ταῖς προκειμέναις ἀποδείξεσιν, ἀλλὰ τὸ αὐτοῦ Ἅγιον Πνεῦμα. Ἐχόντων γὰρ ἡμῶν τὸ ἴδιον πνεῦμα ἐδόθη ἡμῖν καὶ τὸ τοῦ Θεοῦ. Εἶπε γὰρ ὁ Πατήρ· «Οὐ μὴ καταμείνῃ τὸ Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις»[5]· καὶ ὁ Υἱός· «Λάβετε Πνεῦμα Ἅγιον»[6]. Δῆλον δέ, ὡς τοῖς ἤδη ἔχουσι τὸ οἰκεῖον ἡμῶν πνεῦμα ἐλέγετο περὶ τοῦ θεϊκοῦ Πνεύματος. Καθὰ τοίνυν ὁ Υἱὸς Λόγος τοῦ Θεοῦ, υἱικῶς γεννητικός· οὕτω τὸ Ἅγιον Πνεῦμα πνευματικῶς ἐκπορευτικὸν καὶ οὐ δημιουργικῶς. Καὶ ὡς οὐδεμία παραλλαγὴ οὐσίας καὶ δυνάμεως καὶ δόξης τῷ μονογενεῖ Υἱῷ πρὸς

1. Ματθ. 3,17. 2. Πρβλ. Ψαλ. 44,2. 3. Ψαλ. 131,17. 4. Ψαλ. 4,3. 5. Γεν. 6,3. 6. Ἰω. 20,22.

τὸν Θεὸν Πατέρα, διαφορὰ δὲ πᾶσα, εἴ γε θέμις τοῦτο φάναι, πρὸς τὴν κτίσιν· οὕτω καὶ τῷ ἑνὶ θεϊκῷ Πνεύματι. Τὸ οὖν μηδὲ ἀκούειν τὰ αἱρετικῶν τοῦ μὴ καὶ προσιέμενον αὐτὰ ἀκούειν δικαιότερον.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

[465] Περὶ τοῦ ἐκ διαφόρων ὀνομάτων σημαίνεσθαι τὴν θεϊκὴν φύσιν τοῦ Ἁγίου Πνεύματος.

Ὃ δὲ ἐλέγομεν ἐξ ἀρχῆς, δεύτερον μαρτυροῦσι τὰ λόγια, ὅτι διάφορα θεοπρεπῆ ὀνόματά ἐστι τῷ Πνεύματι τοῦ Θεοῦ πολλήν τε ἄλλην ἔμφασιν ἐπηρμένην καὶ σχέσιν ὑπερτέραν πάντων καὶ τῷ Πατρὶ καὶ τῷ Υἱῷ συνεχῆ καὶ κρείττονα τῆς πρεπωδεστάτης ἑρμηνείας συνεισφέροντα τοῖς προκειμένοις θεωρήμασι· καὶ ἔτι ἀναπλοῦντα ἔνια μὲν τὴν θεϊκὴν αὐτοῦ φύσιν, ἔνια δὲ τὴν αὐθεντικὴν δύναμιν καὶ παραμυθούμεθα τὴν ἀδυναμίαν ἡμῶν τὴν περὶ τὸ ἀξίως ἐφικέσθαι αὐτοῦ ἢ ἑρμηνείᾳ ῥημάτων ἢ θεωρίᾳ νοῦ καὶ παρρησίαν παρέχοντα, ἀκινδύνως ὁμοούσιον τοῦ Θεοῦ καλεῖν αὐτὸ καὶ πιστεύειν τῷ ἁγιασμῷ αὐτοῦ. Καὶ οὐχ εὑρίσκομεν οὐδὲν τῶν ἄλλων πνευμάτων καταξιωθὲν κληθῆναι τοῖς ὀνόμασι τούτοις. Τὸ δὲ μόνως καὶ φύσει ὑπάρχον ταῦτα, οὐδέν ἐστι τῶν πάντων, ἀλλὰ Θεός. Ἔστι δὲ τὰ ὀνόματα τάδε· Πνεῦμα Ἅγιον, ὡς πανταχοῦ γέγραπται· Πνεῦμα ἁγιωσύνης καὶ ἁγιάζον, ὡς γράφει Ρωμαίοις «Παῦλος, δοῦλος Ἰησοῦ Χριστοῦ, κλητὸς ἀπόστολος, ἀφωρισμένος εἰς Εὐαγγέλιον Θεοῦ, ὃ προεπηγγείλατο διὰ τῶν προφητῶν αὐτοῦ ἐν Γραφαῖς ἁγίαις περὶ τοῦ Υἱοῦ αὐτοῦ, τοῦ γενομένου ἐκ σπέρματος Δαυῒδ κατὰ σάρκα, τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ ἐν δυνάμει κατὰ Πνεῦμα ἁγιωσύνης»[1]· καὶ πάλιν· «Ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος ἡγιασμένη ἐν Πνεύματι Ἁγίῳ»[2]· καὶ ἑτέρωθι· «Ἡμεῖς δὲ ὀφείλομεν εὐχαριστεῖν τῷ Θεῷ πάντοτε περὶ ὑμῶν, ἀδελφοὶ ἠγαπημένοι ὑπὸ Κυρίου, ὅτι εἵλετο ὑμᾶς ὁ Θεὸς ἀπαρχὴν εἰς σωτηρίαν, ἐν ἁγιασμῷ Πνεύματος, καὶ πίστει ἀληθείας»[3]. Πνεῦμα δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ, ὡς Παῦλος ἐν δευτέρᾳ Ἐπιστολῇ πρὸς Τιμόθεον ἔγραψεν· «Οὐ γὰρ ἔδωκεν ὑμῖν ὁ Θεὸς **[468]** πνεῦμα δουλείας, ἀλλὰ Πνεῦμα δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ»[4]· καὶ πρὸς Ῥωμαίους· «Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος»[5]· καὶ ἑτέρωθι· «Ὁ δὲ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη»[6]· ὅμοιον τῷ «Ὁ Θεὸς ἀγάπη ἐστὶ»[7] καὶ τῷ «Μετέστησεν εἰς τὴν βασιλείαν τοῦ Υἱοῦ τῆς ἀγάπης αὐτοῦ»[8]. Καὶ «Καθὼς

---

1. Ρωμ. 1,1-4. 2. Ρωμ. 15,16. 3. Β' Θεσ. 2,13. 4. Πρβλ. Β' Τιμ. 1,7. 5. Ρωμ. 15,30. 6. Γαλ. 5,22. 7. Α' Ἰω. 4,8. 8. Κολ. 1,13.

ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν»[1]· καὶ πάλιν· «Τοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με»[2]· ὅμοιον καὶ τῷ «Ἀπ' ἄρτι ὄψεσθε τὸν Υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως[3] τοῦ Πατρός»· καὶ τῷ «Ἐγὼ ἔγνων δύναμιν ἐξελθοῦσαν ἐξ ἐμοῦ»[4]. Πνεῦμα σοφίας καὶ συνέσεως· Πνεῦμα βουλῆς καὶ ἰσχύος· Πνεῦμα γνώσεως καὶ εὐσεβείας[5]· Πνεῦμα φόβου Θεοῦ · Πνεῦμα κρίσεως καὶ καύσεως[7], ὡς Ἠσαΐας προφητεύει· καὶ ὡς ἡ Σοφία λέγει· « Φιλάνθρωπον γὰρ Πνεῦμα σοφίας»[8]· καὶ ὡς Μωϋσῆς ἐν τῇ Ἐξόδῳ διηγεῖται· «Ἰδοὺ ἀνακέκληκεν ὁ Θεὸς ἐξ ὀνόματος τὸν Βεσελεὴλ τὸν τοῦ Οὐρί, τὸν τοῦ Ὤρ, ἐκ φυλῆς Ἰούδα, καὶ ἐνέπλησεν αὐτὸν Πνεῦμα θεῖον σοφίας, καὶ συνέσεως, καὶ ἐπιστήμης»[9] καὶ κατὰ τὸν Βαρούχ· «Ἐγκατέλιπε τὴν πηγὴν τῆς σοφίας»[10]· καὶ ὡς αἱ Παροιμίαι διδάσκουσιν· «Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, ἡτοίμασε δὲ οὐρανοὺς ἐν φρονήσει»[11]· καθὰ περὶ τοῦ Θεοῦ Πατρὸς Ἠσαΐας εἶπεν· «Αὐτὸς σοφὸς ἦγεν ἐπ' αὐτοὺς κακά»[12]. Περὶ δὲ τοῦ Μονογενοῦς Παῦλος ἔφη· «Χριστός, Θεοῦ δύναμις καὶ Θεοῦ σοφία»[13]· καὶ ἄλλος· «Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με»[14]. Πνεῦμα πραότητος, καθὰ Παῦλος νουθετεῖ Γαλάτας· «Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον ἐν Πνεύματι πραότητος»[15]. Πνεῦμα παιδείας, τοῦτ' ἔστι σοφίας. Ἡ γὰρ Σοφία λέγει· «Πνεῦμα παιδείας φεύξεται δόλον καὶ ἀπαναστήσεται ἀπὸ λογισμῶν ἀσυνέτων»[16]. Πνεῦ[469]μα υἱοθεσίας, ὡς Παῦλος τὸ πρῶτον Ῥωμαίοις ἐπέστειλεν· «Ὅσοι γὰρ Πνεύματι Θεοῦ ἄγονται, οὗτοι υἱοὶ Θεοῦ εἰσιν. Ὅτι γὰρ ἐλάβετε Πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ Πατήρ, αὐτὸ τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ»[17]. Πνεῦμα ἐπαγγελίας, κατὰ τὸν αὐτὸν ἀπόστολον Ἐφεσίοις γράφοντα· «Ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ Ἁγίῳ ,ὅς ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν»[18]· καὶ πρὸς Γαλάτας· «Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα. Γέγραπται γάρ· Ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου· ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ, ἵνα τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λάβωμεν διὰ τῆς πίστεως»[19]. Πνεῦμα πίστεως καὶ ἀποκαλύψεως κατὰ τὸν αὐτόν, Κορινθίοις δηλοῦντα ἐν τῇ δευτέρᾳ Ἐπιστολῇ· «Ἔχοντες δὲ τὸ αὐτὸ Πνεῦμα τῆς πίστεως»[20]· καὶ πάλιν· «Ἡμῖν δὲ ὁ Θεὸς ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ»[21]. Ὅμοιον οὖν Ῥωμαίοις ἐδήλωσεν· «Πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ»[22]· καὶ τῷ ὑπὸ Μωϋσέως

1. Ἐφ. 5,25. 2. Γαλ. 2,20. 3. Ματθ. 26,64. 4. Λουκ. 8,46. 5. Ἠσ. 11,2. 6. Ἠσ. 11,3. 7. Ἠσ. 4,4. 8. Σοφ. Σολ. 1,6. 9. Ἐξ. 35,30-31. Πρβλ. Ἐξ. 31,2-3. 10. Πρβλ. Βαρ. 3,12. 11. Παρμ. 3,19. 12. Ἠσ. 31,2. 13. Α' Κορ. 1,24. 14. Ψαλ. 15,7. 15. Γαλ. 6,1. 16. Σοφ. Σολ. 1,5. 17. Ρωμ. 8,14-16. 18. Ἐφ. 1,13-14. 19. Γαλ. 3,13-14. 20. Β' Κορ. 4,13. 21. Α' Κορ. 2,10. 22. Α' Κορ. 1,9.

ἐν τῷ Δευτερονομίῳ λεχθέντι· «Καὶ γνώσῃ σήμερον, ὅτι Κύριος ὁ Θεός σου, οὗτος Θεός, ὁ Θεὸς ὁ πιστός»[1]· καὶ τῷ Ψάλλοντι· «Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ»[2].

Πνεῦμα ἡγεμονικόν[3], Πνεῦμα εὐθές[4], κατὰ τὸν Δαυῒδ ἐν τῷ ν' ἐξομολογούμενον. Ὁμοίως τῷ Ψάλλοντι ἐν λβ'· «Ὅτι εὐθὺς ὁ Λόγος τοῦ Κυρίου, [472] καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει»[5]· καὶ τῷ Μωϋσεῖ λέγοντι· «Εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ»[6]. Πνεῦμα χάριτος, καθὰ ὁ Ἀπόστολος Ἑβραίοις ἐπιστέλλει· «Ὁ τὸν Υἱὸν τοῦ Θεοῦ καταπατήσας καὶ τὸ Πνεῦμα τῆς χάριτος ἐνυβρίσας»[7]. Καὶ γὰρ ὁ αὐτὸς ἔγραψε, περὶ μὲν τοῦ [473] Πατρός· «Χάριτι Θεοῦ εἰμι ὅ εἰμι, καὶ ἡ χάρις αὐτοῦ ἡ εἰς ἐμέ»[8]· περὶ δὲ τοῦ Υἱοῦ· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[9]. Πνεῦμα ἀληθείας, ὡς Ἰωάννης ἀπὸ τοῦ Σωτῆρος εὐαγγελίζεται· «Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε· κἀγὼ ἐρωτήσω τὸν Πατέρα καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, ἵνα ᾖ μεθ' ὑμῶν εἰς τὸν αἰῶνα, τὸ Πνεῦμα τῆς ἀληθείας»[10]· καὶ πάλιν ἐν τῇ πρώτῃ αὐτοῦ Ἐπιστολῇ· «Καὶ τὸ Πνεῦμά ἐστι τὸ μαρτυροῦν, ὅτι τὸ Πνεῦμά ἐστιν ἡ ἀλήθεια»[11]· ὁμοιότροπον τοῦ εἰπεῖν τὸν Υἱόν· «Ἐγώ εἰμι ἡ ἀλήθεια»[12]. Πνεῦμα θεῖον καὶ πνοὴ Παντοκράτορος[13] καὶ φιλάνθρωπον[14] κατὰ τὴν φράσιν Ἰὼβ καὶ τὴν πρὸ ὀλίγων στιχιδίων ἐν τῷ κεφαλαίῳ τούτῳ μνημονευθεῖσαν Μωϋσέως. Ἀνευφημήθη καὶ φῶς, τὸ Ἅγιον Πνεῦμα, ἐν ᾧ καὶ ὑφ' οὗ φωτιζόμεθα, ὡς ἡνίκα ὁ Ἀπόστολος γράφει· «Ἵνα δῴη ὑμῖν Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, ἐν ἐπιγνώσει αὐτοῦ, πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας»[15]· καὶ ὡς Δαυῒδ ψάλλει· «Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς· ἐν τῷ φωτί σου ὀψόμεθα φῶς»[16]· τοῦτ' ἔστιν, Ἐν τῷ Υἱῷ σου τῷ ἀπαυγάσματι τῆς δόξης σου[17], τὸ Ἅγιόν σου Πνεῦμα. Καί· «Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε»[18]. Τί γὰρ ἂν εἴη ἄλλο τὸ Πνεῦμα ὃ παρὰ τοῦ Πατρὸς ἢ ἐκ τοῦ φωτὸς ἐκπορεύεται[19], περὶ οὗ Ἰωάννης ὕμνησεν ἐν μὲν τῇ πρώτῃ Ἐπιστολῇ «Φῶς ὁ Θεός»[20], ἐν δὲ Εὐαγγελίῳ περὶ τοῦ Μονογενοῦς «Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον»[21] καὶ «Ἐγώ εἰμι τὸ φῶς[22], ἐγώ εἰμι ἡ ζωή»[23]; Οὐδὲν δὲ θαυμαστόν, εἰ ἓν ὄν, καὶ ἀεὶ ὡσαύτως ἔχον, διαφόροις προσηγορίαις δοξάζεται. Τῷ γὰρ ἀπερίληπτον εἶναι θνητῶν λόγων τὴν ἄφραστον αὐτοῦ θεότητα, κατὰ δύναμιν τὰς εἰς ἡμᾶς αὐτοὺς γινομένας ἐνεργείας ὑμνοῦντες διαφόροις καὶ τοῖς ὀνόμασι προσχρώμεθα.

---

1. Δευτ. 7,9. 2. Ψαλ. 144,13α. 3. Πρβλ. Ψαλ. 50,14. 4. Πρβλ. Ψαλ. 50,12. 5. Ψαλ. 32,4. 6. Πρβλ. Δευτ. 32,4. Ψαλ. 24,8. 7. Ἑβρ. 10,29. 8. Α' Κορ. 15,10. 9. Ρωμ. 16,20. 10. Ἰω. 14,15-17. 11. Α' Ἰω. 5,6. 12. Ἰω. 14,6. 13. Ἰὼβ 33,4. 14. Πρβλ. Σοφ. Σολ. 1,6. 15. Ἐφ. 1,17-18. 16. Ψαλ. 35,10. 17. Πρβλ. Ἑβρ. 1,10. 18. Ψαλ. 4,7. 19. Πρβλ. Ἰω. 15,26. 20. Πρβλ. Α' Ἰω. 1,5. 21. Ἰω. 1,9. 22. Ἰω. 8,12. 23. Ἰω. 14,6.

[476] Οἱ δὲ τὸ Μακεδονίου πρεσβεύοντες δόγμα, τῆς αἱρήσεως αὐτῶν μᾶλλον ἢ τἀληθοῦς γινόμενοι, οὐδέν τι συμβαῖνον τοῖς τῶν λογίων βλέπουσιν. Συναρπακτικῶς γὰρ μυθεύονται ῥήμασιν αὐτοῖς, ὡς· Οὐ χρὴ ὁμωνυμίαις ἢ συνωνυμίαις ἢ ὁμοιολεξίαις προσέχειν. Τοῦ γὰρ Θεοῦ, φησίν, τὸ «Ἀγαθὸς» ὄνομα, τῷ «εἷς Θεὸς» συμπέπλεκται· ἐπὶ δὲ τῷ Ἁγίῳ Πνεύματι τῷ «Ἀγαθὸς» ὀνόματι οὐ συνέζευκται τὸ «εἷς Θεός». Καὶ πάλιν· Ἀγαθός, φησίν, ἐγράφη εἶναι καὶ ἄνθρωπος ὡς ἡνίκα λέγει· «Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς»[1]· καί, «Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ ἐκβάλλει ἀγαθά»[2]. Ὁμοίως δέ, φησίν, ἀγαθὰ ὁμωνύμως καὶ ἄψυχα· ὡς ὅταν προφητεύῃ· «Ἐὰν θελήσητε καὶ ἀκούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε»[3]. Ἀλλὰ καὶ ἐπὶ ἀνυποστάτων δῆθεν πραγμάτων εἴρηται· «Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ»[4]. Ὁμοίως ὁ ἅγιος, φησί, καλεῖται καὶ ἄνθρωπος. Δύναμίς τε Θεοῦ, φησί, καὶ σκώληξ ἡ γράφει· «Ἡ κάμπη, ἡ δύναμίς μου ἡ μεγάλη»[5]· καὶ ὁ Σωτὴρ δέ· «Αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται»[6]· καὶ τοῦτο μὲν (φημὶ δὲ τὸ μὴ προσέχειν ὁμωνυμίαις καὶ ὁμοιολεξίαις) λόγον ἔχει ἐπὶ τοῖς ἑτεροειδέσιν καὶ ἑτεροουσίοις, οὐ μέντοι ἐπὶ τοῦ Ἁγίου Πνεύματος καὶ ἐκείνου οὗ Πνεῦμά ἐστιν ἔτι μὴν καὶ τοῦ Υἱοῦ. Προστιθεῖσα γὰρ ἡ Γραφὴ τὴν ἀπὸ ἑαυτῆς ἀσφάλειαν ταῖς ὁμωνυμίαις ἢ συνωνυμίαις συμφράζει τὴν «μοῦ» ἢ «σοῦ» συλλαβὴν ἢ τὴν «ἅγιος» ἢ «ἀγαθὸς» λέξιν· τοῦτ' ἔστιν ἢ ὡς ἀπὸ τοῦ Θεοῦ λέγει «Τὸ πνεῦμά μου»[7]· ἢ ὡς ἀπὸ τοῦ Δαυῒδ καὶ ἡμῶν· «Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με»[8]. Πείθεσθαι οὖν δεῖ οἷς πολλῷ λυσιτελέστερον, ταῖς μνημονευθείσαις γραφικαῖς μαρτυρίαις λέγω, καὶ εἰδέναι, ὡς τὸ Ἅγιον Πνεῦμα τὴν ὁμωνυμίαν ἢ συνωνυμίαν καὶ τὰς ὁμοιολεξίας πρὸς τὸν Θεὸν ἔχει, καὶ τὸν μονογενῆ αὐτοῦ Υἱόν, τοὺς τοῖς ὁμοίοις ὀνόμασιν ὑμνηθέντας, οὐ πρὸς τὰ κτίσματα διὰ τὴν εὑρισκομένην ἔσθ' ὅτε ἐν ἐκείνοις ὁμωνυμίαν. Ταῦτα γάρ, εἰ καὶ δοίημεν ὀνόματί τινι ἢ λέξει Θεῷ κοινωνεῖν, ἀλλ' οὐκ οὐσίᾳ οὐδὲ ἐνεργείᾳ **[477]** δυνάμεως καὶ ἁγιασμοῦ. Οὐδὲ γὰρ φύσει ταῦτα καθ' ἅπαξ ὑπάρχουσι· κατὰ σύγκρισιν δὲ τοῦ κακοῦ τὸ ἀγαθόν, καὶ τοῦ ἁμαρτήματος, ἤτουν τοῦ πάθους, τὸ ἅγιον τέτακται· τὸ γὰρ μὴ λίαν κακὸν καὶ ἁμαρτωλόν, ἤτουν ἐμπαθές, ἀγαθὸν καὶ ἅγιον ἐνθάδε προσείρηται. Ὡς γὰρ κακία καὶ ἁμαρτία, ἤτουν πάθος καὶ ἀδυναμία ἐν τῷ ἑνὶ Ἁγίῳ Πνεύματι οὐχ εὑρίσκεται, ἅτε ἀγενήτῳ· οὕτως ἐν οὐδενὶ τῶν γενητῶν, τὸ ἀγαθὸν καὶ ἅγιον καὶ δυνατὸν κατὰ τὸ τέλειον, ἀλλὰ κατὰ μετουσίαν· ὅπου δὲ οὐδαμοῦ ταῦτα κατὰ τὸ τέλειον οὐδαμοῦ τὸ ἀγένητον. Ἔνθα γὰρ σκότος, οὐδαμοῦ τὸ φῶς· καὶ «ὅπου νύξ, οὐχ ἡμέρα. Ὅθεν» (εἴρηται καὶ τῷ Ἑρμῇ τῷ ἐπίκλην Τρισμεγίστῳ) «ἀδύνατον ἐν γενέσει εἶναι τἀγαθόν, ἐν μόνῳ δὲ τῷ ἀγενήτῳ. Ὥσπερ δὲ μετουσία πάντων ἐστὶ τῇ ὕλῃ δεδομένη, οὕτω καὶ τοῦ ἀγαθοῦ».

1. Ψαλ. 124,4. 2. Ματθ. 12,35. 3. Ἡσ. 1,19. 4. Ψαλ. 91,2. 5. Ἰωὴλ 2,25. 6. Ματθ. 24,29. 7. Ἰεζ. 36,27. 8. Ψαλ. 142,10.

Ὅμοιον τοίνυν καὶ ἴσον τὸ Ἅγιον Πνεῦμα τῆς τοῦ Πατρὸς καὶ τοῦ Μονογενοῦς θεότητος· καὶ ἐκ τῆς τῶν τοιούτων δείκνυται κρίσεως, αὐτὸ τῇ φύσει ἁγιότης καὶ ἀγαθότης καὶ δύναμις ὑπάρχον, ἅτε ἓν ὂν ἐκ τοῦ ἑνός. Ἐπεὶ πρὸς τὴν ἐκείνων ἐρισχελίαν οὔτε ὁ ἀγαθώτατος καὶ ἵλεω τὴν φύσιν Υἱὸς ἔτι ἀγαθὸς ἔσται· ἐπειδὴ μὴ συνηνωμένον ἔχει τό· «Εἷς Θεός»· οὔτε μὴν ὁ φιλανθρωπότατος καὶ ὅλος ἵλεως Πατὴρ καὶ ὁ Υἱὸς ἕξουσιν ἐπίσημα τὰ μνημονευθέντα ὀνόματα τῆς θεότητος· ἀλλὰ καὶ δι' αὐτῶν ὑποβιβασθήσονται οἷον, ὡς ἔθος λαλεῖν, αἱρετικοῖς, εἰς τοὺς ὁμωνύμους ἡμᾶς. Ἵλαθι δὲ Ἁγία Τριάς. Ἀλλ' ὁ Υἱός, φησίν, συναπογεννηθείς, ἔμφυτον ἔχει τὴν ἀγαθότητα καὶ τὰ ἄλλα ὅσα ὁ Πατήρ. Ἀλλὰ καὶ τὸ Ἅγιον Πνεῦμα συνεκπορευθὲν κατὰ φύσιν ἐστὶν ἀγαθὸν καὶ ὅσα ὁ Θεὸς Πατήρ. Εἰ μὲν οὖν περὶ τῶν τυχόντων ἢ βιοτικῶν πραγμάτων ἦν αὐτοῖς ἡ διάλεξις, καλῶς ἂν αὐτοῖς ἔσθ' ὅτε χρεία ἐγίνετο συμπλάσσειν μύθους τινὰς καὶ Ἀριστοτελικῇ δῆθεν δεινότητι καὶ τῇ ἐν λόγοις τέχνῃ, ὡς Εὐνόμιος, περιστρέφει τὸ πρᾶγμα, καὶ συσκιάζειν τὴν ἀλήθειαν· νῦν **[480]** δὲ διδάσκει Παῦλος· «Ἐὰν μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε»[1]· καί· «Ἡ σοφία τῶν ἀνθρώπων μωρία παρὰ τῷ Θεῷ»[2]. Καὶ οὐ χρὴ τὰ περὶ τοῦ ἐνδόξου Πνεύματος λόγια, τὰ μείζονα λογισμῶν ἀνθρωπίνων, κατασοφίζεσθαι. Οὐ γὰρ βλάπτει ψόγος τὸ Ἅγιον Πνεῦμα· οὐδὲ περαιτέρω τῆς ἀκοῆς προέρχονται οἱ ὀνειδισμοὶ καὶ τὰ σκώμματα τῶν αἱρετικῶν, οἷς ἐπῆλθε τὸ φαύλως φρονεῖν· ἀλλ' οἱ χρώμενοι τοιούτοις, ἀπέραντα πονήσουσι καὶ πράξουσι παραπλήσιά πως τοῖς ἐπιχειροῦσιν ἀποσκώπτειν εἰς τοῦτο τὸ φῶς, τὸ ἐκ τοῦ ἀπροσίτου φωτὸς τὴν ἰσχὺν ἔχον καὶ μιαίνειν τοῖς λόγοις αὐτό. Πιστεύειν δὲ δεῖ τὴν ἐκ τῶν ἁγίων διδασκαλίαν, τῆς παρ' ἀνθρώπων πλείονα δύνασθαι τὴν δόξαν ἐμποιεῖν. Ἡμῖν τοίνυν ἁρμόζει ἐκείνοις ἐπιμέμφεσθαι, τοῦ μὴ δι' ὑπερβολὴν εὐνοίας τῆς περὶ τὴν οἰκείαν αἵρεσιν, καθέλκειν τό γε ἐπ' αὐτοῖς τὸ θεῖον εἰς τὰ τῶν κτισμάτων ἀποτελέσματα ταῖς σοφιστείαις καὶ διὰ τούτων τίκτειν ἀπωλείας ἔρωτα τοῖς ἁπλουστέροις καὶ ἀπειροτέροις καὶ προάγειν εἰς ἐπιθυμίαν ἁμαρτημάτων μειζόνων.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Περὶ τῶν λεγόντων αἱρετικῶν· «Πνεῦμα ὁ Θεός· καὶ πῶς τοῦ Πνεύματος Πνεῦμα τὸ Ἅγιον Πνεῦμά ἐστιν;» καὶ τὰ λοιπά.

Ἀλλ' ἀποπεμπόμενοι μὲν τὰ ἁπλᾶ καὶ εὐθέα καὶ τέλεια καὶ ἀνεπιστημοσύνης ἀναπιμπλῶντες **[481]** τῶν ἱερῶν λόγων τὴν προαίρεσιν, καθ' ἣν ἐθέλει ὁ Θεὸς Πατὴρ τὸ Πνεῦμα αὐτοῦ συντάττεσθαι αὐτῷ

1. Ἡσ. 7,9. 2. Πρβλ. Α' Κορ. 3,19.

ὡς τὸν μονογενῆ Λόγον, καὶ τὸ ἐξῃρημένον αὐτοῦ ἀπὸ τῆς κτίσεως καὶ ὑπερέχον ἀσφαλίζεται, διὸ καὶ τρισαγιολογεῖται, φασίν· Πῶς τοῦ Πνεύματος Πνεῦμα τὸ Ἅγιον Πνεῦμά ἐστιν; Ὅτι δὲ τοῦτο γέγραπται, δέδεικται· τὸ δὲ πῶς, νοῦ καὶ λόγου τοῦ καθ' ἡμᾶς, ἔτι δὲ καὶ ἀγγέλων γνώσεως ἐπέκεινα τυγχάνει. Ὡς γὰρ Πνεύματος ὑπάρχοντος αὐτοῦ, ἐγεννήθη ἐξ αὐτοῦ ὁ Θεὸς Λόγος· οὕτως ἐξ αὐτοῦ καὶ σὺν αὐτῷ ἐξεφάνη τὸ Ἅγιον Πνεῦμα· δείκνυσθαί τε ἐν τούτῳ μάλιστα τὸ ἀκατάληπτον αὐτοῦ, ἐν τῷ τὸ φαινόμενον, καὶ ὃν τῇ κτίσει ἀδύνατον, εἶναι παρ' αὐτῷ δυνατόν[1]. Ἐπεὶ τίς ἡ διαφορὰ τῆς ἀναιτίου καὶ ζωοποιοῦ φύσεως καὶ τῆς δημιουργηθείσης καὶ ζωοποιουμένης; Οὐκ ἐγχωρεῖ δὲ τὸ Πνεῦμα μὴ εἶναι ὁμοούσιον καὶ ἰσότιμον ἐκείνου ἐξ οὗ ἐστι· διόπερ ἐστὶν καὶ ἅγιον φυσικῶς. Οἱ οὖν ἄγγελοι, φησίν, οὐκ εἰσὶν ἀπὸ τοῦ Θεοῦ καὶ ἅγιοι καὶ πνεύματα τοῦ Θεοῦ; Ἐκεῖνοί εἰσιν ἀπὸ τοῦ Θεοῦ, καθ' ὃ προστάξει αὐτοῦ γεγόνασιν, ὡς πάντα· ἅγιοι δὲ μετὰ τὸ ἁγιασθῆναι, ὡς οἱ ἄνθρωποι· πνεύματα δέ, καθὸ πρὸς ἡμᾶς ἀσώματοι· οὐ κληθέντες πνεύματα τοῦ Θεοῦ ἢ ἐκ τοῦ Θεοῦ ἢ ἐκπορευόμενα παρὰ τοῦ Πατρὸς ἢ θεῖα ἢ πνεύματα ἀληθείας ἢ πνεύματα ἁγιωσύνης· ἀλλ' ἄγγελοι λειτουργικοὶ καὶ σώματα οὐράνια διὰ τὸ ἀπείρως ἀπέχειν καὶ ὑφιζάνειν τοῦ ἀκτίστου Πνεύματος τοῦ Θεοῦ, κατὰ τὸν γράφοντα ἔμπειρον Ἀπόστολον· «Σώματα ἐπίγεια, καὶ σώματα ἐπουράνια»[2]. Ὡς γὰρ οὐ κατ' αὐτοὺς τὰ πνεύματα τῶν ἀνέμων, οὐδὲ αὐτοὶ κατὰ τὸ Ἅγιον Πνεῦμα τοῦ Θεοῦ. Αὐτοὶ γὰρ ἐκτίσθησαν, οὐ μέντοι ἐξεπορεύθησαν ἐκ τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατρός· οὐκ ἀναγεννῶσιν ἡμᾶς, οὐ θεοποιοῦσιν, ἁμαρτίας οὐ συγχωροῦσιν, οὐ ζωοποιοῦσιν, οὐ δημιουργοῦσιν, οὐχ ἁγιάζουσιν, οὐ κρίνουσιν, ἀλλὰ καὶ κρίνονται («Ὑμεῖς» γάρ, φησίν, «καὶ ἀγγέλους κρινεῖτε»[3]). Οὐδ' ἐν αὐτοῖς εἰσι τῶν οὐρανῶν αἱ δυνάμεις. Οὐ τόποις εἰσὶν ἀπερίγραφοι καὶ διαστήμασιν ἀμέτρητοι. Ὁ γὰρ Γαβριὴλ λαλῶν τῷ Δανιὴλ ἢ εὐαγγελιζόμενος τὴν Θεοτόκον Παρθένον οὐκ ἦν καὶ ἐν οὐρανῷ τῇ οὐσίᾳ, ὡς τῇ διανοίᾳ· ἀλλὰ τότε ἐπὶ γῆς διέτριβε μόνον. Οὐδὲ τοῖς αἰῶσίν εἰσιν ἀπερίληπτοι· «Ὁ ποιῶν» γάρ, φησί, «τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον»[4]. Οὐχ ἕν τι τῶν γινομένων παρὰ τοῦ Ἁγίου Πνεύματος ποιοῦσιν, ἀλλὰ καὶ λειτουργοῦσιν αὐτῷ, ὡς ἔδειξεν ὁ ἀρχάγγελος Γαβριήλ, διακονησάμενος **[484]** πρὸς τὴν Θεοτόκον Μαρίαν καὶ εἰπών· «Πνεῦμα Ἅγιον ἐλεύσεται ἐπὶ σέ»[5]. Οὔτε οὖν ναὸς αὐτῶν ἐστιν ὁ ἄνθρωπος, καθά ἐστι τοῦ Θεοῦ καὶ τοῦ Πνεύματος αὐτοῦ καὶ τοῦ μονογενοῦς Υἱοῦ. Οὐ συμπεριλαμβάνονται μετὰ τοῦ Θεοῦ. Οὐ μία τίς ἐστιν ὑπόστασις ἀγγελική, ἀλλὰ καὶ δυσαρίθμητος. Τὸ δὲ ὑπερπαμφαὲς Ἅγιον Πνεῦμα, συμφυῶς καὶ ἑνοειδῶς ἀπὸ τῆς ἀρρήτου καὶ ὑπερουσίου

1. Πρβλ. Ματθ. 19,26. Λουκ. 18,27. 2. Α' Κορ. 15,40. 3. Πρβλ. Α' Κορ. 6,3. 4. Ψαλ. 103,4. 5. Λουκ. 1,35.

καὶ προουσίου καὶ καθολικῆς καὶ ἀμόρφου προῆλθεν ἀχρόνως πατρικῆς ὑποστάσεως καὶ προσηγόρευται θεῖον· ἕν τέ ἐστιν, ἀπλήθυντον, ἀγαθόν, ἄφθονον, ἀπρόσιτον, ἀπερίγραφον πάσαις νοήσεσιν, ἀπειροδύναμον, ἀνέκλεκτον, μόνως ὑπάρχον· καὶ φύσει Ἅγιόν τε καὶ Πνεῦμα τοῦ Θεοῦ, καὶ οὐδὲν ὂν τῶν πάντων· ἀλλὰ Θεὸς ἐν οὐρανῷ τε ὢν καὶ συνὼν ἡμῖν, αἴτιος πᾶσιν πάντων καλῶν· παρὼν μὲν τοῖς ὅλοις ἀΰλως, ἀνειδέως, ἀμετασχηματίστως· οὐκ ἐξιστάμενος δὲ τοῦ συνιδρῦσθαι ἀφράστως τῷ Πατρί, καὶ ἐξαπλούμενος πάντη καὶ χωρῶν καὶ ἐν ἅπασιν ἀμιγῶς κατοικῶν· καὶ ταῖς ἐννοίαις ἡμῶν τε καὶ τῶν ἡμῖν ἀοράτων ἐμβατεύων καὶ ἀκριβῶν ἅπαντα καίτοι πάντα εἰδώς· καὶ ἀφώνως ἐνηχῶν καὶ ψυχῶν ἐπακούων ἔνδοθεν σιγῇ κραζου**[485]**σῶν, καὶ πάσας ἐπὶ πᾶσιν οἰκτείρων ἀμελλητί, καὶ ἐπιρρωνύων, καὶ εὐφροσύνην ἄφατον ταῖς ἑκασταχοῦ φύσεσιν ἐνδιδούς· περιέχων τοῦδε τοῦ παντὸς τὴν σύστασιν, καὶ πάντα ἔχων ὑφ' ἑαυτῷ· καὶ θεσπεσίῳ φωτίζων φωτί, καὶ εὐεργετῶν τῇ ἀπλέτῳ αὐτοῦ ἐνεργείᾳ καὶ ἀγαθότητι· τὰ μὲν ἀμείνω τὴν γνώμην ἐπὶ τελειότερον ἄγων σκοπόν, τὰ δὲ χείρω καὶ πλημμελῶς ἀναστρεφόμενα οὐκ ἀποστερῶν τῆς ἑαυτοῦ βασιλικῆς καὶ ὁμονοητικῆς καὶ ἀμερίστου προστασίας· ἀλλ' ἐν ἐφέσει καθιστῶν αὐτὰ καὶ συννοίᾳ τῆς χορηγοῦ τῶν ὁλικῶν ἀγαθῶν ὁμοουσίου Τριάδος καὶ πᾶσι τοῖς καλλιεργοῦσι συλλαμβανόμενος μετὰ τοῦ πάντων ἐξῃρημένος εἶναι οὕτως, ὅτι **[488]** ἄλλῳ μὲν τῶν ἀποστόλων διάγοντι ἐν Ἰνδίᾳ, ἑτέρῳ δ' ἐν Σπανίᾳ, ἄλλῳ δ' ἐν ἄλλῳ τόπῳ ἕως τῆς ἐσχατιᾶς τῆς γῆς, παρ' αὐτοῦ νενεμημένῳ τῆς ἑαυτοῦ ἀπλανοῦς καὶ ἀκιβδήλου μετεδίδου σοφίας· οὐ τῷδε μὲν νῦν, ἑτέρῳ δ' εἰς αὖθις παραγινόμενος· οὐδὲ τῷ μὲν μᾶλλον τῷ δὲ ἔλαττον ἐπιπνέων, ἀλλ' ἅμα τε καὶ ἑκάστῳ ὁμοῦ καὶ διακεκριμένως ἀεὶ ὁμοίως ἐπιλάμπων, καθὰ καὶ ὁ εἰπὼν Κύριος· «Μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος»[1]. Ἐπεὶ μή γε ἐπειδὴ αὐτοὶ τὴν παρ' Ἰωάννῃ κειμένην θεολογίαν περὶ τοῦ Πνεύματος ἔνθα εἶπε· «Πνεῦμα ὁ Θεός»[2], μεταφέρουσιν εἰς τὸν Θεὸν καὶ Πατέρα, λέγοντες διὰ τὸ εἶναι Πνεῦμα αὐτὸν οὕτω γεγράφθαι. Ἔτι δὲ ἐπειδὴ γέγραπται καὶ «Πνεῦμα τοῦ προσώπου ἡμῶν Χριστὸς Κύριος»[3]· ἄρα καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν ἅτε Πνεῦμα τοῖς ἄλλοις συν**[489]**αριθμήσουσι λειτουργικοῖς πνεύμασιν; Εἰ δὲ τοῦτο οὐχ οὕτως, οὐδὲ τὸ Ἅγιον Πνεῦμα νοεῖται μετὰ τῶν ἄλλων πνευμάτων. Ἀρχάγγελος γὰρ οὐκ ἔστιν. Ὁ γὰρ Μιχαὴλ καὶ Γαβριὴλ καὶ οἱ κατ' αὐτοὺς εἰσὶν ἀρχάγγελοι· μετ' ἐκείνους δὲ οὐδὲ αἱρετικοὶ εἴποιεν ἂν τετάχθαι τὸ Ἅγιον Πνεῦμα τοῦ Θεοῦ. Ποῦ οὖν λοιπὸν ἢ μετὰ ποίων κτισμάτων τάσσεσθαι δοκιμάζουσιν αὐτό; Μετὰ γὰρ τὸν Θεὸν φύσιν ἄλλην λογικὴν ἀπὸ Γραφῶν οὐκ ἐδιδάχθημεν ἢ τῶν πολλῶν πνευμάτων καὶ τῶν καθ' ἡμᾶς σωμάτων. Ἔτι σοφιστικῶς ἐκ τῶν προκειμένων ἐπάγουσιν· Ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἀληθινός, τὸ δὲ Πνεῦμα ἀλήθεια γέγραπται,

1. Ματθ. 28,20. 2. Ἰω. 4,24. 3. Πρβλ. Θρ. 4,20.

ὡς ἀπᾴδοντος τούτου. Ἔστι δὲ ταὐτόν, καθὰ ἐν τῷ πρώτῳ δέδεικται λόγῳ καὶ οὐ διαφέρει τοῦτο ἐκείνου.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Περὶ τῶν λεγόντων, ὅτι «Μονογενοῦς ὄντος τοῦ Θεοῦ Λόγου, τί τὸ Πνεῦμα καλέσομεν;» καὶ τὰ λοιπά.

Πρὸς ταῦτα οἱ ποικιλώτατοι καὶ πολυτροπώτατοι κατὰ τὸν λόγον (οὐκ οἶδα, εἰ μὴ καὶ κατὰ τὴν γνώμην, πάντως δὲ ὅτι καὶ τοῦτο), οἱ τῆς ἁπλουστέρας καὶ ἀληθεστέρας διδασκαλίας ἀλλότριοι αἱρετικοὶ **[492]** ἀναστρέφοντες πολλάκις τὰ αὐτὰ ῥήματά φασιν· Μονογενὴς ἐκλήθη ὁ Θεὸς Λόγος, ἐπειδὴ τὸ Ἅγιον Πνεῦμα οὐκ ἐκ τῆς ὑποστάσεώς ἐστιν τοῦ Πατρός. Ἐπεὶ αὐτὸς μὲν οὐκ ἂν ἐλέχθη Μονογενής, τὸ δὲ Ἅγιον Πνεῦμα προσηγορεύθη ἂν ἀδελφὸς αὐτοῦ. Ἐκεῖνοι μὲν οὕτως καὶ πρὸς ἑαυτοὺς ἀνομοιούμενοι, ἡ δὲ ἀλήθεια πρὸς αὐτούς. Μονογενὴς γέγραπται, διά τε τὸ μόνον γεννηθῆναι ἐκ τῆς ὑποστάσεως τοῦ Πατρὸς καὶ μὴ ἐπορευθῆναι, ὡς τὸ Ἅγιον Πνεῦμα διά τε τὸ ἀποκλείεσθαι τὰς βλασφημίας αἱρετικῶν, λεγόντων αὐτὸν κτίσμα καὶ υἱόν, ὥς ἐσμεν ἡμεῖς. Καὶ τὸ Ἅγιον δὲ Πνεῦμα ἓν καὶ μόνον εἶναι γέγραπται, διά τε τὸ ἑνιαίως καὶ μόνως αὐτὸ ἐκ τῆς ὑποστάσεως τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευθῆναι καὶ μὴ γεννηθῆναι, ὡς ὁ Υἱός· διά τε τὸ μὴ κτίσμα, ὡς τὰ ἄλλα πνεύματα ὑπονοεῖσθαι. Τὸ γὰρ ἓν οὔτε ἀλλότριόν ἐστι τὸ Πνεῦμα τῆς οὐσίας τοῦ Πατρός, οὔτε διώρισται τῆς πρὸς τὸ ἓν ἑνώσεως· οὔτε πρὸς ἐκεῖνο ἢ ὕφεσιν ἔχει ἢ ἄλλον ἑαυτοῦ μᾶλλον συμφυέστερον ἢ ἀγχίθεον· οὔτ' ἀνέχεται ἢ ἀριθμὸς προσαγορεύεσθαι, τῆς ἑνάδος οὐσίας ὂν ἢ τοῖς παρηγμένοις συντάττεσθαι, τῶν πάντα παραγαγόντων σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ τυγχάνον. Οὐ δύναται οὖν τὸ ἓν Ἅγιον Πνεῦμα οὔτε τῷ ἑνὶ Πατρὶ ἢ τῷ ἑνὶ Υἱῷ εἶναι ἀνόμοιον οὔτε τῷ πλήθει τῶν πνευμάτων ὅμοιον. Καθάπερ γὰρ ἑνὸς ὄντος Θεοῦ καὶ Πατρὸς καὶ ἑνὸς Υἱοῦ ἀληθινοῦ πάντες οἱ κατ' εἰκόνα δι' ἀγαθότητα καὶ ἀφθονίαν αὐτοῦ ἐκλήθημεν θεοὶ καὶ υἱοί, οὐκ ὄντες τῇ ἀληθείᾳ κατὰ τὸ «Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες»[1]· οὕτως ἑνὸς καὶ μόνου ὄντος Ἁγίου Πνεύματος ἀληθείας, πολλὰ πνεύματα λέγεται, οὐκ ὄντα τῇ φύσει πνεύματα τοῦ Θεοῦ. Οὐ βλέποντες καὶ ἀνασκεπτόμενοι, ὅπως ἂν τοῖς θεολόγοις φαίνοιντο συμβαῖνόν τι λέγοντες, οὐκ ὀκνοῦσι καὶ ἄλλα ἐπιφέρειν βλαβερά. Καὶ μοί, πρὶν ἅπαντος ἀκοῦσαι τοῦ λόγου, μέμψηται μηδὲ εἷς, εἰ βλάβην τὰ ἐκείνων καλῶ. Εὑρήσει γάρ, ὅτι φθέγγονται, ἄντικρυς ἀντιπράττοντες τῇ γνώμῃ τῶν θεηγόρων ἀνδρῶν, οἳ τὸ περὶ τοῦτο διαπρέπειν εἶχον παρὰ τοῦ

1. Ψαλ. 81,6.

Θεοῦ ἐν δωρεᾶς μέρει. Λέγουσι γάρ· Εἰ Θεὸς τὸ Ἅγιον Πνεῦμα ἢ Πατὴρ ἢ Υἱός ἐστιν· μὴ ὂν δὲ τούτων μηδέν, οὐκ ἔστι Θεός, ὡς οὐδὲ τὰ ἄλλα πνεύματα. Ἀπαντητέον τοίνυν αὐτοῖς οὑτωσί· Ὥσπερ Θεὸς ὁ Πατὴρ οὐ διὰ τὸ εἶναι Πατέρα, ἀλλὰ διὰ τὸ εἶναι θείας φύσεως· καὶ ὁ Υἱὸς οὐ διὰ τὸ εἶναι τοῦ τυχόντος Υἱός, ἀλλὰ διὰ τὸ τοῦ Θεοῦ εἶναι Υἱὸν Λόγον, καὶ ἀναγκαίως τῆς αὐτοῦ θείας φύσεως ὑπάρχειν· οὕτως καὶ τὸ Ἅγιον Πνεῦμα Θεός, οὐ διὰ τὸ ἁπλῶς εἶναι Πνεῦμα, ἀλλὰ **[493]** διὰ τὸ τοῦ Θεοῦ εἶναι ἓν καὶ μόνον Πνεῦμα Ἅγιον, καὶ τῆς αὐτοῦ θείας φύσεως καθεστάναι, ὡς προελέχθη. Καὶ ὥσπερ ἀκούσαντες· «Εἷς ὁ Θεός»[1]· καί· «Κυρίῳ τῷ Θεῷ σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις»[2]· ἐξ ἴσου τῷ Πατρὶ Θεόν τε εἶναι τὸν μονογενῆ Λόγον πιστεύομεν καὶ προσκυνοῦμεν καὶ λατρεύομεν αὐτῷ· τὸν ἴσον τρόπον καὶ περὶ τοῦ Ἁγίου Πνεύματος διακείμεθα. Αὐτῷ γάρ, ᾧ προσετάχθημεν ἐν τῷ περὶ τοῦ ἀφθάρτου βαπτίσματος δοθέντι ὅρῳ ἐξ οὗ ἤρτηται ἡ τῆς πάσης ἡμῶν πολιτείας καὶ θρησκείας κατάστασις, συντάττειν αὐτὸ τῷ Πατρὶ καὶ τῷ Υἱῷ· προσετάχθημεν καὶ συμπροσκυνεῖν καὶ συνδοξάζειν αὐτὸ καὶ λειτουργεῖν αὐτῷ. Αὕτη γάρ ἐστιν ἡ λογικὴ λατρεία, ἣν ἔγραψε Παῦλος τοιῶσδε· «Ἵνα παραστήσητε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν»[3]. Καὶ ὃν τρόπον, τοῦ Ἀποστόλου τὸν Θεὸν μόνον σοφόν[4] τε καὶ ἔχειν ἀθανασίαν[5] χρησμῳδήσαντος, πιστεύομεν καὶ τὸν Υἱὸν ὁμοίως ἔχειν ἀθανασίαν καὶ εἶναι σοφόν, ἅτε ἀπαράλλακτον κατ' οὐσίαν ὄντα τῷ Πατρὶ καὶ Λόγον αὐτοῦ καὶ ζωὴν αἰώνιον, ὡς γράφει[6], ὑπάρχοντα· οὕτως καὶ περὶ τοῦ Ἁγίου Πνεύματος. Οὐ γὰρ κατὰ χάριν, ἤτοι δόσιν, ἔχει τὴν ἀθανασίαν καὶ σοφίαν, ὁμοίως τῶν λειτουργικῶν πνευμάτων· ἀλλὰ φύσει κέκτηται· Πνεῦμα γὰρ σοφίας ἐστίν. Τοιγαροῦν γέγραπται, ὡς «Οὐδεὶς γινώσκει τὰ τοῦ μόνου σοφοῦ, εἰ μὴ τὸ Πνεῦμα αὐτοῦ»[7]. Εἰ γὰρ δοίησαν μὴ ταῦτα οὕτως ἔχειν ἢ παρακρούσονται τὸν Θεὸν Λόγον ἢ παρὰ τὰς Γραφὰς δόξουσι ποιεῖν. Τῇ γὰρ ἐν μιᾷ Θεότητι Τριάδι οὐ συντάττεταί τι, οὔτε τὰ πνεύματα διὰ τὸ κεκλῆσθαι πνεύματα, κἂν μὴ τὰ βέβηλα εἴποιμεν, οὔτε οἱ ἄνθρωποι διὰ τὸ κεκλῆσθαι θεοί· οὐ γάρ ἐσμεν τῇ ἀληθείᾳ. Εἰ δὲ οὐκ οἰηθῶσιν ἀντιπίπτειν αὐτοῖς τὸ «Μόνῳ σοφῷ Θεῷ»[8]· καὶ «Μόνος ἔχων ἀθανασίαν»[9]· οὐ δυνήσονται ἀπ' οὐδενὸς ἐξ ἐναντίας τοῦ Ἁγίου Πνεύματος κατασοφίζεσθαι. Ταῦτα γὰρ οὕτως ὑπὸ Παύλου ἐρρήθη, διὰ τὸ τοῦ Θεοῦ Λόγον μὲν τὸν Υἱόν, Πνεῦμα δὲ τὸ Ἅγιον Πνεῦμα τυγχάνειν καὶ ἀχωρίστως αὐτοῦ ἔχειν κατὰ τὴν φύσιν καὶ εἰς μίαν ἀνάγεσθαι θεότητα, ὡς καὶ παρὰ τοῖς ἔξω λέγεται· Εἷς Θεὸς αὐτοπάτωρ, ἐξ οὗ τάδε πάντα γένοντο.

---

1. Πρβλ. Ἐφ. 4,6. 2. Ματθ. 4,10. 3. Πρβλ. Ρωμ. 12,1. 4. Πρβλ. Ρωμ. 16,27. Α' Τιμ. 1,17. 5. Πρβλ. Α' Τιμ. 6,16. 6. Πρβλ. Α' Ἰω. 5,20. 7. Πρβλ. Α' Κορ. 2,11. 8. Ρωμ. 16,17. Α' Τιμ. 1,17. 9. Α' Τιμ. 6,16.

Ὡς τοίνυν περὶ τοῦ Πατρὸς Παῦλος Ῥωμαίοις, **[496]** Γαλάταις καὶ Τιμοθέῳ γέγραφεν· «Εἷς ὁ Θεός»[1]· οὕτω, περὶ μὲν τοῦ Υἱοῦ Ἰωάννης εἶπεν· «Ὁ μονογενὴς Θεός, ὁ ὢν ἐν τοῖς κόλποις τοῦ Πατρός»[2]· περὶ δὲ τοῦ Ἁγίου Πνεύματος Παῦλος Κορινθίοις ἐδίδαξεν· «Ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ ἑνὶ «Πνεύματι»[3]· τὸ γὰρ ἑνιαῖον τῆς θείας καὶ ἀπληθύντου φύσεως ἴδιον. Καὶ καθὰ ἐγράφη, ὅτι ὁ Υἱὸς ἐγεννήθη καὶ μαρτυρῶν λέγει· «Ἐγὼ παρὰ τοῦ Πατρὸς ἐξῆλθον»[4]· οὕτως ἐγράφη καὶ ὁ αὐτὸς εἶπεν· «Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται»[5], ἤτουν ἐξεπορεύθη. Καὶ ὥσπερ ὁ Υἱὸς Θεὸς καὶ Κύριος ὤν, τοῦ Θεοῦ καὶ Κυρίου ἐστὶ Υἱός· οὕτω τὸ Ἅγιον Πνεῦμα, Θεὸς καὶ Κύριος ὤν, τοῦ Θεοῦ καὶ Κυρίου ἐστὶ Πνεῦμα. Καὶ ὃν τρόπον Λόγος γέγραπται ὁ Υἱὸς διὰ τὸ συνυπάρχειν τῷ Πατρί· τὸν αὐτὸν τρόπον καὶ τὸ Ἅγιον Πνεῦμα γέγραπται «Ῥῆμα τοῦ Θεοῦ»[6] καὶ «Πνεῦμα τοῦ στόματος αὐτοῦ»[7] καὶ «Πνοὴ Παντοκράτορος»[8], ἐπειδὴ συνυφεστὼς ἐξέλαμψεν ἐξ αὐτοῦ· ἵνα μὴ ἔξωθεν αὐτὸ τῆς θεότητος τοῦ Πατρὸς ἢ τοῦ Λόγου αὐτοῦ εἶναί τις ὑπολάβῃ. Ἴδιον γὰρ τὸ Ῥῆμα τοῦ λόγου, καὶ ὁ Λόγος τοῦ νοῦ· καὶ πληροῦται τὸ «Ὁ εἷς Θεὸς καὶ Πατὴρ πάντων καὶ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν»[9]. Καὶ καθὰ ὁ Υἱὸς δείκνυται ἀπαράλλακτος τοῦ Πατρός, ᾗ γράφει· «Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα»[10]· ὡσαύτως καὶ τὸ Ἅγιον Πνεῦμα δι' ὧν φάσκει· «Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν ἡμῖν ἐστιν ὁ Θεός, ἐκ τοῦ Πνεύματος αὐτοῦ, οὗ ἔδωκεν ἡμῖν»[11]. Ἀνάγκη οὖν πᾶσα, Θεοῦ ἀληθινοῦ ὄντος τοῦ Πατρός, Θεὸν ἀληθινὸν εἶναι ἴσον αὐτῷ καὶ τὸν δεικνύντα αὐτὸν τῇ ἑαυτοῦ ἐμφανείᾳ. Καὶ ὥσπερ διὰ τοῦ Υἱοῦ πάντα ἐγένετο, οὕτως ὑπὸ τοῦ Πνεύματος πάντα ἡγιάσθη καὶ ἐνεδυναμώθη. Φασὶ γὰρ οἱ ἀπόστολοι· «Δέσποτα, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς· ὁ διὰ Πνεύματος Ἁγίου, στόματος δὲ Δαυῒδ παιδός σου εἰπών»[12]. Καὶ καθὰ ἰσοδύναμος καὶ ὅμοιος ὁ Μονογενὴς τῷ Πατρὶ καὶ ἐξουσιαστὴς σημαίνεται, κατὰ τὸ «Ὅσα ἂν ποιῇ ὁ Πατήρ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»[13]· ὡσαύτως καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ κατὰ τὸ «Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ **[497]** αὐτὸ Πνεῦμα»[14]. Καὶ ὥσπερ περὶ ἑαυτοῦ εἶπεν ὁ Χριστός· «Οὐδεὶς ἔγνω τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός»[15]· οὕτω καὶ περὶ τοῦ Ἁγίου Πνεύματος τὸ ὅμοιον εἴρηται, ὅτι «Τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνω, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ»[16]. Καὶ ὃν τρόπον ὁ Υἱὸς τὸ ἀγγελτικὸν «Μεγάλης βουλῆς Ἄγγελος»[17], ἐκλήθη· οὕτω καὶ περὶ τοῦ Ἁγίου Πνεύματος. Φησὶ γάρ· «Ἀλλὰ ἐλάβομεν τὸ Πνεῦμα τοῦ Θεοῦ, ἵνα ἴδωμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν»[18]. Καὶ ὁμοιότατον τῷ «Ἀπαρχή, Χριστός»[19],

1. Πρβλ. Α' Τιμ. 2,5. 2. Ἰω. 1,18. 3. Α' Κορ. 12,9. 4. Ἰω. 16,27,28. 5. Ἰω. 15,26. 6. Πρβλ. Ἐφ. 6,17. 7. Πρβλ. Ψαλ. 32,6. 8. Ἰὼβ 33,4. 9. Ἐφ. 4,6. 10. Ἰω. 14,9. 11. Πρβλ. Α' Ἰω. 4,13. 12. Πρβλ. Πράξ. 4,24-25. 13. Πρβλ. Ἰω. 5,19. 14. Α' Κορ. 12,11. 15. Πρβλ. Ματθ. 11,27. 16. Α' Κορ. 2,11. 17. Ἡσ. 9,5. 18. Πρβλ. Α' Κορ. 2,12. 19. Α' Κορ. 15,23.

τὸ λέγον ῥητόν· «Καὶ τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες»[1]. Καὶ ἰσοπαλὲς τῷ «Ὁ δὲ Κύριος ἁγιάσαι ὑμᾶς[2], ἵνα ἦτε εἰλικρινεῖς καὶ ἀπρόσκοπτοι[3] εἰς ἡμέραν ἀπολυτρώσεως»[4], τὸ «Ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἡγιασμένη ἐν Πνεύματι Ἁγίῳ»[5]. Καὶ ἰσόρροπον τῷ εἰπεῖν, «Ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, διὰ τῆς χάριτος αὐτοῦ ἀποκαλύψαι ἐν ἐμοὶ τὸν Χριστὸν αὐτοῦ», τὸ «Ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ»[7]. Καὶ ἰσοδύναμον τῷ εἰπεῖν «Ἑαυτοὺς δοκιμάζετε, εἰ ὁ Χριστὸς ἐν ὑμῖν»[8] τὸ φάναι· «Ἡμεῖς δὲ οὐ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ»[9]. Καὶ ἴσον τὸ «Οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;»[10] τῷ ὑπὸ Ἰωάννου γραφέντι· «Ἐὰν ἀγαπῶμεν ἀλλήλους ὁ Θεὸς ἐν ἡμῖν μένει[11]. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ἐκ τοῦ Πνεύματος αὐτοῦ, οὗ ἔδωκεν ἡμῖν»[12]· καὶ τῷ «Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατὴρ καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν»[13].

[500] Καὶ ὥσπερ διὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ τὸ Ἅγιον Πνεῦμα δίδοται, κατὰ τὸ «Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα»[14] καὶ κατὰ τὸ «Λάβετε Πνεῦμα Ἅγιον»[15]· οὕτως διὰ τοῦ Ἁγίου Πνεύματος ὁ Χριστός, κατὰ τὸν Παῦλον Ἐφεσίοις γράφοντα· «Ἵνα δῷ ὑμῖν, κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ, εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστόν»[1]. Ἐκλάβοιμεν δ' ἂν ἐν ὁμοίῳ καὶ ἴσῳ τὸ «Ἐγένετο Λόγος Κυρίου πρὸς τόνδε τὸν προφήτην» καὶ τὸ «Κύριος εἶπεν», καὶ «Τάδε λέγει Κύριος παντοκράτωρ» τῷ ἐν ταῖς Πράξεσιν ὑπὸ Πέτρου εἰρημένῳ· «Ἔδει πληρωθῆναι τὴν Γραφήν, ἣν προεῖπεν τὸ Πνεῦμα τὸ Ἅγιον»[17], καὶ τῷ ὑπὸ Παύλου ἐν Ῥώμῃ πρὸς τοὺς Ἰουδαίους «Καλῶς τὸ Πνεῦμα τὸ ἅγιον ἐλάλησεν διὰ Ἡσαΐου τοῦ προφήτου»[18], καὶ τῷ «Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει»[19]· καὶ «Τάδε λέγει Κύριος παντοκράτωρ». Ἰσότιμόν τε τῷ «Ὁ Θεὸς αἰώνιος»[20], τὸ ὑπὸ Παύλου κηρυχθὲν «Ὃς ἑαυτὸν προσήνεγκε διὰ Πνεύματος αἰωνίου»[21]. Συγκριτικόν τε τῷ «Οὐδεὶς δύναται Πνεῦμα Ἅγιον λαβεῖν ἢ παρὰ Κυρίου»[22] καὶ τῷ «Λάβετε Πνεῦμα Ἅγιον»[23], τὸ «Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν Χριστόν, εἰ μὴ ἐν Πνεύματι Ἁγίῳ»[24]. Ταὐτόν τέ ἐστιν τὸ «Ὁδηγεῖσθαι ὑπὸ τοῦ Ἁγίου Πνεύματος πρὸς τὴν ἀλήθειαν»[25], τοῦτ' ἔστιν τὸ ὁδηγεῖσθαι ὑπὸ τοῦ Ἁγίου Πνεύματος πρὸς τὴν ἀληθινὴν

---

1. Ρωμ. 8,23. 2. Πρβλ. Α' Θεσ. 5,23. 3. Φιλιπ. 1,10. 4. Ἐφ. 4,30. 5. Ρωμ. 15,16. 6. Πρβλ. Γαλ. 1,15-16. 7. Α' Κορ. 2,10. 8. Πρβλ. Β' Κορ. 13,5. 9. Α' Κορ. 2,12. 10. Α' Κορ. 3,16. 11. Α' Ἰω. 4,12. 12. Α' Ἰω. 4,13. 13. Πρβλ. Ἰω. 14,23. 14. Ἰωὴλ 3,1. 15. Ἰω. 20,22. 16. Ἐφ. 3,16-17. 17. Πράξ. 1,16. 18. Πράξ. 28,25. 19. Α' Τιμ. 4,1. 20. Πρβλ. Ἡσ. 26,4. Ρωμ. 16,26. 21. Πρβλ. Ἑβρ. 9,14. 22. Πρβλ. Ἰω. 14,16-17. 23. Ἰω. 20,22. 24. Α' Κορ. 12,3. 25. Πρβλ. Ἰω. 16,13.

πίστιν, τῷ ὁδηγεῖσθαι ὑπὸ τοῦ Δεσπότου Χριστοῦ, θεσπίζοντος· «Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος»[1]. Καὶ ἰσοσθενὲς τῷ λέγοντι ῥητῷ «Μὴ παραζηλοῦμεν τὸ Κύριον; Μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν;»[2] τὸ γράφειν· «Μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως»[3]. Καὶ ὁμοιόλεκτον τῷ «Ἐξαποστελεῖς τὸ **[501]** Πνεῦμά σου, καὶ κτισθήσονται»[4], τὸ «Ἐξαποστελεῖς τὸν Λόγον σου, καὶ τήξει αὐτά»[5]. Ἰσάμιλλόν τε τῷ εἰπεῖν «Κύριος μαρτυρεῖ τῇ ἐμῇ ψυχῇ, ὅτι οὐ ψεύδομαι»[6], τὸ γράφειν· «Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ»[7]· καὶ «Τὸ Πνεῦμα διαμαρτύρεταί με κατὰ πόλιν λέγον»[8]. Ἀπεικασμένον τε τῷ λέγοντι Δεσποτικῷ ῥήματι «Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων»[9], τὸ «Οὗτοι μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου κατῆλθον εἰς Σελεύκειαν»[10]. Καὶ ἴσον τὸ γράφειν «Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ»[11], τῷ γράφειν, ὅτι «Ἔλεγον τῷ Παύλῳ διὰ τοῦ Πνεύματος· Μὴ ἀνάβαινε εἰς Ἱερουσαλήμ»[12]. Συγγενές τε τῷ «Ὁ Υἱὸς ζωὴ αἰώνιος»[13] τὸ ὑπ' αὐτοῦ λεχθέν· «Τὸ ὕδωρ, ὃ ἐγὼ δώσω αὐτῷ, γενήσεται ἐν αὐτῷ πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον[14]. Τοῦτο δὲ ἔλεγεν περὶ τοῦ Ἁγίου Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν»[15]· καὶ τῷ «Μέτοχοι γὰρ τοῦ Χριστοῦ γεγόναμεν»[16], τὸ «Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τοῦ ἐπουρανίου καὶ μετόχους γενηθέντας Πνεύματος Ἁγίου»[17]. Καὶ ἔοικεν σφόδρα τὸ ἐν ταῖς Πράξεσι τοιῶσδε εἰρημένον, «Ὤφθησαν τοῖς ἀποστόλοις διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρὸς καὶ ἐκάθισαν ἐφ' ἕνα ἕκαστον αὐτῶν καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου»[18]· καὶ τὸ ὑπὸ Ἰωάννου λεχθὲν «Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί»[19] τῷ χρησμῳδηθέντι, ὑπὸ μὲν Μωϋσέως· «Ὁ Θεὸς πῦρ καταναλίσκον»[20]· ὑπὸ δὲ Ἡσαΐου· «Ἰδοὺ Κύριος ὡς πῦρ ἥξει»[21]. Καὶ συνᾴδει τῷ φάναι, «Περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ»[22] τὸ γεγράφθαι· «Περιτομὴ καρδίας ἐν Πνεύματι»[23]. Καὶ εἰ ἐμπρέπει περὶ τοῦ Θεοῦ λέγεσθαι τὴν Πέτρου φωνήν· «Μετανοήσει ἕκαστος ἀπὸ τῆς κακίας αὐτοῦ, καὶ ἀπὸ τῆς ὁδοῦ τῆς πονηρᾶς, καὶ βαπτι**[504]**σθήτω εἰς τὸ ὄνομα Κυρίου Ἰησοῦ καὶ σωθήσεται»[24]· ἄρα τῷ Θεῷ ἀπαράλλακτον τὸ Πνεῦμα αὐτοῦ· καὶ ἀπὸ τοῦ τὸν Δεσπότην τοῖς μαθηταῖς, αὐτοῖς ὀνόμασι

1. Ματθ. 28,19. 2. Α' Κορ. 10,22. 3. Ἐφ. 4,30. 4. Ψαλ. 103,30. 5. Πρβλ. Ψαλ. 147,7. 6. Πρβλ. Ρωμ. 1,9. Γαλ. 1,20. 7. Ἰω. 15,26. 8. Πράξ. 20,23. 9. Ματθ. 10,16. 10. Πράξ. 13,4. 11. Β' Κορ. 13,3. 12. Πρβλ. Πράξ. 21,4. 13. Πρβλ. Α' Ἰω. 5,20. 14. Ἰω. 4,14. 15. Πρβλ. Ἰω. 7,39. 16. Ἑβρ. 3,14. 17. Ἑβρ. 6,4. 18. Πράξ. 2,3-4. 19. Ματθ. 3,11. 20. Πρβλ. Δευτ. 4,24. 21. Ἡσ. 66,15. 22. Κολ. 2,11. 23. Ρωμ. 2,29. 24. Πρβλ. Πράξ. 2,38.

φάναι· «Ἀναμείνατε τὴν ἐπαγγελίαν τοῦ Πατρός, ἣν ἠκούσατε, ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι εἰς μετάνοιαν, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ»[1]. Οὐδὲν γὰρ ἕτερον τοῦτο δηλοῖ ἢ ὅπερ καὶ ἡ ἄλλη αὐτοῦ περὶ τὸ φώτισμα μυσταγωγία, ὅτι δὴ τὰ αὐτὰ ἐνεργεῖ καὶ δύναται τὸ Ἅγιον Πνεῦμα, ἅπερ τοὔνομα τοῦ Πατρὸς καὶ τοῦ Παιδὸς αὐτοῦ, ἅτε τῆς αὐτῆς ὑπάρχον θεότητος. Ἀπαράλλακτόν τε τὸ κήρυγμα τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, καὶ ἐξ ἴσου σεπτόν, ᾗ Παῦλος Ῥωμαίοις γράφει· «Εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει, ὃν οὐκ ἐκηρύξαμεν ἢ Πνεῦμα ἕτερον λαμβάνετε, ὃ οὐκ ἐλάβετε»[2]. Τὴν αὐτὴν ἔνδειξιν ἔχει καὶ τὸ «Οὐ γὰρ τολμῶ τι λαλεῖν ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ εἰς ὑπακοὴν ἐθνῶν, λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος Θεοῦ»[3], τῷ «Ὁ Πατὴρ ἐν ἐμοὶ μένων αὐτὸς ποιεῖ τὰ ἔργα. Πιστεύετε ὅτι ἐγὼ ἐν τῷ Πατρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί»[4]. Παρατήρει γάρ, ὅτιπερ ὡς ὁ Πατὴρ οὕτως καὶ τὸ Πνεῦμα αὐτοῦ παρὰ τῷ Χριστῷ μένει, ἀχώριστον ὂν τῇ θείᾳ φύσει· καὶ ὅτι τὰ θεϊκὰ ἔργα ὑπὸ τῆς ἀρρήτου Τριάδος ὁμοφρόνως γίνεται· καὶ καθὰ ὁ Πατήρ, ἐν ἰδίᾳ ὑποστάσει ὤν, ἐξεικονίζεται ἐν τῷ Μονογενεῖ, διὰ τὸ ἀπαράλλακτον τῆς θεότητος, τοῦτ' ἔστι τῆς οὐσίας· τὸν ἴσον τρόπον καὶ ὁ Μονογενὴς ἐν τῷ ἑνὶ Ἁγίῳ Πνεύματι. Πόσα δὲ ἄλλα ἐμφέρεται περὶ τοῦ θεϊκοῦ Πνεύματος, οὐ διαφέροντα πρὸς τὰ γεγραμμένα περὶ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ! Ἐξ ὧν τινα διαφόροις τόποις τοῦδε περιέχεται τοῦ βιβλίου, δι' ὧν ἦλθεν ὁ τοῦ λόγου δρόμος. Ἐπεὶ μήγετι ἐροῦσιν ἀντερωτηθέντες, ὅτι ἐκ τοῦ Ἀδὰμ ἡ Εὔα καὶ οἱ ἐξ αὐτῆς παῖδες; Καὶ πῶς, οἱ μὲν ἐγράφησαν γεννηθέντες, ἡ δὲ οὔτ' αὐτοῦ παῖς, οὔτ' ἀδελφὴ τῶν τεχθέντων ἐκλήθη; Ὁπότε οὐ δυνατὸν παραδειχθῆναι, ἐκ παραβολῆς κτισμάτων, τὴν μονάδα καὶ ἀσύγκριτον **[505]** φύσιν, τὴν ἀθέατον μένουσαν τῷ νῷ ἀκοῇ δὲ καὶ ῥήμασιν οὔτε προοισθῆναι ἀνεχομένην. Κἂν γὰρ μικρά τις, ὡσεὶ σκιὰ ὁμοιώσεως οἱονείπως εὑρεθῇ, φεύγει τὸ πλέον ἀφὲν τὸν παρεκβάλλοντα κάτω που. Οὐδαμῶς γὰρ τὸ παράδειγμα ταυτότης εἶναι δύναται· ἐκεῖνα δὲ μόνον λέγειν ἀσφαλές, ἅπερ πρὸς τὰ μέτρα ἡμῶν ἐδίδαξαν αἱ Γραφαί. Ὅτι οὖν ἓν καὶ μόνον εἶναι Πνεῦμα τοῦ Θεοῦ Πατρὸς γέγραπται, διὰ τὸ κεχωρίσθαι μὲν τῇ φύσει τῶν ἄλλων πνευμάτων, συνῆφθαι δὲ τῷ Πατρὶ καὶ τῷ Υἱῷ αὐτοῦ τῷ λόγῳ τῆς οὐσίας, Παῦλος ὑφηγεῖται γράφων πρὸς μὲν Κορινθίους ἐν τῇ πρώτῃ Ἐπιστολῇ· «Ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ ἑνὶ Πνεύματι»[5]· καὶ πάλιν· «Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς βούλεται»[6]· καὶ πάλιν· «Πάντες ἓν Πνεῦμα ἐποτίσθημεν»[7]· πρὸς δὲ Ἐφεσίους· «Ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι, ἐν ἑνὶ Πνεύματι

1. Πρβλ. Πράξ. 1,4-5. 2. Β΄ Κορ. 11,4. 3. Ρωμ. 15,18-19. 4. Ἰω. 14,10-11. 5. Α΄ Κορ. 12,9. 6. Α΄ Κο[illegible]1. 7. Α΄ Κορ. 12,13.

πρὸς τὸν Πατέρα»[1]· καὶ πάλιν· «Σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος»[2]· τοῦτ' ἔστιν πολλὴν ποιεῖσθαι φυλακὴν τοῦ μὴ χωρίζειν αὐτὸ τῆς ἀνωτάτω ἑνάδος καὶ αὐτοτελοῦς οὐσίας. Ὅτι δὲ καὶ Ῥῆμα ὠνόμασται, μαρτυροῦσιν οὑτωσί· Παῦλος γράφων πρὸς Ἐφεσίους μέν· «Ἀναλαβόντες τὴν πανοπλίαν τοῦ Θεοῦ καὶ θώρακα τῆς δικαιοσύνης[3] καὶ τὸν θυρεὸν τῆς πίστεως καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, ὅ ἐστιν ῥῆμα Θεοῦ»[4]. Ἧς τινος μαχαίρας ἐμνημόνευσε καὶ Ματθαῖος, ἐκ προσώπου τοῦ Χριστοῦ εἰπών· «Οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν»[5]· οὐ ξίφος λέγων, ἀλλὰ τὴν εἰρήνης ἐπέκεινα τμητικὴν τῶν πεπωρωμένων καρδιῶν τοῦ Ἁγίου Πνεύματος ἀκατάλεκτον σοφίαν· πρὸς δὲ Ἑβραίους· «Φέρων γὰρ τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ»[6]. Ποίῳ δὲ ῥήματι; Προεφήτευσεν Δαυΐδ· «Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαι αἱ δυνάμεις αὐτῶν»[7]· καὶ πάλιν ὁ Παῦλος· «Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου καὶ μετόχους γενηθέντας Πνεύματος Ἁγίου καὶ καλὸν γευσαμένους Θεοῦ ῥῆμα»[8]· Πέτρος δέ· «Διότι πᾶσα σὰρξ ὡς χόρτος καὶ πᾶσα δόξα αὐτῆς ὡς ἄνθος χόρτου· ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος ἐξέπεσεν»[9] καὶ ἡ εὐπρέπεια αὐτοῦ ἀπώλετο· «τὸ δὲ ῥῆμα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα»[10]· ὃν τρόπον περὶ τοῦ Υἱοῦ ψάλλει ἐν ριη'· «Εἰς τὸν αἰῶνα, Κύριε, ὁ Λόγος σου διαμένει ἐν τῷ οὐρανῷ»[11]. **[508]** Πολλὰ γὰρ περὶ τῶν ἀκροτάτων καὶ θειοτάτων ὑποστάσεων μυστικώτατα παραδίδωσιν.

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Περὶ τοῦ πάντα ὅσα ἴδια Θεότητος, μαρτυρεῖσθαι τὸ Ἅγιον Πνεῦμα.

Ἔπειτα οὖν χρησμῳδοῦσιν περὶ τῆς ἀκηράτου καὶ ἀφράστου φύσεως τοῦ Ἁγίου Πνεύματος, οἷα περὶ τοῦ ὅλων κατεξουσιάζοντος Θεοῦ καὶ Πατρὸς καὶ τοῦ πάντων ἐπέκεινα καὶ πάντων Κυρίου Υἱοῦ, διὰ τὸ μὴ ἑτερουσίως ἔχειν, μηδὲ δυνάμει καὶ δόξῃ ἐλαττόνως. Καὶ οὐδὲν εὑρίσκεται τούτων ἀφ' ἑαυτοῦ ὑπάρχον οὐδενὶ κτιστῷ. Ὅπερ γὰρ καὶ ἔχει φιλοτιμηθὲν παρὰ τῆς ἐν μιᾷ θεότητι Τριάδος ἔχει· καὶ πέφυκεν ἕκαστον ἀεὶ ἀφ' ὧν ἐστιν ἐπιγινώσκεσθαι, τί τέ ἐστιν, καὶ τί μή ἐστιν, εἴτε Θεὸς ἔφυ, εἴτε κτίσμα. Οἷον·

Α'. Ἡ κτίσις τὸ εἶναι ἔχει, οὐκ οὖσα τὴν ἀρχήν. Ἐδείχθη δὲ ἐν τῷ Ἰὼβ καὶ ποῖον αὐτῆς ἐστιν ἐν λογικοῖς πρῶτον ποίημα. Λέγει

1. Ἐφ. 2,18. 2. Ἐφ. 4,3. 3. Πρβλ. Ἐφ. 6,13-14. 4. Πρβλ. Ἐφ. 6,16-17. 5. Πρβλ. Ματθ. 10,34. 6. Ἑβρ. 1,3. 7. Πρβλ. Ψαλ. 32,6. 8. Ἑβρ. 6,4-5. 9. Α' Πέτρ. 1,24. Πρβλ. Ἡσ. 40,6-7. 10. Ἡσ. 40,8. Πρβλ. Α' Πέτρ. 1,25. 11. Ψαλ. 118,89.

γὰρ τὸν ψευσάμενον τῷ τρόπῳ τὴν φύσιν διάβολον. Τὸ δ' Ἅγιον Πνεῦμα, ὡς πνοὴ τοῦ Παντοκράτορος[1], κτίσμα εἶναι ἢ ἀρχὴν ὅλως ἔχειν, οὐδαμῆ γέγραπται. Οὐδὲ γὰρ ἂν προϋπῆρξεν τοῦ δημιουργικοῦ Πνεύματος δημιούργημα καὶ τοιοῦτο ἀδόκιμον, ἀχάριστον καὶ βέβηλον ἐξ οἰκείας γνώμης φανέν. Γραφῆς δὲ μήτε λεγούσης εἶναι τοῦ θεϊκοῦ Πνεύματος ἀρχήν, Πνεῦμα δὲ τοῦ Θεοῦ καὶ ἐκ τοῦ Θεοῦ, καὶ θεῖον καὶ ἅγιον εὐφημούσης αὐτό· μήτε δὲ ἀφοριζούσης ἐπὶ τῆς φύσεως τῶν θείων ὑποστάσεων τὸ πρώτιστα, καὶ τὸ ἔπειτα, ποία περὶ τοῦ εἶναι αὐτὰς ἐν τῇ ἀγενήτῳ μιᾷ θεότητι καὶ ἰσοτιμίᾳ ὑπολείπεται ἀμφισβήτησις;

[509] Β'. Οὐδὲν κτιστὸν πληροῖ τὴν οἰκουμένην ἢ συνέχει τὰ πάντα καὶ ἐν πᾶσιν τυγχάνει· ἀλλὰ καὶ τῶν νοερῶν δυνάμεων πέρας ἐστὶ καὶ ὡρισμένη ποσότης· μόνως γὰρ ταῦτα τῆς θεότητος ἴδια. Ἡ δὲ τοῦ Ἁγίου Πνεύματος μεγαλωσύνη, ἀδιάλυτος, ἀπέραντος καὶ πανταχοῦ καὶ διὰ πάντων καὶ ἐν πᾶσιν ἀεί ἐστιν· πληροῦσα μὲν τὸν κόσμον καὶ συνέχουσα κατὰ τὴν θεότητα, ἀχώρητος δὲ κατὰ τὴν δύναμιν· καὶ μετροῦσα μέν, οὐ μετρουμένη δέ. «Οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ Θεὸς τὸ Πνεῦμα»[2], ὡς ὁ Σωτὴρ ἐν Ἰωάννῃ λέγει· καὶ κατὰ τὴν Σοφίαν ἔχουσαν· «Ἀγαπᾷς γὰρ τὰ ὄντα πάντα καὶ οὐδὲν βδελύσσῃ, ὧν ἐποίησας· οὐδὲ γὰρ ἂν μισῶν τι κατεσκεύασας[3]. Πῶς δὲ ἔμεινεν ἄν τι, εἰ μὴ σὺ ἠθέλησας ἢ τὸ μὴ βληθὲν ὑπὸ σοῦ ἐτηρήθη; Φείδῃ δὲ πάντων, ὅτι πάντα σά ἐστιν, Δέσποτα φιλόψυχε· καὶ τὸ ἄφθαρτόν σου Πνεῦμά ἐστιν ἐν πᾶσιν»[4]. Ἔνθεν καὶ Πατέρα πάντων, τὸν Θεὸν εἰκότως ὀνομάζομεν, οὐκ ὄντα ἡμῶν φύσει πατέρα, ὥς ἐστι τοῦ Μονογενοῦς αὐτοῦ. Καὶ πάλιν· «Πνεῦμα Κυρίου πεπλήρωκεν τὴν οἰκουμένην, καὶ τὸ συνέχον τὰ πάντα γνῶσιν ἔχει φωνῆς»[5]· ἀντὶ τοῦ, Περιέλαβεν τὴν ἀόρατον καὶ ὁρατὴν κτίσιν, τὴν νοητὴν καὶ αἰσθητήν, καὶ οὐδὲν τῶν πάντων ἐστὶν ἄμοιρον τῆς ἀιδίου ἐπιστασίας αὐτοῦ· τὸ γὰρ πάντα συνέχειν τοῦτο δηλοῖ. Καὶ πάσης, φησίν, ἐπακούει φωνῆς, ὡς Θεός, ἐν πᾶσιν πανταχοῦ ἀεὶ τυγχάνων καὶ πᾶσαν ὑλικὴν ἀναρμοστίαν εἰς τάξιν περιάγων τὴν πρέπουσαν καὶ τῶν πρὸς αὐτοῦ ποιηθέντων φειδόμενός τε καὶ ἐπιμελούμενος, ἅτε αὐτὸς τὴν φύσιν πρόνοια ὑπάρχων, καὶ σοφία, δι' ὅλων διαπεφοιτηκυῖα, ὡς ὁ Πατήρ. Τίς γὰρ ὁ τοιαύτην ἔχων γνῶσιν; Ἡσαΐας τε λέγει οὕτως· «Πνεῦμα γνώσεως καὶ εὐσεβείας»[6]· καὶ ὁ Δαυῒδ προσᾴδει· «Ποῦ πορευθῶ ἀπὸ τοῦ προσώπου σου; καὶ ἀπὸ τοῦ Πνεύματός σου ποῦ φύγω»[7]; Καὶ ὁ Δεσπότης δὲ διδάσκων, ὡς ἡ θεότης τοῦ Ἁγίου Πνεύματος οὐ περιγράφεται τόπῳ, ἀλλ' ὁμοῦ ἐν οὐρανῷ τέ ἐστι καὶ ἐπὶ γῆς, πᾶσαν αὐτάρκειαν παρασχόμενον ἀεὶ καὶ παρεχόμενον τῇ κτίσει, ἔφη παρ' Ἰωάννῃ· «Ἐὰν ἀγαπᾶτέ με τὰς ἐντολὰς τὰς ἐμὰς τηρήσατε· κἀγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον

---

1. Πρβλ. Ἰὼβ 33,4. 2. Ἰω. 3,34. 3. Σοφ. Σολ. 11,24. 4. Πρβλ. Σοφ. Σολ. 11,25-26. 12,1. 5. Σοφ. Σολ. 1,7. 6. Ἡσ. 11,2. 7. Πρβλ. Ψαλ. 138,7.

Παράκλητον δώσει ὑμῖν, ἵνα ᾖ μεθ' ὑμῶν τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτὸ [512] ὅτι παρ' ὑμῖν μένει, καὶ ἐν ὑμῖν ἔσται»[1]. Ἵνα δὲ γνώριμον γένηται, ὡς τῆς ἁπανταχοῦ παρούσης μιᾶς ἀπείρου φύσεως καὶ αἱ τοιαίδε μαρτυρίαι ἀποφαίνουσιν αὐτό, τὰ ἴσα παρέδοσαν περὶ ἑκατέρας ἀκηράτου ὑποστάσεως· Ἱερεμίας μὲν ἐξηγούμενος ἀπὸ τοῦ Θεοῦ καὶ Πατρός· «Τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος»[2]· Δαυῒδ δὲ περὶ τοῦ Υἱοῦ ἐν ρμδ' ψαλμῷ κελαδῶν· «Καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστιν πέρας»[3]. Παῦλος δὲ κηρύττων περὶ τοῦ αὐτοῦ· «Ὁ καταβὰς αὐτός ἐστιν καὶ ὁ ἀναβὰς ὑπὲρ ἄνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα»[4].

Γ'. Ἡ κτίσις οὐκ ἄφθαρτος καθάπαξ ἐστίν· ἀλλὰ φθορὰν ἐπιδέχεται, τὴν τροπήν, ἥν φαμεν καὶ μεταβολήν, ὡς ἡ προφητεία λέγει· «Ὁ ποιῶν πάντα καὶ μετασκευάζων[5] αὐτά». Ἧς κατακούσαντες τῶν ἔξω σοφοί, φασίν· Αὐτὰ λύων εἰς αὐτὰ καὶ ἐξ αὐτῶν πάλιν αὔξων.

Ἡ μὲν γὰρ ἀσώματος λογικὴ κτίσις, τὴν κατὰ προαίρεσιν ἔχει φθοράν, τοῦ μὲν Θεοῦ μόνιμον αὐτῇ φύσιν δεδωκότος καὶ στήσαντος αὐτὴν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· αὐτῆς δὲ αὐτοπροαιρέτως μεταβαλλομένης καὶ εἰς χείρονα ἐκπιπτούσης λῆξιν καὶ αὐτῷ τούτῳ φθειρομένης, ὡς ἀπολλύειν οἷον ἐκ τούτου τὸ καλεῖσθαι αἰῶνος. Τὸ γὰρ ὁτιδήποτε ἐξερχόμενον ἑαυτοῦ, τοῦτ' ἔστιν ἀλλασσόμενον, θάνατον εὑρίσκει, κἂν ἄλλως διαμένει, τὴν ἰδίαν ἀλλοίωσιν. Καὶ γὰρ ὅπερ ἂν νοήσαις γεγενῆσθαι ἔπειτα τοῦτο θάνατος τοῦ προτέρου ἐστίν· οἷόν τι ἡ κακία γενομένη ἀγαθότης, θανατοῦται αὐτῷ ᾧ ἀπέστη ὑπὸ τῆς ἀγαθότητος· καὶ τὸ ἔμπαλιν, ἡ ἀγαθότης ὑπὸ τῆς κακίας. Ἔστι γάρ τινα ἅπερ ἀεὶ ἑστάναι τῷ πρώτῳ ὅρῳ, εἰ καὶ μὴ ἠρνήθη τοῦτο αὐτοῖς, οὐκ ἀνέχεται. Τοιγαροῦν διαγορεύουσιν ἐν Ἐπιστολαῖς ταῦτα, Πέτρος μέν· «Εἰ γὰρ ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσατο ὁ Θεός, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας, εἰς κρίσιν μεγάλης ἡμέρας τετήρηκεν, καὶ ἀρχαίου κόσμου οὐκ ἐφείσατο»[6]· Ἰούδας δέ· «Ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχήν, ἀλλ' ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον δεσμοῖς ἀιδίοις ὑπὸ ζόφον τετήρηκεν»[7]. Ἡ δὲ σωματικὴ καὶ λογικὴ [513] κτίσις ἀλλοίωσιν δέχεται· κατὰ ἕξιν μέν, ὡς ὁ Ἰούδας τὸν ἁγιασμὸν ἀπολέσας· καὶ ὡς Παῦλος γράφει· «Ἡ δὲ σπαταλῶσα χήρα, ζῶσα τέθνηκεν»[8]· καίτοι βίον ἀνύουσα τὸν ἐν ἀνθρώποις ἔτι· κατ' οὐσίαν δέ, ὡς ἀπολήγουσα μὲν πρῶτον, ἔπειτα δὲ μεταπίπτουσα εἰς ἀθανασίαν. «Δεῖ γάρ, φησίν, τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν»[9]. Ἡ

1. Ἰω. 14,15-17. 2. Ἱερ. 23,24. 3. Ψαλ. 144,3. 4. Ἐφ. 4,10. 5. Ἀμ. 5,8. 6. Β' Πέτρ. 2,4-5. 7. Ἰούδα 6. 8. Α' Τιμ. 5,6. 9. Α' Κορ. 15,53.

δὲ μὴ λογικὴ κτίσις τροπὴν ὑπομένει, καὶ ἀπογίνεται· ὡς ἡνίκα τοῦ φωτὸς εἰς σκότος, καὶ τοῦ ὕδατος εἰς αἷμα μεταπίπτοντος, προεφητεύετο· «Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου»[1]· καὶ ἀλλαχοῦ· «Ὁ οὐρανός, φησίν, καὶ ἡ γῆ παρελεύσεται»[2]. Προεφητεύθη γάρ, ὡς ἔσονται καινοὶ οὐρανοὶ καὶ καινὴ γῆ. Καὶ γὰρ ἀληθῶς πᾶν τὸ δεξάμενον ἀρχήν, ἕξει καὶ τέλος. Τὸ δὲ Ἅγιον Πνεῦμα, ἅτε τῆς ἀρρήτου, καὶ πάντων ἐπικρατούσης αἰωνίου καὶ ἀφθάρτου φύσεως ὑπάρχον καὶ ἀεὶ ὡσαύτως καὶ κατὰ τὰ αὐτὰ ἔχον· μόνον τε εἰδὸς καὶ ποιοῦν τὰ τοῦ Θεοῦ· καὶ φρουρητικὸν πάντων ὂν τῶν τε λογικῶν καὶ τὴν πίστιν τελείων, τῶν τε μὴ λογικῶν, ἕως τοῦ δοθέντος τοῖς μὴ λογικοῖς ὅρου τῆς ἐν ταυτότητι διαμονῆς· φύσει καὶ προαιρέσει τροπῆς καὶ μεταβολῆς ἀνεπίδεκτον καθέστηκεν, ὅ ἐστιν ἄφθαρτον. Τὸ δὲ ἄτρεπτον, ἤτουν ἄφθαρτον, εὐθὺς ἄναρχον, ἀτελεύτητον καὶ ὑπεραιώνιόν ἐστιν. Τὸ δὲ ἄναρχον, δημιουργὸς καὶ οὐ δημιούργημα. Διὸ κυρίως λέγει ἡ μὲν Σοφία· «Τὸ ἄφθαρτόν σου Πνεῦμά ἐστιν ἐν πᾶσιν»[3]· ὁ δὲ Πέτρος· «Ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου Πνεύματος»[4]. Οὕτω γὰρ καὶ ὁ Πατὴρ ἴσος αὐτὸς ἑαυτῷ καὶ ὅμοιος ἀεὶ ὑπάρχων, μήτ' ἔνδοσιν πρὸς τὸ χεῖρον, μήτ' ἐπίτασιν πρὸς τὸ βέλτιον δεχόμενος, ἤκουσεν ὑπὸ Ἰακώβου· «Παρ' ᾧ οὐκ ἔνι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα»[5]· καὶ παρὰ Παύλου· «Ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ Θεῷ»[6]· ὃν τρόπον καὶ ὁ Υἱὸς ἐν ρα' ψαλμῷ ἐμαρτυρήθη· «Σὺ δέ, Κύριε, εἰς τὸν αἰῶνα μένεις»[7]· καὶ πάλιν· «Κατ' ἀρχὰς τὴν γῆν σύ, Κύριε, ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται καὶ ὡσεὶ περιβόλαιον εἱλίξεις **[516]** αὐτοὺς καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς ἀεὶ καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν»[8].

Δ'. Ἡ κτίσις οὐ καθάπαξ καὶ αὐτοτελῶς τὸ αἰώνιον κέκτηται, πρῶτον μὲν ἐπειδὴ οἴκοθεν τοῦτο οὐκ ἔχει, ἀλλ' ἔτυχεν αὐτοῦ εἰς τὸ ἑξῆς, ἀφ' οὗ ἐγένετο, μεταδόσει τοῦ μόνως καὶ ὑπεραιωνίως ὄντος αὐτομάτου Θεοῦ. Ἀγαθὸς γὰρ ὢν οὗτος, δημιουργεῖ· προϊστάμενος τῆς ἑαυτοῦ ποιήσεως, φιλοτιμεῖται αὐτῇ αἰωνιότητα· δεύτερον δέ, διὰ τὰς ἐξηγηθείσας αἰτίας ἐν τῷ κεφαλαίῳ τῷ πρὸ τοῦδε. Τὸ δὲ Ἅγιον Πνεῦμα, ὡς φύσει τὸ αἰώνιον ἔχον, καθὰ προσῆκεν ἔχειν δημιουργὸν καὶ ἀγαθὸν Πνεῦμα τοῦ Θεοῦ, πάντα ἐνεργοῦν αἰωνίως, καὶ οὔποτε μὲν αὐτὸ περατούμενον, τῶν δ' ὑπ' αὐτοῦ γενομένων δυνάμενον εἶναι περατωτικόν, ταύτῃ ἀνευφημήθη τῇ προσρήσει. Μάθοιτε δὲ ἄν, εἴ μοι ἐπείποισθε τῇδε· Παῦλος Ἑβραίοις ἐπιστέλλει οὕτως· «Ὃς διὰ Πνεύματος αἰωνίου ἑαυτὸν ἄμωμον προσήνεγκεν τῷ Θεῷ»[9]. Λέγει δὲ τὸν Δεσπότην Χριστόν, τὸν ἐν τῇ σεπτῇ ἐνανθρωπή-

1. Ψαλ. 76,11. 2. Μάρκ. 13,31. 3. Σοφ. Σολ. 12,1. 4. Α' Πέτρ. 3,4. 5. Ἰακ. 1,17. 6. Α' Τιμ. 1,17. 7. Ψαλ. 101,13. 8. Ψαλ. 101,26-28. 9. Ἑβρ. 9,14.

σει αὐτοῦ ἑαυτὸν διὰ τοῦ Ἁγίου Πνεύματος ἀνθ' ἡμῶν τῷ ἑαυτοῦ Πατρὶ προσενηνοχότα. Καὶ Πέτρος δὲ προσηχεῖ ἀκόλουθα, ὡς ἤδη ἐμνημονεύθη· «Τὸ δὲ Ῥῆμα τοῦ Θεοῦ μένει εἰς τὸν αἰῶνα»[1]. Ῥῆμα γὰρ Θεοῦ ἐνταῦθα καλεῖ τὸ Πνεῦμα τοῦ Θεοῦ. Διὰ γοῦν τῆς Θεότητος τὴν ταυτότητα μνημονεύων τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ὁ Παῦλος τῇ αὐτῇ κέχρηται τοῦ ῥήματος εὐφημίᾳ· «Ὁ Θεός, φησίν, καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας»[2]· καὶ πάλιν· «Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας»[3]. Οὐκ ἔστιν δέ, οὐκ ἔστιν ἀκοῇ ἀκοῦσαι, ἅπερ καὶ εἰς τὸ κεφάλαιον τοῦτο ὡρίσαντο οἱ περὶ τὰς θεολογίας τοῦ Ἁγίου Πνεύματος ἀποδιακείμενοι. Ἀπάγουσι γὰρ εἰς ἔσχατα γῆς ἑαυτοὺς ἀπὸ προλήψεως· ἄκριτος δὲ ἔρως οὐκ εἴωθεν ἀκριβῆ μαρτυρεῖν ἐξέτασιν· ὅμως οὐδὲν οἷον κωλύει αὐτῆς ἐκείνης τῆς πειθανουργίας ἀκοῦσαι. Οὕτω γὰρ ἂν ἔτι πλέον καταγνωσθείησαν. Ἔχει οὖν ὧδε· Οὐκ εἴ τι αἰώνιον ὁμωνύμως προσηγόρευται, Θεὸς δύναται λέγεσθαι, ἀλλ' εἴ τις Θεός, αἰωνίων ποιητής. Γέγραπται γάρ· «Χρόνων καὶ αἰώνων ποιητὴς ὁ Θεός»[4]· καὶ πάλιν· «Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας ἐν τοῖς προφήταις ἐπ' ἐσχάτου τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, ὃν ἔθετο κληρόνομον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν»[5]. Εἰ γὰρ εἴ τι αἰώνιον προσηγόρευται, θεὸς ὀφείλει ὀνο**[517]**μάζεσθαι· ἄπειροι θεοὶ ἔσονται. Γέγραπται γάρ· «Καὶ ἐπάρθητε, πύλαι αἰώνιοι»[6]. Καὶ πάλιν «Ἔτη αἰώνια»[7] ἐμνήσθησαν. Καὶ αὖθις· «Ὥσπερ πρόβατα αἰώνια»[8]· καὶ «Ἀναστήσονται οὗτοι εἰς κόλασιν αἰώνιον»[9]· καὶ ἑτέρωθι· «Ἀναστήσονται οἱ ἐν χώματι γῆς, οἱ μὲν εἰς ζωὴν αἰώνιον, οἱ δὲ εἰς αἰσχύνην αἰώνιον»[10]. Ἆρα οὖν καὶ ἡ κόλασις καὶ ἡ αἰσχύνη θεοί; Ὁρᾷς εἰς ὅσην ἀτοπίαν καὶ ἀσέβειαν ἡ κατὰ τὸ αἰώνιον ὁμωνυμία ἐκπίπτει; Τοῖς μὲν οὖν ἐκείνων νοήμασι καὶ ῥήμασι σκάλμη ἐπιπολάζει τε καὶ συμπέφυρται· ταύτην δὲ διαλύει τάδε· Τοῦ αἰωνίου ὀνόματος, ὡς ἄρτι ἐπεμνήσθημεν, τὰ ἄλλα κἂν ἔτυχεν, μόνον οὐκ ἀπὸ χρόνου ἔτυχεν· ἀλλὰ καὶ φθορὰν τὴν ἀπὸ γνώμης οἰκείας τροπὴν ἔχει, καὶ ἀνόμοιον παντάπασιν τῷ θείῳ αἰωνίῳ τὸ ἐκείνων αἰώνιόν ἐστιν· καθὰ οὐδὲ ὁ λεγόμενος ἅγιος, ἄγγελος ἢ ἄνθρωπος, ὁμοίως καὶ ἴσως τοῦτό ἐστι τῷ ἁγίῳ τῶν ἁγίων Πνεύματι· αὐτὸ γὰρ ἁγιότης καὶ αἰωνιότης τὸ πᾶν ὑπάρχει. Πρόσχωσι τοίνυν, μετὰ ποίας μεγαλοφωνίας, τὸ αἰώνιον ἐπὶ τοῦ Ἁγίου Πνεύματος ἀνείρηται καὶ ὅτι τούτῳ τὸ θαυμαστὸν ἐκεῖνο καὶ πᾶσιν ἀχωρητότατον προσεπέθηκεν, φημὶ τὸ διὰ τοῦ Ἁγίου Πνεύματος τὸν κατασκευάσαντα τοὺς αἰῶνας ἑαυτὸν προσαγαγεῖν τῷ ἑαυτοῦ ἀληθινῷ Πατρὶ ὑπὲρ ἡμῶν. Σκεψάσθωσαν δὲ καὶ ὅτι αἱ δυνάμεις πᾶσαι τῶν οὐρανῶν ἐν τῷ Ἁγίῳ Πνεύματί εἰσιν, πάντως

---

1. Ἠσ. 40,8. Πρβλ. Α' Πέτρ. 1,25. 2. Β' Κορ. 11,31. 3. Ἑβρ. 13,8. 4. Πρβλ. Ἑβρ. 1,2. 5. Ἑβρ. 1,1-2. 6. Ψαλ. 23,7,9. 7. Ψαλ. 76,6. 8. Ἰὼβ 21,11. 9. Πρβλ. Ματθ. 25,46. 10. Πρβλ. Δαν. 12,2.

ὅτι ὡς συνδημιουργῷ τοῦ ἀνεπιδεοῦς δημιουργοῦ· καὶ ὅτι ὧν οὐκ εὐκαίρως, ἀλλ' ἐνδιασκεύως ἐμνημόνευσαν αἱρετικοὶ αἰωνίων πυλῶν καὶ προβάτων τὸ τέλος, τὰ εἰς τὸ κεφάλαιον τοῦτο προσκομισθέντα πρὸς ἡμᾶς λόγια προεῖπαν. Καὶ ἔστω δῆλον αὐτοῖς τὸ διάφορον τοῦ τε ἀνάρχως καὶ ἀτρέπτως αἰωνίου, τοῦ τε ἀπὸ χρόνου καὶ τρεπτοῦ, καὶ ὡς οὐ βραχὺ τοῦτο, οὐδὲ περὶ τὴν οὐσίαν καὶ τὸ ἄλλο κάλλος ἐστὶ μόνον, ἀλλὰ τὸ παντάπασιν ἐξηλλαγμένον. Ἔστω δὲ γνώριμον καὶ τό, ὅτι τὸ Ἅγιον Πνεῦμα τὴν περὶ τὸ αἰώνιον κρίσιν πρὸς τὸν ἐνισχύσαντα τὰ σύμπαντα Θεὸν Πατέρα καὶ τὸν Υἱὸν ἔχει, οὐ πρὸς τὰ κτίσματα· καὶ λύσαντες τὴν χείρω γνώμην, ἑλέσθωσαν τὴν βελ**[520]**τίονα· καὶ θαυμαζέτωσαν, ἀντὶ τῶν νῦν, ἃ θαυμάζειν ἄξιον· καὶ πραξάτωσαν βελτίω τὸν μετὰ ταῦτα χρόνον· φθόνος γὰρ οὐδείς· καὶ ἀφ' ὧν τὴν ἀλαζόνα μέμψιν ποιησάμενοι, ἑαυτοὺς ἔβλαψαν, ἐντεῦθεν καὶ τὸ τῆς μεταμελείας ὄφελος ἀπενεγκάσθωσαν. Εἰ γάρ, ὡς θεοπρεπές τι ἐνδεικνυμένη ἡ λέξις αὕτη, ἐχρήσθη περὶ τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἴσως καὶ ὁμοίως ἐκληφθείη ἂν περὶ τοῦ Πνεύματος τοῦ Θεοῦ. Ἓν μὲν δὴ τοῦτο· ἕτερον δέ, ὅτι οὐδὲν ὧν ἐμνήσθησαν αἰωνίων, προσηγόρευται θεῖον ἢ Πνεῦμα Ἅγιον ἐκ τοῦ Θεοῦ ἐκπορευθέν, ἤγουν ἕν τι, καὶ μὴ πλῆθος ὄν· οὐδὲ συντάττεται τῷ Πατρὶ καὶ τῷ Υἱῷ εἰς θείαν μυσταγωγίαν καὶ θεϊκὴν δωρεάν, οὐδὲ ἄλλης τινός, ἵνα μὴ πολλὰ λέγω, θεότητι ἀνηκούσης τιμῆς ἠξίωται. Ἄλλο πρὸς τούτοις· Ὁ Θεὸς καὶ Πατὴρ εὐδόκησεν διὰ τοῦ Υἱοῦ αὐτοῦ Λόγου πάντα δημιουργηθῆναι. Καὶ ποία, ὡς ὀνειροπολοῦσιν, λοιδορία τῷ Πνεύματι αὐτοῦ τῷ παναγίῳ ἐκ τοῦ μὴ δημιουργῆσαι, εἴ γε ἄρα, κατ' αὐτούς, μὴ ἀρρήτως συνεργόν ἐστι τῷ Δημιουργῷ, ὡς ὁ Πατήρ; Ὅτι δὲ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ Λόγου καὶ τοῦ ἑνὸς Ἁγίου Πνεύματος, πᾶσα ἐνέργεια καὶ δωρεὰ δημιουργική τε ἀγαθή τε καὶ τελεία καὶ κοινὴ αὐτῶν ὑπάρχει, ἀνάγεται δὲ ὅλα εἰς τὸν ἕνα, ἐξ οὗ καὶ σὺν ᾧ ἀφράστως ἐξεφάνησαν αἱ μακάριαι ὑποστάσεις αὗται· ῥᾷστα ἂν καταμάθοι ὁ ἐξέτασίν τινα ἡσυχῇ ποιησάμενος τῶν σοφίας μεστῶν λογίων τῶν τε ἐν διαφόροις τόποις τοῦδε τοῦ βιβλίου μνημονευθεισῶν, τῶν τε ἐν τῷ πρὸ αὐτοῦ. Καὶ Παῦλος δέ, οὐ κρείττων ἢ κατ' ἀνθρώπους, ἀπέφηνεν τοῦτο φανερῶς διαβεβαιωσάμενος, Κορινθίοις μέν· «Ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἐδικαιώθητε, ἀλλὰ ἡγιάσθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν»[1]. Ἄθρει οὖν, ἄθρει, ὡς εἰ θεϊκὸν ὄνομα, ὥσπερ οὖν θεϊκόν, τὸ τοῦ Υἱοῦ ἐξάπαντος, καὶ τὸ τοῦ Ἁγίου Πνεύματος· ἓν γὰρ ἀμφοῖν αὐτῶν ἐδήλωσεν ὄνομα. Καὶ ὅτι ὡς συγκτίσαν ἀρρήτως τὸ Ἅγιον Πνεῦμα παρὰ τὴν ἀρχὴν καὶ νῦν ἀνακτίζει. Τὸ γὰρ ἀπολούσασθαι, τὸ ἀνακτισθῆναι ἐσήμανεν. Τίτῳ δέ· «Ἀναγεννήσας ἡμᾶς διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινίσεως Πνεύματος Ἁγίου»[2]. Οὐδὲν δὲ ἧττον καὶ ὁ Ἱεροψάλτης τοὺς ἤδη ἐν γενέσει ὑπάρχοντας νῦν κτιζομένους ἐν τῇ

---

1. Α' Κορ. 6,11. 2. Πρβλ. Τίτ. 3,5.

θείᾳ κολυμβήθρα πνευματικῶς ἀξιοῖ εἰδέναι. Φησὶ γάρ· «Λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον»[1]. Οὔκουν αἱ τὴν αὐτὴν τιμὴν καὶ ἐνέργειαν ἔχουσαι ὑποστάσεις τὴν αὐτὴν ἐκληρώσαντο φύσιν καὶ οὐδὲν θεότητι καὶ δυνάμει διαφέρουσιν ἀλλήλων, μόναι δὲ συμφύεσθαι καὶ συντάττεσθαι καὶ πανταχοῦ συνεπινοεῖσθαι δύνανται τῷ ἑνί· ὃς ἄμφω αὐτός, οὐχ ὧν αἱ ὑποστάσεις ἀμφοῖν, ἔχει ἐξ ἑαυτοῦ ἀνάρχως, καὶ ἐξ ἴσου καὶ ὁμοίου καὶ ἀλέκτως ἡνωμένας καὶ συνεχεῖς τὰς ὑποστάσεις. Ἔτι πρὸς τοῖς λεχθεῖσιν· Πᾶν **[521]** δικαίωμα τῶν αἱρετικῶν τούτων ὁμοιότροπον, ὥσπερ καὶ ὁμοιόλεκτόν ἐστι τῆς νῦν κινουμένης αἰώλου αὐτῶν σοφιστείας, ὡς μαθησόμεθα μετ' οὐ πολὺ τῇ πείρᾳ ἐξ αὐτῶν τῶν κεφαλαίων. Εἰ γὰρ τυχὸν λέξιν τινά, ὡς τὴν «αἰώνιος» ἢ τὴν «ἀγαθὸς» θείαν ἔνδειξιν κομίζουσαν περὶ τῆς ἐν μονάδι Τριάδος καὶ αὐτῇ καθ' ὅλου καὶ τελείως προσήκουσαν, ἔτυχέ που εἰρῆσθαι περὶ κτίσματος μετὰ τῆς ὀφειλομένης κτίσματι μνήμης· οὐδὲν μὲν λέγουσι (τί γὰρ καὶ εἰπεῖν ἔχουσιν;) περὶ τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ αὐτοῦ· κατάγουσι δὲ εὐθὺς ἀφρονέστατα τὸ Ἅγιον Πνεῦμα εἰς τὴν κτίσιν, οὐκ ἀνάγουσι πρεπωδέστατα εἰς τὸν Θεὸν καὶ τὸν Μονογενῆ τοὺς ἐν ὁμοίῳ καὶ ἴσῳ τῷ Ἁγίῳ Πνεύματι ἁρμοδιώτατα ὑπὸ τῶν θεολόγων ἀνευφημηθέντας. Καὶ μόνων τοίνυν τῶν πρὸς ἡμῶν ἐν τῷ κεφαλαίῳ, ᾧ μέτειμεν, δικαιολογηθέντων ὑπερβαθῆναι μὴ δυναμένων ἀρκούντων δὲ εἰς ὅλον τὸν περὶ αἱρετικῶν ἀγῶνα· ἢ δειξάτωσαν (ὃ καὶ λέγειν βαρὺ λίαν), ὡς ἀρχή, ἢ πέρας τοῦ Ἁγίου Πνεύματος κεχρησμῴδηταί που ἢ ὅλως, ὅτι ὁδόν τινα ἔσχεν ἐπὶ φθοράν, ὡς ἡ ἀγγελικὴ καὶ ἀνθρωπικὴ προαίρεσις· ἢ ἔστω αὐτοῖς, τὸ δὴ λεγόμενον, «βοῦς ἐπὶ γλῶσσαν». Τοσαῦτα μὲν περὶ ἐκείνων· ἐγὼ δὲ ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν μεταβήσομαι.

[524] Ε΄. Ἡ κτίσις ἡ λογικὴ ἀρετῆς τε κακίας τέ ἐστι δεκτική, ὡς εὑρίσκομεν ἐν ἀσωμάτοις μέν, καθὰ προείπομεν, ἀρετῆς ἐντὸς τοὺς εὐδοκίμους ἀγγέλους, κακίας δὲ τοὺς ἐκριφέντας· ἐν δὲ σώμασιν, ὥς ἐσμεν ἡμεῖς αὐτοί. Τὸ δὲ θεϊκὸν Πνεῦμα ὑπὲρ ἀρετὴν καὶ δόξαν τυγχάνον, μᾶλλον δ' αὐτὸ πηγάζον τὴν ἀκροτάτην ἀρετήν, οὐδενός ἐστι τούτων δεκτικόν, ὡς οὐδὲ ὁ Πατήρ, οὐδ' ὁ Υἱός. Εἰ δὲ μὴ δεκτικόν, οὐδ' ἑτερόβουλον· εἰ δὲ τοῦτο (ποιεῖ γὰρ πάνθ' ὅσα θέλει ὁ Πατήρ), οὐδ' ἑτεροούσιον. Κἀντεῦθεν οὖν συνάγεται καὶ τό τε μὴ εἶναι αὐτὸ κτίσμα, ἀπαραλλάκτως δὲ ἔχειν πρὸς τὸν Θεὸν Πατέρα καὶ τὸν Υἱὸν αὐτοῦ καὶ τὸ ἡμᾶς ἐξ αὐτοῦ τὸν Θεόν, ἐξ οὗ φυσικῶς ἐξεπορεύθη, γινώσκειν ὅτι καὶ ἐν ἡμῖν ἐστιν ὡς γέγραπται.

ϛ΄. Ἡ κτίσις ἁγιάζεται καὶ δικαιοῦται ὑπὸ τοῦ τὴν φύσιν ἁγίου Θεοῦ· δεκτικὴ γὰρ τοῦ ἁγιασθῆναι καὶ δικαιωθῆναι τυγχάνει, οὐ παρεκτική. Τὸ δ' Ἅγιον Πνεῦμα, ἐπείπερ διέστηκε μὲν τῆς κτίσεως, συνῆπται δὲ τῇ φύσει ἐκείνῳ, ἐξ οὗ ἐκπεπόρευται (περὶ οὗ καὶ ἐμυ-

1. Ψαλ. 101,19.

σταγωγήθημεν, ὡς «Πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι, καταβαῖνον ἐκ τοῦ Πατρὸς τῶν φώτων, παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ ἢ τροπῆς ἀποσκίασμα»[1])· καὶ ἐπείπερ πάντων κήδεται καὶ προμηθεῖται καὶ αὐτῶν τῶν ὑπαιτίων· ἁγιάζει μὲν καὶ δικαιοῖ καὶ σοφίζει καὶ πᾶν εἶδος ἐπουρανίου ἀρετῆς παρέχει· αὐτὸ δὲ οὐδαμῶς εὑρίσκεται ἔχον ἐπιτηδειότητα τοῦ ἁγιάζεσθαι ἢ δικαιοῦσθαι ἢ σοφίζεσθαι ὑφ' ἑτέρου (καθὰ οὐδ' ὁ αὐτοφυὴς Πατήρ, οὐδ' ὁ ὁμοφυὴς αὐτοῦ Υἱός)· ὡς καὶ διὰ τοῦτο ὀρθῶς εὐφημεῖσθαι αὐτοάγιόν τε καὶ Πνεῦμα ἁγιωσύνης[2], ἀντὶ τοῦ, φύσει καὶ ἀφ' ἑαυτοῦ ἅγιον· καὶ Πνεῦμα θεῖον[3], ἀντὶ τοῦ, φύσει Θεός· καὶ πνοὴ Παντοκράτορος[4], ἀντὶ τοῦ, ὁμοούσιον τοῦ Παντοκράτορος πνευσθὲν ἐκ τῆς ὑποστάσεως αὐτοῦ· ὥστε καὶ μόνην μίαν τοιαύτην ὀνομασίαν δεικνύναι αὐτὸ ὁμοούσιόν τε τῷ Θεῷ Πατρὶ καὶ ἁγιαστικὸν καὶ μηδὲ λόγῳ χωρεῖσθαι. Τοιγάρτοι ὁ δυνατὸς εἰπεῖν τε καὶ τύπους ἐκθέσθαι πίστεως Παῦλος εἰσηγήσατο, προθέμενος ἅμα μὲν τοῦτο τὸ κεφάλαιον, ὃ νυνὶ μέτειμεν, ἅμα δὲ καὶ τῶν μεγαλοδωρεῶν, καὶ τῆς ἐν τῷ βαπτίσματι ἀναγεννήσεως τὸ πρὸς τὸν Θεὸν Πατέρα ἐπίκοινον τοῦ Ἁγίου Πνεύματος· ἔτι δὲ καὶ ὅτι τὸ «ὁ Θεὸς» ὄνομα ἕν τε καὶ ἴσως ἐστὶ τῇ Τριάδι· καὶ ἰσοδυνάμως ἀεὶ ἐνεργεῖ ἐπικληθεὶς ὅ τε Θεὸς Πατήρ, ὅ τε Θεὸς Υἱός, ὅ τε Θεὸς Πνεῦμα· **[525]** Κορινθίοις γράφων δημηγορεῖ· «Ἀλλὰ ἀπελούσασθε, ἀλλὰ ἐδικαιώθητε, ἀλλὰ ἡγιάσθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν»[5]. Διὸ οἱ κοινωνοῦντες αὐτῷ, ὅ ἐστιν οἱ ἀξιούμενοι ἁγιάζεσθαι ὑπ' αὐτοῦ καὶ δικαιοῦσθαι καὶ σοφίζεσθαι εἴρηνται, ὡς ὁ αὐτὸς ἀπόστολος Ἑβραίους διδάσκει, «μέτοχοι Πνεύματος Ἁγίου»[6]. Καὶ Ἐφεσίοις δὲ γράφει· «Ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ Ἁγίῳ»[7]. Δῆλον γάρ, ὡς οἱ σφραγιζόμενοι, τοῦτ' ἔστιν ἁγιαζόμενοι, μετέχουσιν, ἀλλ' οὐ μετέχονται. Καὶ γὰρ εἰ κτίσμα ἐτύγχανεν ὂν τὸ Ἅγιον Πνεῦμα ἢ ὁ Υἱός· ποῦ ἦν χρεία τὸ κτίσμα ἁγιάζειν καὶ ποιεῖν τὴν πλήρωσιν καίτοι τοῦ Θεοῦ Πατρὸς ἀποχρώντως ἡγιακότος; Οἵ γ' οὖν κτιστοί, ἀκτίστου τὸ χρίσμα τοῦτο εἰδότες, οὐκ οἴκοθεν παρέχομεν τὸν ἁγιασμόν, ἀλλὰ φαμέν· Ὁ Θεὸς ἁγιάσαι σε. Καὶ πρὸς ἕτερον δὲ ὁμόλογον καὶ κραταιὸν βαδιοῦμαι δικαίωμα, μεθ' ὃ οὐδὲ τοῖς μεμελετηκόσιν ἀναισχυντεῖν ἐξέσται τοῦτο ποιεῖν. Ὁ τοῦ παντὸς Δεσπότης, περὶ μὲν τοῦ Θεοῦ Πατρὸς καὶ ἑαυτοῦ ἀπολελυμένως διαταξάμενος· «Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ»[8], οὐχ ἁπλῶς ἐπήγαγε, «καὶ τοῦ Πνεύματος»[9], ἀλλὰ προσέθηκε, «τοῦ Ἁγίου»[10]. Ὥστε μονονουχὶ ὑποβεβηκότως αὐτοῦ οὐκ ἐμνήσθη, ἀλλὰ καὶ ἀναβεβηκότως, διὰ τὸ ἐκεῖνο εἶναι τῇ φύσει, ὅ εἰσιν αἱ αὐτοτελεῖς

1. Ἰακ. 1,17. 2. Πρβλ. Ρωμ. 1,4. 3. Πρβλ. Ἐξ. 31,3. 35,31. Ἰὼβ 27,3. 33,4. 4. Πρβλ. Ἰὼβ 33,4. 5. Α' Κορ. 6,11. 6. Πρβλ. Ἑβρ. 6,4. 7. Ἐφ. 1,13. 8. Ματθ. 28,19. 9. Ἔνθ' ἀν. 10. Ἔνθ' ἀν.

ὑποστάσεις, ἃς ἐσήμανε τὸ ἓν ὄνομα, ᾧ καὶ αὐτὸ τὸ Πνεῦμα συμπροσηγορεύθη· καὶ παραλλήλως διὰ τὸ ἐκεῖνο καθεστάναι τὸ Ἅγιον Πνεῦμα, ὅ ἐστι τῇ θεότητι ὁ Πατὴρ καὶ ὁ Υἱὸς αὐτοῦ· οἷς συνεμνημονεύθη, ὡς, τὸ δὴ λεγόμενον, ἔστι πρόδηλον καὶ τυφλῷ. Ἀλλὰ τοῦτο μὲν πλείονος ἔχεται θεολογίας· ἵνα δὲ ῥᾳδίως πιστεύηται θεότητος μόνης ἴδιον ὑπάρχειν τὸ καλεῖσθαι καὶ εἶναι φύσει ἅγιόν τε, δίκαιόν τε, ἔτι μὴν τὸ ἁγιάζειν καὶ δικαιοῦν τὰ οἰκεῖα κτίσματα· ὅμοια ὑμνημένα εἰσίν, περὶ μὲν τοῦ Πατρός, ὡς ἡνίκα αὐτὸς ὁ Υἱὸς παρὰ Ἰωάννῃ λέγῃ· «Πάτερ, ἅγιε, τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου»[1]· καὶ πάλιν· «Ἁγίασον αὐτοὺς ἐν τῇ ἀληθείᾳ σου· ὁ Λόγος ὁ σός, ἀλήθειά ἐστι»[2]· καὶ αὖθις· «Πάτερ δίκαιε»[3]. Καὶ ὡς ὅταν προφητεύωσιν, Ἰεζεκιὴλ μέν· «Καὶ γνώτωσαν, ὅτι ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς»[4]· Δαυῒδ δὲ ἐν ι΄ ψαλμῷ· «Δίκαιος Κύριος καὶ δικαιοσύνην ἠγάπησεν· εὐθύτητας εἶδον οἱ ὀφθαλμοὶ αὐτοῦ»[5]· καὶ ἕτερος· «Καὶ πάντες οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου, καὶ ὑπὸ σέ εἰσιν»[6]. Καὶ ὡς ὅταν Παῦλος ἐπιστέλλῃ πρὸς μὲν Θεσσαλονικέας· «Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς»[7]· πρὸς δὲ Ῥωμαίους· «Θεὸς ὁ δικαιῶν· τίς ὁ κατακρίνων»[8]; πρὸς δὲ Ἑβραίους· «Ἵνα ᾖ ἡ παρθένος ἁγία σώματι καὶ πνεύματι»[9]· ὡς ἐγχωροῦντος τοῦ, ἢ κατ' οἰκείαν τροπὴν μὴ εἶναι αὐτὴν ἁγίαν ἢ κατ' ἀρετὴν ἁγιά**[528]**ζεσθαι. Λέγει δ' ἐνταῦθα, τὴν μὲν ἕξιν «πνεῦμα» τὴν δὲ πρακτικὴν ἐνέργειαν «σῶμα», κατὰ Ἡσαΐαν προφητεύοντα· «Καὶ γνώσονται οἱ τῷ πνεύματι πλανώμενοι σύνεσιν»[10]· ὅ ἐστιν, οἱ τῇ πράξει ἢ τῇ ἕξει πλανώμενοι. Περὶ δὲ τοῦ Υἱοῦ, ὡς ἡνίκα εὐφημῆται· «Εἷς ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστός»[11]· καὶ ὡς αἱ Πράξεις διαλέγονται· «Ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου»[12]· καὶ καθὰ Πέτρος ἔφη· «Χριστὸς ἅπαξ ὑπὲρ ἁμαρτωλῶν ἀπέθανε, δίκαιος ὑπὲρ ἀδίκων»[13]. Καὶ ἐκ τῶν τοιούτων τοίνυν λογίων δέον, εἰ τὰ δίκαια πράττειν ἐβούλοντο, ποδηγεῖσθαι ἐπὶ τὸν Θεὸν ἀνυμνεῖν τὸ Πνεῦμα· τοῦτο μὲν οὐ ποιοῦσι, φάσκουσι δέ, ὅτι Οἱ ἄγγελοι οὐχ ἡγιάσθησαν, καὶ ὅμως ἅγιοί εἰσιν· οὐ προσέχοντες, ὅτι καὶ ἄγγελοι ἢ ὡς ἄνθρωποι ἡγιάσθησαν (ὅπερ ἀληθές· κτιστοὶ γάρ) ἢ ἐλάττονες τῶν ἁγιασθέντων ὑπὸ τοῦ Θεοῦ ἀνθρώπων καὶ μετεχόντων αὐτοῦ καθεστᾶσιν.

[529] Ζ΄. Ἡ κτίσις ἀμέθεκτός ἐστιν οὐσιωδῶς τῇ λογικῇ ψυχῇ, ὡς ἐνοικίζεσθαι αὐτήν· μόνου γὰρ Θεοῦ ἴδιον τὸ οὕτως μετέχεσθαι. Τὸ δ' Ἅγιον Πνεῦμα μεθεκτὸν οὐσιωδῶς ὑπάρχει, ὡς ὁ Πατὴρ καὶ ὁ Υἱός, καθὰ ἐν τῷ πρώτῳ εἴρηται λόγῳ. Ἐπεὶ κἀνταῦθα, τοῦ Πατρὸς ἅπαξ ἐνοικοῦντος τοῖς ἀξίοις, ποῖον ἦν ἀναγκαῖον, εἰ μὴ δι' ἑνότητα τῆς θεϊκῆς φύσεως καὶ πλήρωσιν τὴν εἰς ἡμᾶς συνεισβάλλειν

1. Ἰω. 17,11. 2. Ἰω. 17,16-17. 3. Ἰω. 17,25. 4. Πρβλ. Ἰεζ. 20,12. 5. Πρβλ. Ψαλ. 10,7. 6. Δευτ. 33,3. 7. Α΄ Θεσ. 5,23. 8. Ρωμ. 8,33-34. 9. Πρβλ. Α΄ Κορ. 7,34. 10. Ἠσ. 29,24. 11. Πρβλ. Ἀποκ. 4,8. Α΄ Κορ. 8,6. 12. Πράξ. 7,52. 13. Πρβλ. Α΄ Πέτρ. 3,18.

καὶ συνειστρέχειν καὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα; Ἀμέλει τοι οὐκ ἄν τίς ποτε ἕλοιτο φάναι πληθὺν οἱονείπως θεῶν κατοικεῖν ἐν ἡμῖν, ἀλλ' ἕνα κατά γε τὸ ἓν ἑνάδι θεότητος ὑπάρχειν τὰς τρεῖς ὑποστάσεις.

Η΄. Ἡ κτίσις ἔχει τὸ ἀγαθόν, μεταδούσης αὐτῇ τῆς ἐν μιᾷ θεότητι Τριάδος, τῆς οὔσης αὐτὸ τἀγαθόν. Καί ἐστι δεύτερον, τὸ κατὰ μετοχὴν ἔχειν τι πρὸς τὸ ἑαυτοῦ μέτρον ἀγαθόν, τοῦ φύσει αὐτὸ τὸ πρῶτον καὶ ἀμέτρητον ἀγαθὸν ὑπάρχειν· καὶ οὐ συγκλώθεται, οὐδὲ συντάττεται τῷ δημιουργῷ ἑνὶ καὶ πρωτουργῷ ἀγαθῷ· οὗ πάντα μὲν ἐφίεται, αὐτὸ δὲ οὐδενός, τὸ ἐν τῇ κτίσει εὑρισκόμενον ἀγαθόν, κἂν λέγηται ἐν Εὐαγγελίῳ· «Εὖ, δοῦλε ἀγαθέ»[1]· καὶ «Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας προφέρει τὸ ἀγαθόν»[2]. Οὐ γάρ, ὡς εἰπεῖν, αὐτὸ τὸ ἐγκάρδιον καὶ κυρίως ὃν ἀγαθὸν λέγει, ἀλλὰ τὸ συνεζευγμένον καὶ πρέπον τῇ κτίσει. Ἐκεῖνο γὰρ πληθύει τε καὶ τοῖς οἰκείοις ποιήμασιν φιλοτιμεῖται ἀγαθότητας, ὅπως ἂν ἐντεῦθεν ἕκαστα τῶν ὄντων σῴζηται, καὶ ἐν ᾗ ἔλαχεν εἶναι τάξει διαμένῃ· καὶ αὐτό ἐστι τὸ ἓν ἀγαθόν, αἴτιον πᾶσι πάντων ἀγαθῶν· καὶ δι' αὐτὸ πράττεται τὸ κάτω ἀγαθόν· καὶ αὐτὸ σῴζει πάντα, οἷς ἂν παρῇ, ὥσπερ τὸ κακὸν ἐκ προαιρέσεως ἡμῶν συμβαῖνον φθείρει. Οὗ αἰσθόμενοι καὶ οἱ ἔξω φασίν, ὡς «Οἱ κακοὶ τοῦτο μέγιστον ἔχουσιν ἐν ἑαυτοῖς ἀγαθόν· ἄλλους γὰρ ἐπιχειροῦντες κακοῦν, αὐτοὶ πρότεροι τῆς ἑαυτῶν ἀπολαύουσι μοχθηρίας». Τὸ δὲ Ἅγιον Πνεῦμα, ὡς προείρηται, ὑπάρχον αὐτοαπροσδεὲς ἀγαθὸν καὶ ὅλον ἀεὶ πρὸς πάντας, ὂν ἀγαθόν, καὶ οὐ δεύτερον τοῦ ἑνὸς καὶ πρώτου ἀγαθοῦ, ἴσας **[532]** τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ περὶ τούτου μαρτυρίας ἐδέξατο, ὡς ἐν τῷ πρώτῳ ἀπεδείχθη λόγῳ, καὶ ὡς ὁ Ἔσδρας ὁ πρὸς τὴν θείαν παρρησιασάμενος ἀγαθότητα, διὰ τὸ εἰδέναι, ὅτι κἂν πταίῃ τι, τὸ παθεῖν παρ' αὐτῆς οὐκ ἔνι, προεφήτευσεν· «Καὶ τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ἔδωκας συνετίσαι αὐτούς»[3]. Καὶ Ματθαῖος δὲ καὶ Λουκᾶς, αὐτὴν τὴν θεϊκὴν ἀγαθότητα τὸ Πνεῦμα κατ' οὐσίαν εἶναι σημαίνοντες, καὶ ἐν αὐτῷ ἐπινοεῖσθαι πᾶσαν δόσιν ἀγαθὴν καὶ πᾶν δώρημα τέλειον, ὁ μὲν ἔγραψε· «Πόσῳ μᾶλλον ὁ Πατὴρ ἐξ οὐρανοῦ δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν»[4]; ὁ δέ· «Πόσῳ μᾶλλον ὁ Πατὴρ ἐξ οὐρανοῦ δώσει Πνεῦμα Ἅγιον τοῖς αἰτοῦσιν αὐτόν»[5]; Τρεπτῆς γάρ, ὅ ἐστι κτιστῆς οὐσίας ἴδιον τὸ ὑπ' ἄλλου ἀγαθύνεσθαι ἢ ἁγιάζεσθαι ἢ σοφίζεσθαι καὶ μὴ αὐτὴν ἀτρέπτως ὑπάρχειν ταῦτα. Καὶ ὁ Θεὸς δὲ ἐν Ἡσαΐᾳ δεικνύς, ὡς οὔποτε τὰς πνευματικὰς αὐτοῦ εὐλογίας λήψεταί τις, μὴ ἀνάπλεως πρότερον τῆς σοφίας καὶ συνέσεως τοῦ Ἁγίου Πνεύματος εὑρεθείς, ἔφη· «Ἐπιθήσω τὸ Πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου»[6]. Ὧ ἑπόμενα ἔγραψε Παῦλος· «Διὰ τοῦτο», φησί, «καὶ ἡμεῖς, ἀφ' ἧς

---

1. Ματθ. 25,21,23. 2. Πρβλ. Ματθ. 12,35. 3. Β' Ἔσδρ. 19,20. 4. Πρβλ. Ματθ. 7,11. 5. Λουκ. 11,13. 6. Ἡσ. 44,3.

ἡμέρας ἠκούσαμεν, οὐ παυόμεθα ὑπὲρ ὑμῶν προσευχόμενοι καὶ αἰτούμενοι, ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος αὐτοῦ, ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ περιπατοῦντες ἀξίως τοῦ Κυρίου»[1]. Δῆλον δέ, ὅτι λέγει «τοῦ θεϊκοῦ Πνεύματος». Συνεπινοεῖσθαι γὰρ τῷ Πνεύματι τοῦ Θεοῦ τὴν ἄνω ἀτελεύτητον βασιλείαν, ὡς μὴ ἀλλοτρίαν αὐτοῦ τυγχάνουσαν διὰ τὴν πρὸς τὸν Πατέρα καὶ τὸν Υἱὸν ἀλληλουχίαν. Καὶ αὖθ:ς διὰ τῆς αὐτῆς 'Επιστολῆς πιστοῦται, γράφων· «Οὐ γάρ **[533]** ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν Πνεύματι 'Αγίῳ»[2]. Οὐκ ἔλαθε δ' οὐδὲ τοῦτο καὶ Πέτρον. 'Απολογούμενος γὰρ τοῖς αἰτιωμένοις τὴν συντυχίαν, ἣν ἐποιήσατο πρὸς Κορνήλ:ον, ἔφη· «Εἰ οὖν τὴν ἴσην δωρεὰν δέδωκεν αὐτοῖς ὁ Θεός, παρασχὼν τὸ ῞Αγιον Πνεῦμα, ὡς καὶ ἡμῖν ἐν ἀρχῇ· ἐγὼ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν»[3]; Καὶ πάλιν· «Καὶ ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς δοὺς τὸ Πνεῦμα τὸ ῞Αγιον, καθὼς καὶ ἡμῖν· καὶ οὐδὲν διέκρινεν μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν»[4]. Τοῦτ' ἔστιν· 'Η τοῦ 'Αγίου Πνεύματος ἔκχυσις, ὡς ἂν τις εἴποι, ἡ ἀκατάσχετος καὶ ἄφθονος ἐπιφοίτησις αὐτοῦ, αἰτία προφητείας καὶ ἀνακαινισμοῦ καὶ οὐρανίων ἀγαθῶν καὶ τοῦ κατανοεῖν τὸ κάλλος τῆς θεϊκῆς ἀληθείας ἐστίν. 'Ως γὰρ τῷ 'Αποστόλῳ δοκεῖ· «'Ο καρπὸς τοῦ Πνεύματος, ἀγάπη, χαρά, εἰρήνη ἐστίν»[5]. ῞Οθεν καὶ πάλιν γράφει· «'Η γὰρ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν ἐν Πνεύματι 'Αγίῳ»[6]. Μιᾶς γοῦν οὔσης ἀγαθότητος τῆς ἐν ἑνάδι Τριάδος, πολλαὶ ἡμῖν ἀποτίκτονται ἀγαθότητες· ὥσπερ ἀληθείας καὶ δικαιοσύνης καὶ σοφίας μιᾶς οὔσης (τῆς ἄνω φημὶ) κατὰ τὸ «Δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου»[7] (ἥτις ἐστὶν ὁ μονογενὴς Θεός), καὶ κατὰ τὸ «Μόνῳ σοφῷ Θεῷ»[8], πολλαὶ πληθύνονται ἡμῖν ἄνωθεν ἀλήθειαι καὶ δικαιοσύναι καὶ σοφίαι κατὰ τὸ «'Αληθείας ἐκζητεῖ Κύριος»[9]· καὶ «Δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησε»[10]· καὶ «Πλῆθος σοφῶν, σωτηρία κόσμου»[11]· καὶ «Συμπορευόμενος σοφοῖς, σοφὸς ἔσῃ»[12]. Σαφὲς οὖν, ὡς τὸ Πνεῦμα τοῦ Θεοῦ, τῇ ὑπάρξει αὐτῇ, Πνεῦμα ἀγαθὸν[13] καὶ Πνεῦμα σοφίας[14] καὶ ἀληθείας[15] καὶ Πνεῦμα τοῦ ἀοράτου καὶ ἀσυνθέτου Θεοῦ καὶ Πατρὸς καθέστηκεν.

[536] Θ'. 'Η κτίσις οὐ γέγραπται φιλάνθρωπος· ἴδιον γὰρ τοῦτο κυρίως μόνης τῆς ὁμοουσίου Τριάδος. Φιλάνθρωπος γὰρ ὁ Πατὴρ «οὐχ ἕως τέλους ἡμῖν ὀργιζόμενος, οὐδ' εἰς τὸν αἰῶνα μηνίων, οὐδὲ ποιῶν ἡμῖν πρὸς τὰς ἁμαρτίας, οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταποδιδούς»[16] κατὰ τὸν ρβ' ψαλμόν· καὶ ὡς Σολομὼν λέγει· «Φείδῃ δὲ

---

1. Κολ. 1,9-10. 2. Ρωμ. 14,17. 3. Πρβλ. Πράξ. 11,17. 4. Πράξ. 15,8-9. 5. Γαλ. 5,22. 6. Πρβλ. Ρωμ. 5,5. 7. Ψαλ. 88,9. 8. Ρωμ. 16,27. Α' Τιμ. 1,17. 9. Ψαλ. 30,24. 10. Ψαλ. 10,7. 11. Σοφ. Σολ. 6,24. 12. Πρβλ. Παρμ. 13,20. 13. Πρβλ. Ψαλ. 142,10. 14. Πρβλ. Σοφ. Σολ. 7,7. 15. 'Ιω. 15,26. 16. Πρβλ. Ψαλ. 102,9-10.

πάντων, ὅτι πάντα σά ἐστι, Δέσποτα φιλόψυχε»[1], καθὰ εἴρηται· ὡς καὶ διὰ ταῦτα καλεῖσθαι ἡμῶν Δεσπότην τε καὶ Πατέρα τῆς κηδεμονίας αὐτοῦ τῇ δυνάμει κεκραμένης. Τῷ Θεῷ γὰρ οὐκ ἔστι πρόσρησις οἰκειοτέρα τῆς Πατρός, καὶ φιλανθρώπου, καὶ ἀγαθοῦ, καὶ ἁγίου. Φιλάνθρωπος ὁ Υἱός, ὅς γε δι' ἡμᾶς, τὰ ἔργα τῶν σεπτῶν αὐτοῦ καὶ νοητῶν χειρῶν, «ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών»[2], καθὰ Τίτῳ γράφει ὁ 'Απόστολος· «Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία τοῦ Σωτῆρος ἡμῶν Θεοῦ ἐπεφάνη»[3]. Καὶ ὅστις ἂν ἀπονείμῃ αὐτῷ, ὅσα πρέπει μονογενεῖ Θεῷ, λαβὼν πλέον ὧν ἤλπισεν ἀπέρχεται. Φιλάνθρωπον τὸ Ἅγιον Πνεῦμα τοῦ Θεοῦ, κατὰ τὴν Σοφίαν, οὕτω λέγουσαν· «Φιλάνθρωπον γὰρ Πνεῦμα σοφίας καὶ οὐκ ἀθωώσει δίκαιον»[4]. Οὐ γὰρ παρεῖδεν ἀπολλυμένην τὴν ἀνθρωπείαν φύσιν· ἀλλ' ἐφοίτησε δι' ἑαυτοῦ, ὁδηγῆσαν, διδάξαν πᾶσαν ἀλήθειαν, ἀνακαινίσαν ἡμᾶς καὶ τὰ θεϊκὰ χαρίσματα δωρησάμενον καὶ τοσαύτην τοῦ κατ' εἰκόνα θέμενον ἀνέκαθεν φροντίδα, ὥστε εἰς γνώρισμα τῆς ὑπερφυοῦς αὐτοῦ ἀγαθότητος καὶ ταύτην ἔχειν τὴν προσηγορίαν. Μεγάλα μὲν γὰρ στοιχεῖα οὐρανός, γῆ, θάλασσα· μεγάλη δὲ λογικὴ κτίσις, ἡ ἀγγέλων καὶ πάσης ὑπερκοσμίου δυνάμεως· ἀλλ' οὐκ ἀφ' ἑνὸς τούτων ἠξίωσεν, ἐκ δὲ τῆς πρὸς τὸν ἄνθρωπον ἀγαθότητος ἔχει ὄνομα τὸ φιλάνθρωπον ἡ Τριάς.

Ι'. Ἡ κτίσις, δούλη τοῦ τεχνησαμένου αὐτὴν Δεσπότου καθέστηκεν, ἐλευθερίαν, ἣν ἀφ' ἑαυτῆς μὴ κέκτηται, οὔτε ἑαυτῇ οὔτ' ἄλλοις παρέχειν δυναμένη. Φησὶ γὰρ ἡ προφητεία· «Τὰ σύμπαντα, δοῦλα
[537] σά»[5]. Τὸ δὲ Ἅγιον Πνεῦμα μονονουχὶ δοῦλον οὐ γέγραπται, ἀλλὰ καὶ ὡς Δεσπότης καὶ φύσει ἐλεύθερον, ἔνθα ἐστὶ καὶ οἷς ἐπιφοιτᾷ, ἐλευθερίαν, ἣν ἔχει, παρέχει. Τὰ γὰρ ποιήματα μόνα τῷ τῆς δουλείας ὑπάγεται ζυγῷ· τὸ δὲ μὴ δοῦλον, οὐδὲ ποίημα· τὸ δὲ μὴ ποίημα, φύσει Θεός· «οὐδὲν» γὰρ «τὸ δοῦλον πρὸς τὸ μὴ δοῦλον γένος» καὶ οἱ ἔξω ἔφασαν. Μάρτυς δὲ τούτων πιστὸς ὁ 'Απόστολος, γράφων Κορινθίοις μὲν ἐν τῇ δευτέρᾳ 'Επιστολῇ· «Ὁ δὲ Κύριος τὸ Πνεῦμά ἐστιν· οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία»[6]· Τιμοθέῳ δέ· «Οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς πνεῦμα δουλείας, ἀλλὰ Πνεῦμα δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ»[7]· 'Ρωμαίοις δέ· «Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλὰ πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν· 'Αββά, ὁ Πατήρ[8]. Ὥστε οὐκ ἔτι εἶ δοῦλος, ἀλλὰ υἱός»[9]. Καθάπερ οὖν ἠλευθερώθημεν παρὰ τοῦ Υἱοῦ, ἀκούσαντες· «Οὐκ ἔτι εἶ δοῦλος ἀλλ' ἐλεύθερος· καί, «Τῇ ἐλευθερίᾳ ᾗ ὁ Υἱὸς ὑμᾶς ἠλευθέρωσεν»[10]· οὕτω διὰ τὸ ταὐτὸν τῆς οὐσίας καὶ δεσποτείας, ὑπὸ τοῦ Πνεύματος ἐλευθερούμεθα, διὰ τοῦ μνημονευθέντος ῥήματος· «Οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία»[11].

---

1. Σοφ. Σολ. 11,27. 2. Φιλιπ. 2,7. 3. Τίτ. 3,4. 4. Πρβλ. Σοφ. Σολ. 1,6. 5. Ψαλ. 118,91. 6. Β' Κορ. 3,17. 7. Πρβλ. Β' Τιμ. 1,7. 8. Ρωμ. 8,15. 9. Γαλ. 4,7. 10. Πρβλ. Γαλ. 5,1. 11. Β' Κορ. 3,17.

ΙΑ'. Ἡ κτίσις, ἥ τε νοερὰ καὶ αἰσθητή, ὑπουργεῖ, οὐκ ἐπιτάττει ἀφ' ἑαυτῆς, ὡς περὶ τῶν ἀγγέλων λέγει· «Δυνατοὶ ἰσχύι, ποιοῦντες τὸν λόγον αὐτοῦ»[1]. Τὸ δὲ Ἅγιον Πνεῦμα τοῦ Θεοῦ αὐθεντικῶς προφήταις καὶ ἀποστόλοις προστάττει, ὡς Θεὸς καὶ Δεσπότης, καθὰ ἐν τοῖς ὑποκειμένοις κεφαλαίοις ἀποδειχθείη.

ΙΒ'. Ἡ κτίσις ἐνδυναμοῦται ὑπὸ τῆς παναλκοῦς καὶ πανδυνάμου θεϊκῆς ἰσχύος, οὐκ ἐνδυναμοῖ δὲ αὐτή. Τὴν γὰρ αὐτῇ διαρκοῦσαν ἐδέξατο δύναμιν καὶ μεταδιδόναι τοῖς συνδούλοις οὐ σθένει. Τὸ δέ γε Πνεῦμα τοῦ Θεοῦ, τῇ γονίμῳ καὶ θρεπτικῇ καὶ ἀνεκλείπτῳ αὐτοῦ ἰσχύι ἐνδυναμοῖ, ἐπειδὴ κτίστης καὶ οὐ κτίσμα τυγχάνει. Ὁ γὰρ Σωτὴρ ἐν ταῖς Πράξεσί φησιν· «Ὑμεῖς δὲ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ' ὑμᾶς»[2]· ὡς δίχα τῆς αὐτοῦ ἐπιφοιτήσεως, οὐδεμιᾶς ἡμῖν πρὸς τὸν Θεὸν δυνάμεως ἢ ἐλπίδος ὑπαρχούσης. Κατανοητέον δὲ πρὸς τούτῳ ἓν μέν, ὅτι τὴν παρουσίαν τοῦ Ἁγίου **[540]** Πνεύματος κατ' ἐξουσίαν σημαίνει γεγενῆσθαι· ἕτερον δέ, ὅτι οὐκ αὐτάγγελος ἦλθεν, ἀλλ' ὑπ' αὐτοῦ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος προεμηνύθη. Καὶ αὖθις οὖν λέγει· «Ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους»[3]. Αὕτη δὲ ἦν ἡ τοῦ Ἁγίου Πνεύματος. Καὶ Παῦλος γράφει Ῥωμαίοις ἃ θαυμάσαι ἢ ἑρμηνεῦσαι ἀξίως, μάλιστα ἐξ ἐπιδρομῆς, οὐδενὶ εὐπετές· «Ἔχω οὖν πεποίθησιν ἐν Χριστῷ Ἰησοῦ πρὸς τὸν Θεόν[4]. Οὐ γὰρ τολμῶ τι λαλεῖν, ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ λόγῳ καὶ ἔργῳ, εἰς ὑπακοὴν ἐθνῶν, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος Ἁγίου»[5].

ΙΓ'. Ἡ κτίσις οὐκ ἀληθεύει ἀεί· ἀλλ' ἐξ οἰκείας γνώμης ἔχει τροπῆς μέρος καὶ τὸ ψεύδεσθαί ποτε. Ὡς ἐν μὲν ἀσάρκοις, ὁ διάβολος· ἐν δὲ σαρκίνοις, καθὰ γράφει· «Πᾶς ἄνθρωπος ψεύστης»[6]· καὶ «Ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος»[7]. Οὐ γὰρ ἐπὶ ψεύδεσσι Πατὴρ Θεὸς ἔσσετ' ἀρωγός· ἔγραψαν καὶ οἱ ἔξω. Ἐν δὲ ἁγίοις, ὡς Παῦλος περὶ τῶν ἀποστόλων ἔφη· «Ἀλλ' ὅτε εἶδον, ὅτι οὐκ ὀρθοποδοῦσιν, πρὸς τὴν ἀλήθειαν τοῦ Εὐαγγελίου, εἶπον τῷ Κηφᾷ, ἔμπροσθεν πάντων»[8] ἃ εἶπεν. Ὡς ἀληθῶς γάρ, μόνης θεϊκῆς φύσεως τὸ ἀεὶ ἀψευδεῖν. Διὸ Ἑβραίοις ἐπέστειλεν· «Ἵνα, φησίν, διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι τὸν Θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος»[9]. Ἡ δὲ κοινωνία τοῦ Ἁγίου Πνεύματος, κοινωνοῦσα τῇ φύσει τῷ Πατρὶ καὶ τῷ Υἱῷ κοινωνεῖ εἰς ὅλα, ἔτι μὴν καὶ εἰς τὸ ἀψευδεῖν. Πνεῦμα γὰρ ἀληθείας ἐστὶ τοῦ Θεοῦ, ὡς προελέχθη, τῷ ἑνὶ θελήματι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ ἑαυτοῦ λαλοῦν καὶ ἀφ' ἑαυτοῦ οὐ λαλοῦν, ὡς ὁ Υἱός αὐτῷ ἐμαρτύρησεν, εἰπών· «Ἀφ' ἑαυτοῦ οὐ λαλήσει»[10].

1. Ψαλ. 102,20. 2. Πράξ. 1,8. 3. Λουκ. 24,49. 4. Πρβλ. Ρωμ. 15,17. 5. Ρωμ. 15,18-19. 6. Ρωμ. 3,4. 7. Ψαλ. 5,7. 8. Γαλ. 2,14. 9. Ἑβρ. 6,18. 10. Πρβλ. Ἰω. 16,13.

ΙΔ'. Ἡ κτίσις οὐδὲν ἔχει προσαγορευθὲν ἀλήθεια, διὰ τὸ μίαν εἶναι θεϊκὴν ἀλήθειαν, ὡς μία [541] ἐστὶν ἡ ἁγιότης, καὶ ἡ ἀγαθότης, ἀφ' ἧς ἑκάστοις ἡμῖν ταῦτα ἐφήκειν ὁμολογοῦμεν. Τὸ δὲ Ἅγιον Πνεῦμα ἀλήθεια προσηγόρευται, καθὰ ὁ Πατὴρ καὶ ὁ Υἱός· ἐπειδὴ τῆς αὐτῆς μιᾶς ἐστι θεότητος, οὐδὲν ἔχον πολυσχιδὲς ἢ διαφωνοῦν. Μαρτυρεῖ δὲ περὶ μὲν τοῦ Πατρὸς καὶ ἑαυτοῦ ὁ Υἱός, λέγων· «Πάτερ, ὁ λόγος ὁ σός, ἀλήθειά ἐστι»[1]· καὶ πάλιν· «Ἐγώ εἰμι ἡ ζωὴ καὶ ἡ ἀλήθεια»[2]. Περὶ δὲ τοῦ Ἁγίου Πνεύματος, ὡς προελέχθη.

ΙΕ'. Ἡ κτίσις οὐκ εἶδε τὰ τοῦ Θεοῦ· ὑπερβαίνει γὰρ αὐτήν· καὶ οὐδὲν πρὸς τοιαύτην εἴδησιν ὁρμῆσαι τολμᾷ, κἂν ἢ τῶν εὐδοκίμων· ἐπειδὴ γνῶναι τὰ τοῦ Θεοῦ, εἰς πάμπαν ἀδύνατον τῇ μὴ οὔσῃ τῆς αὐτῆς φύσεως, καὶ τὴν αὐτὴν γνῶσιν τῷ Θεῷ κεκτημένῃ, ὡς ἐδίδαξεν ὁ Σωτήρ, εἰπὼν ἐν Ἰωάννῃ· «Ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ ὁ κύριος αὐτοῦ»[3]· καὶ ὡς ἔγραψε Πέτρος· «Ἔστιν ἃ νῦν ἀναγγέλλει ὑμῖν, διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς Πνεύματι Ἁγίῳ, ἀποσταλέντι ἀπὸ οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι»[4]. Τὸ δὲ Ἅγιον Πνεῦμα ὅτι ἐπίσταται, ὡς ὁμοούσιος Θεός, ὁ Ἀπόστολος Κορινθίοις ἐπέστειλεν[5], ὡς προείρηται. Καὶ πάλιν τὴν μεγαλειότητα τοῦ Πνεύματος, καὶ τὴν πρὸς τὸν Πατέρα ἰσότητα παριστῶν, ἰσόρροπον ἐκείνῳ γράφει· «Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε, τὸ φρόνημα τοῦ Πνεύματος»[6]. Καθὰ γὰρ μέγα τι λέγων περὶ τοῦ Πατρός, εἶπεν εἰδέναι αὐτὸν τοῦ Πνεύματος τὸ φρόνημα· οὕτω τὴν πρὸς αὐτὸν κοινωνίαν τῆς φύσεως καὶ θελήσεως καὶ τὴν ἰσότητα τῆς ἀξίας καὶ δυνάμεως τοῦ Ἁγίου Πνεύματος παριστῶν ἔγραψε μόνον αὐτὸ εἰδέναι τὰ τοῦ Πατρός[7], καὶ τὰ βάθη αὐτοῦ ἐρευνᾷν[8] καὶ τὰς ἀγνώστους ἐκείνου νοήσεις, ἃς χρή, καὶ ἡνίκα δεῖ, τοῖς ἀξίοις ἐκφαίνειν. Τὸν δὲ Πέτρον, ὡς προείρηται, γράψαι· Ἀπεστάλη ἀπ' οὐρανοῦ τὸ Πνεῦμα[9]· νοείσθω, ᾧ τρόπῳ νοεῖται τὸ Ἀπεστάλη ὁ Υἱός[10]. Ὡς Λόγος γὰρ ἐκεῖνος, καὶ τοῦτο ὡς ῥῆμα καὶ Πνεῦμα τοῦ Θεοῦ ἀπεστάλη. Καὶ διὰ τὸ εἰδέναι, ὅτι τὰ παρὰ τοῦ Χριστοῦ ἢ τοῦ Ἁγίου Πνεύματος λεγόμενα, λέγεται καὶ παρὰ [544] τοῦ Πατρός, διὰ τὸ ἓν θέλημα, τὰ τοιαῦτα κεῖται ῥήματα. Οὔτε γὰρ ἀγνοεῖ ἢ πέμπεται ὡς δοῦλον· οὔτε ἀφ' ἑαυτοῦ λαλεῖ ἢ ποιεῖ ἢ ἔρχεται ὡς ἀντίθεον.

ΙϚ'. Ἡ κτίσις οὐχ ὁρᾷ τὸν Θεὸν καὶ Πατέρα οὕτως ὥς ἐστιν· ἑτέρᾳ γὰρ φύσει τοῦτο ἀχώρητον καὶ ἀβάστακτον ὑπάρχει· καὶ πρὸς αὐτήν ἐστι τό, «Οὐδεὶς ὄψεταί μου τὸ πρόσωπον καὶ ζήσεται»[11]. Αἱ δὲ Γραφαὶ λέγουσι, ποτὲ μὲν τὸν Υἱὸν μόνον, ποτὲ δὲ τὸ Ἅγιον Πνεῦμα μόνον ὁρᾶν, ἢ εἰδέναι τὸν Θεὸν Πατέρα, ἐπειδὴ ἐν μονάδι Θεότητος ἡ Τριάς· ὡς ἡνίκα ὁ Σωτὴρ παρὰ Ἰωάννῃ λέγει· «Οὐχ

---

1. Ἰω. 17,17. 2. Ἰω. 14,6. 3. Ἰω. 15,15. 4. Α' Πέτρ. 1,12. 5. Πρβλ. Α' Κορ. 2,11. 6. Ρωμ. 8,27. 7. Πρβλ. Α' Κορ. 2,11. 8. Πρβλ. Α' Κορ. 2,10. 9. Πρβλ. Α' Πέτρ. 1,12. 10. Πρβλ. Α' Ἰω. 4,9. 11. Πρβλ. Ἐξ. 33,20.

ὅτι τὸν Πατέρα τις ἑώρακεν εἰ μὴ ὁ ὢν ἐκ τοῦ Θεοῦ· οὗτος ἑώρακε τὸν Πατέρα»[1]. Ἔστι δὲ ἐκ τοῦ Θεοῦ κατὰ φύσιν ὁ Υἱὸς γεννητικῶς, καὶ τὸ Ἅγιον Πνεῦμα ἐκπορευτικῶς. Καὶ πάλιν· «Οὐδὲ γὰρ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν ὁ Υἱὸς ἀποκαλύψῃ»[2]. Καὶ ὡς ὅταν ἰδικῶς περὶ τοῦ Ἁγίου Πνεύματος, ὡς προελέχθη, Παῦλος Κορινθίοις γράφει. Καὶ ὡς Ἡσαΐας προφητεύει· «Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα γνώσεως καὶ εὐσεβείας»[3]. Οὐ γέγραπται οὖν, φησί, Ματθαίῳ ἀπὸ τοῦ Σωτῆρος «Ὁρᾶτε, μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς»[4]; Ναί· ἀλλὰ βλέπουσιν, οὐχ ὅσος καὶ οἷός ἐστιν ὁ Θεός, ἀλλὰ καθ' ὅσον αὐτοὶ χωροῦσιν· Ὁ δὲ Μονογενὴς καὶ τὸ Ἅγιον Πνεῦμα, διὰ τὸ ταὐτὸν τῆς θεότητος, ὁρῶσιν οὕτως ὥς ἐστιν ὁ ἀμεγέθης καὶ ἀνείδεος Θεός.

ΙΖ'. Ἡ κτίσις ἡ λογική, ὅταν ἀξία γένηται ἀνακαινισμοῦ καὶ υἱοθεσίας, ὑπὸ τῆς πανδυνάμου χάριτος τοῦ Ἁγίου Πνεύματος τούτων ἀξιοῦται· ἐπειδὴ οὐ κτίσμα, ἀλλὰ Θεὸς ὑπάρχει, οἷος ὁ κτίσας τὸ πρῶτον.

ΙΗ'. Ἡ κτίσις πᾶσα, ὁρατὴ καὶ ἀόρατος, ὀνομαστὶ προστάττεται ὑπὸ τῶν τριῶν παίδων Ἀνανία, Ἀζα**[545]**ρία καὶ Μισαήλ, ἐν τῇ Βαβυλωνίᾳ καμίνῳ ἀποτεθέντων, ὑμνεῖν καὶ ὑπερυψοῦν τὸν Θεὸν εἰς τοὺς αἰῶνας[5]· ἔτι δὲ καὶ τὰ Χερουβὶμ καὶ ὁ θεϊκὸς θρόνος, ὃς ἐνταῦθα νοεῖται τὰ Σεραφίμ, δοξάζει, ἅτε ὄντα καὶ αὐτὰ μέρος τῆς κτίσεως. Ἔφασαν γὰρ οἱ αὐτοί· «Εὐλογημένος εἶ, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ»[6]· καὶ πάλιν, ἀντὶ τοῦ μνημονεῦσαι τῶν Σεραφίμ· «Καὶ εὐλογημένος εἶ ἐπὶ θρόνου τῆς βασιλείας σου καὶ ὑπερύμνητος καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας»[7]. Ὁμοίως καὶ ὑπὸ τοῦ Δαυΐδ, ἐνεργουμένου ὑπὸ τοῦ Ἁγίου Πνεύματος, ἐν ρβ' καὶ ἐν ρμη' ψαλμῷ, παρακελεύεται ἡ κτίσις αἰνεῖν τὸν Κύριον. Τὸ δὲ Ἅγιον Πνεῦμα, ὡς καὶ ὁ Υἱός, οὐ συνεμνημονεύθη· ἐπειδὴ καὶ αὐτὸ οὐ δημιούργημα ἀλλὰ δημιουργός· οὐδὲ τῶν ὑμνούντων, ἀλλὰ τῶν ὑμνουμένων καὶ ὑπ' αὐτῶν τῶν Σεραφίμ ἐστι, τῶν σὺν πολλῷ φόβῳ περιεστώτων τὸ θεϊκὸν βῆμα καὶ συγκαλυπτόντων ταῖς πτέρυξιν ἑαυτά, καὶ ἀμοιβαδὸν ἀνταναφωνούντων ἀσιγήτοις στόμασι καὶ ἀκαταπαύστῳ φωνῇ, τρίτον «Ἅγιος»[8], διὰ τὰς τρεῖς ὑποστάσεις· ἅπαξ «Κύριος», διὰ τὴν μίαν κυριότητα· ἅπερ ὅτι μάλιστα δείκνυσι τὴν θεότητα τοῦ πανυμνήτου Πνεύματος. Μακεδονιανοὶ δέ, φυλαττόμενοι καὶ οἷον δεδοικότες, μὴ περὶ αὐτοῦ ἢ προσήκοντά ποτε λέγοντες ὀφθῶσιν ἢ ἀπρόσηκα προέμενοι λάθωσιν, ἐπιβαίνουσιν, ἄνευ δίκης ἑαυτοῖς ἐπιτρέποντες καὶ τῷ κεφαλαίῳ

1. Ἰω. 6,46. 2. Πρβλ. Ματθ. 11,27. Λουκ. 10,22. 3. Ἡσ. 11,2. 4. Ματθ. 18,10-11. 5. Πρβλ. Δαν. 3,51 κ.ἑ. 6. Δαν. 3,55. 7. Δαν. 3,54. 8. Πρβλ. Ἡσ. 6,2-3.

τῷδε, ὅπλα πανταδοπὰ κινοῦντες, τοὺς ἀκολάστους λόγους, καὶ φάσκοντες συναρπακτικῶς. Γέγραπται φησίν· «Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸν ψαλμός· τῷ Θεῷ ἡδυνθείη αἴνεσις»[1]· καί, «Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε»[2]. Οὐδαμοῦ δὲ δῆθεν εὑρίσκομεν· Αἰνεῖτε τὸ Ἅγιον Πνεῦμα. Ἀπαντητέον δὲ αὐτοῖς οὕτως· Εἰ περὶ τοῦ Πατρὸς δέχεσθε, ἃς προεκομίσατε φωνάς, ἐκβάλλετε τὸν Υἱόν· εἰ δὲ περὶ τοῦ Υἱοῦ, τὸ ἐναντίον· ὁπότε καὶ τὸ Ἅγιον Πνεῦμα Κύριός ἐστί τε καὶ γέγραπται· καὶ ἄδηλον περὶ ποίας ὑποστάσεως γέγραπται νῦν τὸ «Κύριος». Σκοπεῖτε οὖν, εἰ μὴ τοὐναντίον ἑαυτοῖς ἐχρήσασθε. Τὸ δὲ Ἅγιον Πνεῦμα ὅτι οὐχ ὑμνεῖ, ἐπειδὴ μὴ κτίσμα ἐστίν, συνυμνεῖται δέ, τῷ Θεοῦ Πνεῦμα ὑπάρχειν, ῥᾷον καταμαθεῖν, ἀπό τε τοῦ συντάττεσθαι αὐτῷ καὶ ἀπὸ τοῦ τοὺς τρεῖς παῖδας καὶ τὸν Ἱεροψάλτην, πᾶσαν τὴν κτίσιν κατ' ὄνομα ὑμνεῖν παρακελεύεσθαι, οὐ μὴν **[548]** τὸ τοῦ Θεοῦ Πνεῦμα, ὡς ἔχουσι συνηθείας οἱ ἅγιοι ἐξονομάσαι. Εἰ γάρ, ὥς φασιν αἱρετικοί, μέσης Θεοῦ καὶ ἀγγέλων φύσεώς ἐστι καὶ τιμιώτερον καὶ ἀνωτέρω πάντων· ἔδει, ἐπειδὴ μάλιστα ἕν ἐστιν ἢ καθ' ἑαυτὸ παρακελεύσασθαι αὐτὸ ἀνυμνεῖν ἢ κἂν πρῶτον αὐτὸ ὀνομάσαι καὶ αὐτῷ τὰ ἄλλα γενικῶς συναναλαβεῖν· οὐ μήν, ὡς αὐθαδῶς εἰκάζουσι, τὸ ἀνάπαλιν.

ΙΘ'. Ἡ κτίσις οὐ συναριθμεῖται τῷ Θεῷ. Τί γὰρ καὶ κοινὸν τῇ οὔσῃ ἐν μειώσει πρὸς τὸν πάντων ὑπέρτατον καὶ ὑπὲρ πᾶσαν ὄντα ὑπερβολὴν ἢ τῇ γενομένῃ πρὸς τὸν ποιήσαντα; Τὸ δὲ πάντιμον Πνεῦμα, ὡς Θεός, ἢ μετὰ Πατρὸς καὶ Υἱοῦ συνονομάζεται· ὡς ὅταν ὁ Δεσπότης τὸν περὶ τὸ βάπτισμα δίδωσιν ὅρον, καὶ ὡς ὅταν ὁ Ἀπόστολος Κορινθίοις τὸ δεύτερον γράφῃ· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν»[3]· ἢ μετὰ μιᾶς αὐτῶν ὑποστάσεως· ἢ καὶ κατὰ μόνας, καθὰ ἐν τῷ πρώτῳ εἴρηται βιβλίῳ, μνημονεύεται. Ἀπὸ δὲ τῆς προαιρέσεως τοῦ ἐξοβλήτου καὶ ἀπερριμμένου Οὐαλεντίνου, τοῦ μανιχαΐσαντος, καὶ πρὸς τοῖς ἄλλοις ἀτόποις μυθοπλάσμασι μανιωδῶς εἰπόντος ἡλικιώτην τὸ θεϊκὸν Πνεῦμα τοῖς ἀγγέλοις, ὁρμώμενοι οἱ Μακεδόνιοι, φασί· Παῦλος Τιμοθέῳ ἔγραψε· «Διαμαρτύρομαι ἐνώπιον τοῦ Θεοῦ καὶ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων»[4]· τὸ δὲ Ἅγιον Πνεῦμα, ὡς συντάξας δῆθεν τοῖς ἀγγέλοις, ἀπεσιώπησεν. Ἀπὸ δὲ τοῦ περισσεύματος τῆς καρδίας αὐτῶν τῆς ἰδίας ἡ ἔννοιά ἐστιν αὕτη. Κἂν γάρ ποτε ἰδικῶς μὴ γένηται μνήμη τοῦ Ἁγίου Πνεύματος, συναναλαμβάνεται τῷ Θεῷ Πατρί, ἅτε Πνεῦμα αὐτοῦ κατὰ φύσιν ὄν. Διά τοι τοῦτό ἐστιν, ὅτε ἢ αὐτὸς ὁ Θεὸς Πατὴρ τῷ ῥήματι οὐκ ἐμνημονεύθη, ἀλλὰ τῇ πιστῇ διανοίᾳ, ὁ δὲ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα ἐμνημονεύθη· ἢ τὸ ἔμπαλιν. Ὅπου γε ὁ μὴ ὀφείλων μνημονεύεσθαι Οὐαλεντῖνος, τὸ μὲν ἁγιαστικὸν Πνεῦμα, Παράκλητον

1. Ψαλ. 146,1. 2. Ψαλ. 91,2. 3. Β' Κορ. 13,13. 4. Α' Τιμ. 5,21.

ὠνόμασεν, ὡς καὶ ὁ Δεσπότης Χριστός, Παράκλητος ἐκ τοῦ παρακαλεῖσθαι ἐκλήθη· τοὺς δὲ ἁγιαζομένους λειτουργούς, προσ**[549]**ηγόρευσεν ἀγγέλους. Πρὸς τούτοις οὐδαμοῦ Γραφῆς εἰς δημιουργίαν ἢ μυσταγωγίαν ἢ δοξολογίαν ἀγγέλους συμμνημονευομένους εὑρίσκομεν τῷ Θεῷ. Τοῦ δὲ Ἁγίου Πνεύματος κοινωνίαν πρὸς τὴν θεότητα ὁ Παῦλος Κορινθίοις ἐν τῇ δευτέρᾳ γέγραφεν Ἐπιστολῇ· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος»[1]· καὶ ἐν ἄλλοις· «Εἴ τις κοινωνία Πνεύματος»[2]. Ὁ γοῦν Ἱεροψάλτης, τὴν πρὸς τὰ λειτουργικὰ πνεύματα ἐξαλλαγὴν τοῦ ἀγενήτου Λόγου καὶ τοῦ θεϊκοῦ Πνεύματος, καὶ τὸ μὴ εἶναι τῆς ἐκείνων συστοιχίας, ἀλλ' ὑπὸ τῶν αὐτοτελῶν ὑποστάσεων τούτων καὶ δι' αὐτῶν καὶ δι' αὐτὰς τὸν Θεὸν Πατέρα καὶ ἐν αὐταῖς ἐκτίσθαι τοὺς ἀγγέλους καὶ τὰ πάντα τελειοῦσθαι καὶ διακρατεῖσθαι, βοᾷ ῥήμασι τοιοῖσδε· «Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαι αἱ δυνάμεις αὐτῶν»[3]. Νοητέον γὰρ Λόγον, τὸν δι' οὗ τὰ πάντα· Πνεῦμα στόματος Κυρίου, τὸ Ἅγιον Πνεῦμα· δυνάμεις οὐρανῶν, αὐτάς τε τὰς συστάσεις αὐτῶν καὶ μέντοι ἀγγέλους καὶ ἀρχὰς καὶ ἐξουσίας καὶ δυνάμεις. Καὶ πάλιν· «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον»[4]. Διαπληκτίζεται δὲ πρὸς αὐτοὺς καὶ ὁ Ἀπόστολος, κράζων· «Ἓν Πνεῦμα ἐποτίσθημεν»[5]. Ὡς γὰρ τὸ ἀπαύγασμα χωρισθῆναι ἀμήχανον τοῦ φωτὸς καὶ τὴν σοφίαν τοῦ σοφοῦ, τοῦτ' ἔστι τὸν Υἱὸν ἀπὸ τοῦ Πατρός· οὕτως καὶ τὸ Ἅγιον Πνεῦμα ἀπ' ἐκείνου, οὗ ἐστι Πνεῦμα, ὡς ἡμῖν ὃ ἀναπνέομεν. Ἔλαθον τοίνυν ἑαυτούς, ὡς δι' ὧν ἀκαίρως ἡμῖν οὐ συντίθενται καὶ εἰς τὸν ἀκατάσειστον οἶκον ἐπάνεισιν τὸν ἐν ἀρχαῖς, ὅθεν ἀπεπήδησαν· πράγματα πλέκουσι τῷ Ἀποστόλῳ, αὐτῶν ἕνεκα διαμαρτυραμένῳ ἐν τοῖς ἐγκειμένοις αὐτοῦ ῥήμασιν, ἐνώπιον τῆς ἀκτίστου φύσεως καὶ τῆς κτιστῆς, πα**[552]**ραπλησίως πως τοῦ εἰπόντος· «Ἥμαρτον τῷ Θεῷ καὶ ἀνθρώποις»[6]. καὶ «Διαμαρτύρομαι σήμερον τὸν οὐρανὸν καὶ τὴν γῆν»[7]· καὶ «Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ»[8].

Κ'. Ἡ κτίσις ἀκοινώνητα ἔχει τὰ ὀνόματα πρὸς τὰ ἐπὶ τοῦ Θεοῦ λεγόμενα ὀνόματα, ὡς καὶ τὴν φύσιν. Τὸ δὲ Ἅγιον Πνεῦμα κοινωνεῖ τοῖς ὀνόμασι τοῦ Θεοῦ, διὰ τὸ καὶ τῇ φύσει κοινωνεῖν· πλὴν ὅτι ὁ Πατὴρ μόνος καλεῖται Πατήρ, διὰ τὸ μόνον ὑποστάσει γεννῆσαι· καὶ ὁ Υἱός, Υἱὸς καὶ οὐ Πατήρ, ἀκτίστου φύσεως, διὰ τὸ ἀληθῶς γεννηθῆναι μέν, μὴ γεννῆσαι δέ. Ὡς ἡνίκα ἡ Γραφὴ ὀνομάζει καὶ αὐτὸ τὸ Πνεῦμα Κύριον, ὡς πάντων δεσπόζον καὶ κοινωνοῦν τῆς μιᾶς βασιλείας τῷ Πατρὶ καὶ τῷ Υἱῷ· Ἅγιον, ὡς **[553]** αὐτὸ φύσει ἅγιον, καὶ ὡς τὴν κτίσιν ἁγιάζον· ἄφθαρτον, ἀγαθόν, ἀγάπην, σοφίαν, σύνεσιν

---

1. Β' Κορ. 13,13. 2. Φιλιπ. 2,1. 3. Ψαλ. 32,6. 4. Ψαλ. 103,4. 5. Α' Κορ. 12,13. 6. Πρβλ. Λουκ. 15,18. 7. Δευτ. 4,26. 8. Ἠσ. 1,2.

ὡς καὶ τὸν Θεὸν προσηγόρευσεν· δύναμιν, ἀφ' ὧν ἐνδυναμοῖ· δίκαιον ἀφ' ὧν δικαιοῖ, αὐτοαναμάρτητον ὑπάρχον· Παράκλητον, ὡς καὶ τὸν Υἱόν· πῦρ, ἀφ' ὧν ὤφθη τοῖς ἀποστόλοις πυρίναις γλώσσαις, καθὰ περὶ μὲν τοῦ Πατρὸς λέγει Μωϋσῆς· «Ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον»[1]· περὶ δὲ τοῦ Υἱοῦ Ἰωάννης· «Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί»[2]· καὶ ὅσα τοιαῦτα.

ΚΑ'. Ἡ κτίσις οὐδὲν ἔχει ἐν μιᾷ ὑποστάσει, ἤτοι ἐν ἑνὶ προσώπῳ, ὑπάρχον. Καὶ γὰρ ἄγγελοι καὶ ἀρχάγγελοι πολλοί· τὰ σεραφὶμ ὁμοίως· τὰ χερουβίμ, οὐχ ἕν τί ἐστιν, ἀρχαὶ καὶ ἐξουσίαι εἴρηνται, δυνάμεις καὶ κυριότητες καὶ θρόνοι πληθυντικῶς· οὐρανοί, ἄνθρωποι, καὶ τὰ λοιπὰ ποιήματα. Κοινωνεῖ γὰρ καὶ ἥλιος καὶ σελήνη τῷ πλήθει τῶν ἄστρων, τῇ τε φύσει καὶ τῷ πυροειδεῖ, ὡς ἐξεργαστικώτερον ὁ πρῶτος τοῦτο περιέσχεν λόγος. Τὸ δὲ Ἅγιον Πνεῦμα, ὡς μὴ ἐναρίθμιον τῇ κτίσει, ἓν καὶ τὸ αὐτὸ εἶναι τὰ λόγια ἡμῖν προσανεφώνησεν.

ΚΒ'. Ἡ κτίσις οὐ γέγραπται εἶναι ὕδωρ ζωῆς· οὐ γὰρ ἀφ' ἑαυτῆς ἔσχεν ἀειζωΐαν, ὡς ὁ ἀνάρχως ζῶν Θεός. Τὸ δὲ Ἅγιον Πνεῦμα τοῦτο εἶναι εὐφημοῦσιν οἱ ἐν τοῖς ὑπογεγραμμένοις μνημονευθησόμενοι ἱεροκήρυκες, ὡς ἐκ τῆς ἀθανάτου καὶ φυσιζῴου πατρικῆς πηγῆς συμφυῶς ἐκπορευόμενον, οὐχὶ κτιζόμενον. Καθάπερ γὰρ ἐν τῷ πρώτῳ εἴπομεν λόγῳ, ὅτι τὸ φῶς οὐ γενεσιουργεῖ τὴν ἑαυτοῦ αὐγήν, ἀλλὰ γεννᾷ· οὕτως ἐνταῦθα, ὅτι ἡ πηγὴ οὐ γενεσιουργεῖ τὸ ἐξ αὐτῆς ὕδωρ, ἀλλ' ἐκπορευόμενον ἔχει καὶ ὁμοούσιον. Οὐδεὶς γὰρ τοῦ ἑαυτοῦ ἢ υἱοῦ ἢ πνεύματος γενεσιουργός ἐστιν· ἐπεὶ οὐκ ἔτι πατήρ, οὔτε πνεῦμα ἔχων. Ἱερεμίας ἐκ προσώπου τοῦ Θεοῦ· «Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἐπὶ τούτῳ ἡ γῆ· ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαός μου. Ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος καὶ ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται ὕδωρ συνέχειν»[3]. Τὸ μυστήριον ὁ προφήτης μυστικῶς ἐκτίθεται. Εἶπε γὰρ πηγὴν τὸν Θεόν· ὕδωρ δὲ ζῶν τὸ Ἅγιον Πνεῦμα, τὸ ἐν τῇ κολυμβήθρᾳ πάσας ἡμῶν ἐκκαθαῖρον τὰς ἁμαρτίας, τὸ διασπασθῆναι, τῇ φύσει τῆς νοητῆς πηγῆς μὴ δυνάμενον, ὡς καὶ τὸ ἐκ πηγῶν ῥεῖθρον. Ἡσαΐας ὁμοίως· «Ἐγὼ δώσω ὕδωρ ἐν δίψῃ τοῖς πορευομένοις ἐν **[556]** ἀνύδρῳ· ἐπιθήσω τὸ Πνεῦμά μου ἐπὶ τὸ σπέρμα σου καὶ τὰς εὐλογίας μου ἐπὶ τὰ τέκνα σου· καὶ ἀνατελοῦσιν ἀνὰ μέσον ὕδατος, ὡς χόρτος καὶ ὡς ἰτέα ἐπὶ παραρρέον ὕδωρ»[4]. Καὶ τοῦτο διὰ κρυφίων ἔχει νοητὴν διαίρεσιν. Τοῖς γὰρ ἐν ἀγνοίᾳ, φησίν, τυγχάνουσιν τοῦ βαπτίσματος καὶ διὰ τοῦτο πορευομένοις ἐν ἀνύδρῳ, «ἐπιθήσω τὸ Πνεῦμά μου»[5], τὸ ποιῆσαι δυνάμενον τὴν κολυμβήθραν ἀναθῆλαι αὐτούς, ὡς τὰ φίλυδρα τῶν φυτῶν καὶ «ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων· ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ καὶ τὸ

---

1. Πρβλ. Δευτ. 4,24. 2. Ματθ. 3,11. 3. Ἱερ. 2,12-13. 4. Ἡσ. 44,3-4. 5. Πρβλ. Ἡσ. 44,3.

φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται»[1]. Καὶ ὁ ἱεροψάλτης τὸ ἀληθὲς τῷ πράγματι ἀφανές πως τῷ λόγῳ διὰ τὸ ἀναγκαῖον ποιῶν, ἀναμέλπει, ἐν μὲν λε' ψαλμῷ· «Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς»[2]· ἐν δὲ ρμζ'· «Ἐξαποστελεῖ τὸν Λόγον αὐτοῦ καὶ τήξει αὐτά· πνεύσει τὸ Πνεῦμα αὐτοῦ καὶ ῥυήσεται ὕδατα[3] εὐφραίνοντα τὴν πόλιν τοῦ Θεοῦ[4] τὴν μεγάλην»· αὕτη δέ ἐστιν ἡ πᾶσα οἰκουμένη. Ἵν' οὕτως γὰρ εἴπω, ὅπερ ἀνθρώποις ἐστὶν ἑκάστη πόλις, τοῦτο παντοκράτορι ἡ οἰκουμένη. Βαρούχ ἀποκλαιόμενος τὸν λαὸν ὄντα ἐν γῇ Χαλδαίων τῶν Πνεῦμα Ἅγιον μὴ ἐχόντων, βοᾷ· «Τί σοί ἐστιν, Ἰσραήλ, ὅτι ἐν γῇ τῶν ἐχθρῶν εἶ; Ἐπαλαιώθης ἐν γῇ ἀλλοτρίᾳ, συνεμιάνθης τοῖς νεκροῖς, προσελογίσθης μετὰ τῶν εἰς ᾅδου. Ἐγκατέλιπες πηγὴν τῆς σοφίας· τῇ ὁδῷ τοῦ Θεοῦ εἰ ἐπορεύθης, κατῴκεις ἂν ἐν εἰρήνῃ τὸν αἰῶνα[5] χρόνον»· πηγὴν τὸν Θεόν, σοφίαν τὸ Ἅγιον Πνεῦμα λέγων. Ἰωάννης ἀπὸ τοῦ Υἱοῦ πρὸς τὴν Σαμαρείτιδα· «Εἰ ᾔδεις τὴν δωρεὰν τοῦ Θεοῦ, καὶ τίς ἐστιν ὁ λέγων σοι, Δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτόν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν»[6]· τῆς κολυμβήθρας τοῦ Ἁγίου Πνεύματος τὰ ἀθάνατα νάματα λέγων· Ὅτι γὰρ πάντα ταῦτα περὶ τοῦ Πνεύματος τοῦ Θεοῦ εἴρηται, ὁ μνημονευθεὶς εὐαγγελιστὴς ἡρμήνευσεν ἐπὶ λέξεως. Τοῦ γὰρ Σωτῆρος εἰπόντος, «Εἴ τις διψᾷ, ἐρχέσθω πρός με καὶ πινέτω. Ὁ πιστεύων εἰς ἐμέ, καθὼς εἶπεν ἡ Γραφή, ποταμοὶ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος»[7], εὐθὺς ἐπήγαγεν· «Τοῦτο δὲ εἶπεν περὶ τοῦ Πνεύματος, οὗ ἔμελλον λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν»[8].

ΚΓ'. Ἡ κτίσις ἐλαίῳ κτιστῷ ἁγιαζομένῳ ἐν τῷ βαπτίσματι χρίεται. Ὁ Σωτήρ, ὡς Θεός, τῷ συνακτίστῳ αὐτοῦ ἐχρίσατο παναγίῳ Πνεύματι παρὰ τοὺς μετόχους, ἡμᾶς. Εἰ γὰρ κτίσμα ἦν, οὐκ ἂν τῷ ἰδίῳ ἐχρίσατο ποιήματι ὁ ἄκτιστος. Μάρτυρες δὲ οἱ ὑπογεγραμμένοι· Ἡσαΐας ἀπὸ τοῦ Σωτῆρος λέγων· «Πνεῦμα Κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με»[9]· Δαυῒδ δέ· «Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου **[557]** ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου»[10]. Διὰ τοῦτο, ποῖον; Ἐπειδὴ Θεὸς ἀχειροποίητος ὤν, ὑπὸ Θεοῦ ἀκτίστου, ἀνάρχου ἐχρίσθη. Εἶπε δὲ τὸ «Ὁ Θεός σου»[11], διὰ τὴν ἐκ Παρθένου γέννησιν αὐτοῦ. Πέτρος ἐν ταῖς Πράξεσιν· «Ὑμεῖς ἐπίστασθε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας καὶ Σαμαρείας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας μετὰ τὸ βάπτισμα, ὃ ἐκήρυξεν Ἰωάννης· Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲθ ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι Ἁγίῳ καὶ δυνάμει»[12]· αἱ Πράξεις· «Συνήχθησαν ἐπ' ἀληθείας ἐν τῇ πόλει ταύτῃ, ἐπὶ τὸν ἅγιον παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας»[13]. Καὶ τὰ Ἄσματα δὲ περὶ τούτου ὑφηγεῖται οὑτωσί· «Μύρον ἐκκενωθὲν ὄνομά σοι· διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε»[14]. Μύρου ὄνομα εἶναι τῷ Χριστῷ λέγει τὸ τοῦ

1. Ψαλ. 1,3. 2. Ψαλ. 35,10. 3. Ψαλ. 147,7. 4. Πρβλ. Ψαλ. 45,5. 5. Βαρ. 3,10-13. 6. Ἰω. 4,10. 7. Ἰω. 7,37-38. 8. Ἰω. 7,39. 9. Ἡσ. 61,1. 10. Ψαλ. 44,8. 11. Ἔνθ' ἀν. 12. Πράξ. 10,37-38. 13. Πράξ. 4,27. 14. Ἆσμ. 1,3.

Παρακλήτου· ἐπειδὴ ἄμφω αἱ ὑποστάσεις τοῦ τε ὀνόματος κοινωνοῦσιν καὶ ἐν ἑαυταῖς τὴν τοῦ Θεοῦ καὶ Πατρὸς εὐωδιάζουσιν φύσιν. Νεάνιδας δὲ τὰς Ἐκκλησίας λέγει, ἐν αἷς δοξάζεται, περὶ ὧν καὶ Δαυῒδ ἐν ξζ' εἶπε ψαλμῷ· «Προέφθασαν ἄρχοντες, ἐχόμενα ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν»[1]· οὕτω φράσας διὰ τὸ ἐκβόητον τῆς πίστεως καὶ διὰ τὸ ἠχεῖν αὐτὰς εἰς πᾶσαν τὴν γῆν τοῖς ἀναγνώσμασι καὶ ταῖς ψαλμῳδίαις. Πρὸς ἑκάστην δὲ αὐτῶν ἐν τοῖς Ἄσμασι καὶ αὐτὸς ὁ ὡραῖος τῷ κάλλει νυμφίος σωφρόνως προσλαλεῖ· «Ἰδοὺ εἶ καλή, ἡ πλησίον μου· ἰδοὺ εἶ καλή»[2]. Καὶ πάλιν ἐπιθαλάμιον ὥσπερ ᾄδει· «Δεῦρο ἀπὸ Λιβάνου, νύμφη· δεῦρο ἀπὸ Λιβάνου· ἐλεύσῃ καὶ διελεύσῃ ἀπὸ ἀρχῆς πίστεως»[3]. Ὅτι δὲ καὶ ἡμεῖς χρίσμα δεχόμεθα ἐν τῷ ἀνακαινισμῷ, Ἰωάννης γράφει ἐν τῇ πρώτῃ Ἐπιστολῇ· «Καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου καὶ οἴδατε πάντα»[4]. Ὥσπερ, φησίν, ἐν τῇ οἰκονομίᾳ ὁ Σωτὴρ καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ Ἁγίου Πνεύματος. Καὶ τοῦτο δὲ τὸ σωτήριον δῶρον κοινῇ ὑπὸ τῆς μακαρίας Τριάδος ἡμῖν παρεσχῆσθαι, διδάσκουσιν οὕτως· Ἡσαΐας· «Καὶ ποιήσει Κύριος Σαβαὼθ πᾶσι τοῖς ἔθνεσιν ἐπὶ τὸ ὄρος τοῦτο, πίονται οἶνον, χρίσονται μύρον ἐν τῷ ὄρει τούτῳ. Παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν»[5]. Ὄρος γὰρ τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, διὰ τὸ ὑψηλὸν τῆς πίστεως· οἶνον, τὸ δεσποτικὸν σωτήριον αἷμα· μύρον, ὃ ἁγιασθέντες ἀλειφόμεθα ὑπὸ τοῦ ἱερέως, προανεφώνησεν. Ἰωάννης ἐν τῇ αὐτῇ πρώτῃ Ἐπιστολῇ περὶ τοῦ Χριστοῦ· «Καὶ ὑμεῖς τὸ χρίσμα, ὃ **[560]** ἐλάβετε ἀπ' αὐτοῦ, μένει ἐν ὑμῖν· καὶ οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς, ἀλλ' ὡς τὸ αὐτοῦ χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων»[6]· Παῦλος δὲ ἐν τῇ δευτέρᾳ πρὸς Κορινθίους· «Ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν καὶ χρίσας ἡμᾶς Θεὸς καὶ σφραγισάμενος ἡμᾶς καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν»[7].

ΚΕΦΑΛΑΙΟΝ Ζ'

Περὶ τῶν θεϊκῶν ἐνεργειῶν καὶ παροχῶν τοῦ Ἁγίου Πνεύματος.

Ἄγαν τοίνυν φιλοτίμως τὴν θείαν καὶ ἀκροτάτην τοῦ Ἁγίου Πνεύματος φύσιν, τὴν οὖσαν ὑπὲρ ζωὴν καὶ ὑπὲρ νοῦν, τὰ λόγια ἐπιδείξαντα ἐφάμιλλον αὐτῆς καὶ τὴν κηδεμονικωτάτην ἔνθεον ἐνέργειαν ἐκφαίνει οὑτωσί.

Α'. Ὅτι ζωοποιεῖ, ὡς Πνεῦμα ὑπάρχον τοῦ ζωογονοῦντος τὰ πάντα Θεοῦ, κατὰ Παῦλον τὴν σάλπιγγα τῆς πίστεως, γράφοντα, Ῥωμαίοις μέν· «Ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς, ἐν Χριστῷ

1. Ψαλ. 67,26. 2. Ἀσμ. 1,15. 3. Ἀσμ. 4,8. 4. Α' Ἰω. 2,20· 5. Ἡσ. 25,6-7. 6. Α' Ἰω. 2,27. 7. Β' Κορ. 1,21-22.

᾿Ιησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου»[1]. Καὶ πάλιν· «῾Ο ἐγείρας ᾿Ιησοῦν Χριστὸν ἐκ νεκρῶν, ζωοποιήσει καὶ τὰ θνητὰ ὑμῶν σώματα, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν»[2]· Κορινθίοις δέ· «Οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ᾿ ἑαυτῶν λογίσασθαί τι, ὡς ἐξ ἑαυτῶν· ἀλλ᾿ ἡ ἱκανότης ἡμῶν ἐκ Θεοῦ· ὃς καὶ ἱκάνωσεν ἡμᾶς διακόνους Καινῆς Διαθήκης, οὐ γράμματος, ἀλλὰ πνεύματος. Τὸ γὰρ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ»[3]. Γράμμα δὲ εἶπε τὸν Μωσαϊκὸν νόμον, τὸν διαγορεύοντα «ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα ἀντὶ ὀδόντος»[4] καὶ ἀμυνόμενον τὸν ἀσυνέτως βιοτεύοντα· ζωοποιὸν δέ, τὸ ῞Αγιον Πνεῦμα τοῦ Θεοῦ, τὸ μηκέτι ὑπὸ νόμον, ἀλλ᾿ ὑπὸ χάριν ἡμᾶς ποιῆσαν, καὶ παρεγ**[561]**γυῆσαν μὴ ἀποδοῦναι κακὸν ἀντὶ κακοῦ, μᾶλλον δὲ ἀγαθὸν ἀντὶ κακοῦ παρασχεῖν. «᾿Εὰν» γάρ, φησίν, «πεινᾷ ὁ ἐχθρός σου, χόρτασον αὐτόν»[5]· καὶ πάλιν τοῖς αὐτοῖς· «᾿Εγένετο ὁ πρῶτος ᾿Αδὰμ εἰς ψυχὴν ζῶσαν, ὁ ἔσχατος ᾿Αδὰμ εἰς Πνεῦμα ζωοποιοῦν»[6]· Γαλάταις δέ· «῾Ο σπείρων εἰς τὸ Πνεῦμα, ἐκ τοῦ Πνεύματος θερίσει ζωὴν αἰώνιον»[7]· καὶ κατὰ ᾿Ιωάννην λέγοντα ἀπὸ τοῦ Σωτῆρος· «Τὸ Πνεῦμά ἐστιν τὸ ζωοποιοῦν»[8]. Αὐτὸ δὴ τοῦτο δηλῶν ᾿Ιεζεκιὴλ καὶ ὅτι σὺν τῷ Θεῷ, ὡς Πνεῦμα αὐτοῦ, τὴν ἀνάστασιν ποιήσει, προφητεύει· «Τάδε λέγει Κύριος τοῖς ὀστέοις τοῖς ξηροῖς τούτοις· ᾿Ιδοὺ ἐγὼ εἰσάγω εἰς ὑμᾶς Πνεῦμα ζωῆς καὶ δώσω ἐφ᾿ ὑμᾶς νεῦρα καὶ ἀνάξω ἐφ᾿ ὑμᾶς σάρκας καὶ ἐκτενῶ ἐφ᾿ ὑμᾶς δέρμα καὶ δώσω ἐφ᾿ ὑμᾶς τὸ Πνεῦμά μου καὶ ζήσεσθε καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος»[9]. ῾Η οὖν οὐσιωδῶς ζωὴ καὶ ἡ ζωοποιὸς δύναμις, οὔτ᾿ ἀρχήν, οὔτε πέρας, οὔτ᾿ ἀλλοίωσιν ἔχει· τὸ δὲ τούτοις μὴ ὑποπίπτον φύσει καὶ ἀληθείᾳ Θεός ἐστιν, ἅτε δὴ καὶ τὰ κατ᾿ ἐξαίρετον τοῦ Θεοῦ καὶ Πατρὸς οἴκοθεν κεκτημένον. Οὐδὲν γὰρ κτιστὸν ζωῆς αἴτιον εἶναι ἢ ζωὴν ἐν ἑαυτῷ δεικνύναι δύναται· πάντα δὲ νεκρὰ τὰ τοῦ θεϊκοῦ Πνεύματος ἐστερημένα· «᾿Εν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν»[10], ὡς ἔφασαν αἱ ἀποστολικαὶ Πράξεις. Καὶ γὰρ εἰ πάντα τὰ γινόμενα καὶ φθαρτά, τὰ δὲ φθειρόμενα στερεῖται ζωῆς ὑπομένοντα· πῶς ἂν ἄλλοις χαρίσαιτο ταῦτα, ὧν αὐτὰ γίνεται ἐνδεῆ; Ζωοποιούμεθα δὴ οὖν ὑπὸ τοῦ ῾Αγίου Πνεύματος, ὡς καὶ ὑπὸ τοῦ εἰπόντος· «᾿Εγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή»[11].

Β΄. ῞Οτι διὰ τὴν ταυτότητα τῆς θεότητος καὶ τὴν μίαν ἐνέργειαν, λέγουσιν αἱ Γραφαί, ὡς κατὰ τὴν τοῦ δούλου μορφὴν ᾿Ιησοῦν Χριστὸν ἤγειρέ ποτε **[564]** ὁ Πατήρ, ποτὲ αὐτὸς ἑαυτόν, ποτὲ τὸ ῞Αγιον Πνεῦμα οὑτωσί. Αἱ Πράξεις· «Τοῦτον ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ»[12]· ᾿Ιωάννης ἀπὸ τοῦ Σωτῆρος· «Λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»[13]. «Αὐτὸς δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ»[14]·

1. Ρωμ. 8,2. 2. Πρβλ. Ρωμ. 8,11. 3. Β΄ Κορ. 3,5-6. 4. Λευϊτ. 24,20. 5. Πρβλ. Ρωμ. 12,20. 6. Α΄ Κορ. 15,45. 7. Γαλ. 6,8. 8. ᾿Ιω. 6,63. 9. ᾿Ιεζ. 37,5-6. 10. Πράξ. 17,28. 11. ᾿Ιω. 11,25. 12. Πράξ. 10,40. 13. ᾿Ιω. 2,19. 14. ᾿Ιω. 2,21.

καὶ πάλιν· «Ἐγὼ τίθημι τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν. Οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' ἐγὼ τίθημι αὐτήν. Ἐξουσίαν ἔχω θεῖναι αὐτὴν καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν»[1]. Πέτρος ἐν τῇ πρώτῃ Ἐπιστολῇ· «Χριστὸς ἅπαξ περὶ ἁμαρτιῶν ὑπὲρ ἡμῶν ἀπέθανεν, δίκαιος ὑπὲρ ἀδίκων, ἵνα ἡμᾶς προσαγάγῃ τῷ Θεῷ· θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ Πνεύματι»[2].

Γ'. Ὅτι δημιουργεῖ τὸ μέγα κτίσμα τὸν ἄνθρωπον καὶ ἐκ νεκρῶν ἐγείρει καὶ ζωοποιεῖ καὶ εἰς οὐρανὸν ἐπιστρέφει· καὶ συγκαταρρυεῖσαν ταῖς ἀνθρωπίναις ἀνομίαις τὴν γῆν ἀνεκαίνισε πάλιν καὶ ἀνέθαλψε τὸ Πνεῦμα τὸ Ἅγιον ἄνευ πραγματείας, καὶ οἷον αὐτομάτως, ἅτε συνδημιουργὸς καὶ ἰσουργὸς τοῦ ὑποστήσαντος αὐτὴν κατ' ἀρχὰς ἀρχιτέχνα Θεοῦ, ὡς γνῶναι ἡμῖν ἐφίεται ἐξ ὧν ἐξέφηναν οὗτοι· Ἰώβ· «Πνεῦμα θεῖον, τὸ ποιῆσάν με· πνοὴ δὲ παντοκράτορος, ἡ διδάσκουσά με»[3]. Δαυῒδ ἐν μὲν ργ' ψαλμῷ· «Ἐξαποστελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς»[4]. Τοῦτο βεβαιοῖ ὁ Ἀπόστολος, γράφων Κορινθίοις τὸ δεύτερον· «Ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε καινὰ τὰ πάντα»[5]. Ἐν δὲ λβ' ψαλμῷ· «Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαι αἱ δυνάμεις αὐτῶν»[6]. Μὴ παραδράμῃς τὰ αὐτόθεν ἀκούεσθαι δυνάμενα· ἀλλ' ἴδε, ὅτιπερ ὡς δημιουργὸς καὶ ἀγαθὸς Θεὸς μένων εἰς ἀεὶ τὸ Πνεῦμα τοῦ Θεοῦ, φιλίαν μόνιμον τῇ κτίσει χορηγεῖ, καὶ ἀλύτοις αὐτὴν ἔσφιγξε δεσμοῖς καὶ ἥδρασεν ἀκατάσειστον καὶ πάντα τῇ ἑαυτοῦ δυνάμει στηρίζει· καὶ ὅτι ἀθέμιτόν ἐστι κτίσμα καλεῖν τὸ κτίζον καὶ ἐνδυναμοῦν τοῦ Θεοῦ τὰ κτίσματα. Συνεργὸν γὰρ καὶ ὁμοούσιον **[565]** αὐτὸ τῷ Θεῷ, ἅτε Πνεῦμα αὐτοῦ καὶ δάκτυλον, ὡς ἐν τῷ πρώτῳ ἐδείχθη βιβλίῳ, μυστικῶς παριστῶν ἐν η' ψαλμῷ προφητεύει· «Ὅτι ὄψομαι τοὺς οὐρανούς, ἔργα τῶν δακτύλων σου»[7]. Καὶ Μωϋσῆς δὲ ἐν τῇ Γενέσει, ἀπὸ τοῦ Θεοῦ καὶ Πατρός, πρὸς τὸν Υἱὸν καὶ τὸ Ἅγιον αὐτοῦ Πνεῦμά φησιν· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν καὶ ἀρχέτωσαν τῶν ἐπὶ τῆς γῆς»[8]. Οὐ γὰρ ἀγγέλους ἢ ἄλλα πνεύματα ἔλαβε συγχειρουργοὺς ἢ γνωμοδότας ὁ Θεός· ἐπειδὴ ὁ δοῦλος οὐκ οἶδε, τί ποιεῖ αὐτοῦ ὁ δεσπότης. Οὐδὲ εὑρίσκεται πώποτε εἰς δημιουργίαν συμπαραλαβὼν κτίσμα (καθὰ Δαυῒδ ψάλλει ἐν λβ' ψαλμῷ· «Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν»[9]· καὶ ἐν ρλη'· «Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ»[10]. Καὶ ὡς Παῦλος Ῥωμαίοις γράφει· «Τίς γὰρ ἔγνω νοῦν Κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο;»[11] τοῦτ' ἔστιν, τῆς κτίσεως οὐδείς. Πλάτος γὰρ ἔχον τὸ «τίς» τοῦτο προφαίνει). Ἔδειξε δὲ τῷ μὲν μὴ εἰπεῖν, Ποιήσατε, ἀλλά, «Ποιήσωμεν» ὡς οὐκ ἔστιν ὑπουρ-

1. Ἰω. 10,17-18. 2. Α' Πέτρ. 3,18. 3. Ἰὼβ 33,4. 4. Ψαλ. 103,30. 5. Β' Κορ. 5,17. 6. Πρβλ. Ψαλ. 32,6. 7. Ψαλ. 8,4. 8. Γεν. 1,26. 9. Ψαλ. 32,15. 10. Ψαλ. 138,15. 11. Ρωμ. 11,34.

γὸς ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα, ἀλλὰ δυνάμεως καὶ θελήσεως μιᾶς· τῷ δὲ ἐπαγαγεῖν «κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν»[1], ὡς μία ἐστὶν οὐσία τῇ Τριάδι· καὶ ὡς οὐ πρὸς ἀγγέλους εἴρηται τοῦτο, τοῖς ἀπείρως καὶ ἀσυνεικάστως ἐν μειω τὴν εἰκόνα καὶ ὁμοίωσιν ἔχουσιν (εἰ ἀκίνδυνον τοῦτο, ὡς ἄνθρωπος, εἰπεῖν) τῆς ἀνειδέου καὶ ἀσχηματίστου καὶ ἀρρήτου Τριάδος. Διὸ ἐπήγαγεν ὁ αὐτὸς κοσμογράφος· «Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν· ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· καὶ εὐλόγησεν αὐτούς»[2]· καὶ πάλιν· «Εἶδεν ὁ Θεός, ὅτι καλόν»[3]· ἐν οἷς ῥητοῖς αὖθις τῆς αὐτοτελοῦς καὶ γενεσιουργοῦ Τριάδος τὸ τέλειον καὶ σύμφωνον καὶ κοσμητικὸν καὶ ἐπίπαν ἄφθονον σημαίνεται μυστικῶς. Ἐπειδὴ ταῦτα θεάτρων μὲν καὶ πλήθους ἄξια οὐχ ἡγήσατο εἶναι ὁ Μωϋσῆς, ἤτουν ὁ ἐνηχήσας αὐτῷ Θεός· τοσούτων δέ, ὅσον μὴ παρανομεῖν ἐς ταῦτα ἔμελλον. «Ἐποίησεν» γὰρ «ὁ Θεός», τοῦτ' ἐστιν ὁ Υἱός, «τὸν ἄνθρωπον κατ' εἰκόνα Θεοῦ», τοῦτ' ἔστιν τοῦ Πατρός, «ἐποίησεν αὐτὸν[4] καὶ εἶδεν ὁ Θεός», τοῦτ' ἔστι τὸ Πνεῦμα, «ὅτι καλὸν[5] καὶ εὐλόγησεν αὐτούς»[6], τοῦτ' ἔστιν ἡγίασεν. Τὸ δέ, «κατ' εἰκόνα», ὡς ἐμοὶ δοκεῖ, νοητέον, ὅτι ἐκ τοῦ θεϊκοῦ φυσήματος τὸ Πνεῦμα τὸ ἀθάνατον ἔχομεν, καὶ νοῦν ἀεὶ θέοντα καὶ κυβερνῶντα, ἐφ' ὃ χρή, καὶ λόγον σοφὸν ἀρέσκοντα τῷ δεδωκότι, καὶ δυνάμενον σὺν πίστει τεκνογονίας αἴτιον γίνεσθαι, καὶ ζωῆς, καὶ νεκρῶν ἐγέρσεως καὶ ὀρέων μεταθέσεως· πρὸς τούτοις, ὅτι μετειλήφαμεν καὶ τῆς αὐτοῦ ἀγαθότητος. **[568]** Εἶτα καὶ Παῦλος, ὡς μικρῷ πρόσθεν ἐλέχθη· «Ζωοποιήσει καὶ τὰ θνητὰ ἡμῶν σώματα, διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ἡμῖν»[7]. Καὶ Ἑβραίοις τοὺς αἰῶνας γεγενῆσθαι καὶ τὴν κτίσιν ἐστηρίχθαι ὑπὸ τοῦ Ἁγίου Πνεύματος καταγγέλλων καὶ Ῥῆμα Θεοῦ τὸ Πνεῦμα, καθὰ ἤδη ἐμνημονεύθη, προσαγορεύων γράφει· «Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας. Ῥήματι Θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὸ βλεπόμενον γεγονέναι»[8]· καὶ πάλιν· «Φέρων γὰρ τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ»[9]· καὶ ὁ Ψαλμῳδός· «Πάντα ἐν σοφίᾳ ἐποίησας»[10], τοῦτ' ἔστιν ἐν τῷ Πνεύματί σου καὶ τῷ Υἱῷ σου. Πῶς οὖν οὐκ ἄναρχον καὶ δημιουργὸν καὶ κυρίως Θεὸς τὸ θεϊκὸν Πνεῦμα; τὸ ἀχώριστον τοῦ πνεύσαντος αὐτό, καὶ τοῦ δημιουργοῦ Υἱοῦ· τὸ τοὺς αἰῶνας κατασκευάσαν· μεθ' ὧν οὐρανός τε καὶ τὰ ἐν αὐτῷ, καὶ πᾶν εἴ τι ἐστι κτιστὸν παρήχθη· καὶ πάντα τῇ ἑαυτοῦ δυνάμει φέρον τε καὶ διοικοῦν· τὸ παραυτίκα τοῦ γενέσθαι οὐρανόν, γῆν, θάλατταν ἐπιφερόμενον ἐπὶ τοῦ ὕδατος[11] καὶ ζωογόνον καὶ ζωοτρόφον αὐτὸ ἀπεργαζόμενον. Ὥσπερ γὰρ διὰ τὸ λέγειν ἐν τῷ Ἰὼβ περὶ τοῦ Υἱοῦ, «Ὁ τανύσας τὸν οὐρανὸν μόνος»[12], οὐκ ἀφιστᾷ μὲν τῆς δημιουργίας τὸν ἐξ οὗ τὰ πάντα, καὶ ἐν ᾧ πάντα συνέστηκεν Πατέρα· (πῶς

1. Γεν. 1,26. 2. Γεν. 1,27-28. 3. Γεν. 1,18. 4. Πρβλ. Γεν. 1,27. 5. Πρβλ. Γεν. 1,31. 6. Γεν. 1,28. 7. Ρωμ. 8,11. 8. Ἑβρ. 11,3. 9. Ἑβρ. 1,3. 10. Ψαλ. 103,24. 11. Πρβλ. Γεν. 1,2. 12. Ἰὼβ 9,8.

γὰρ ἂν εἴη λοιπὸν ταῦτα ἀληθῆ;)οὕτως οὐδὲ τὸ τῆς σοφίας, καὶ δυνάμεως, καὶ ἁγιωσύνης Πνεῦμα τοῦ Θεοῦ ἐξωθεῖν τοῦ εἶναι συνδημιουργὸν τοῦ Θεοῦ, ὅσιον. Καὶ ποία δὲ εἰς τοῦτο μείζων ἀπόδειξις ἂν εὑρεθείη τοῦ ἐφ' ἑκάστης ἐν τῷ βαπτίσματι ἀνακαινίζειν καὶ ἁγιάζειν τὸ Πνεῦμα τοῦ Θεοῦ, καὶ ἐπὶ τὸ κρεῖττον καὶ πρῶτον ἀνακαλεῖσθαι σχῆμα τοῦ βίου; Τοῦτο γὰρ δηλοῖ καὶ τὸ **[569]** συμμνημονεύεσθαι αὐτό, ὡς τὸν Ἀπόστολον περὶ τῶν ἐκ παλιγγενεσίας ἀρτίων γενέσθαι[1] καὶ τοῦ παρὰ πάντα μεγίστου κατορθώματος ἀπολαῦσαι προσδοκωμένων, ἀναφωνεῖν· «Ὅπως γένησθε κατ' εἰκόνα τοῦ κτίσαντος ὑμᾶς»[2]· προφητεύειν δὲ καὶ τὸν Δαυῒδ ἐν ρα' ψαλμῷ· «Λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον»[3]. Εἰ μηδὲ κοινωνίαν οὐσίας καὶ κυριότητος καὶ ἐνεργείας εἶχε πρὸς τὸν Πατέρα καὶ πρὸς τὸν «Δι' οὗ τὰ πάντα ἐγένετο»[4] Υἱόν, οὐκ ἂν ἀνεκαίνιζε καὶ ἡγίαζε. Διὸ σὺν τῷ παναγίῳ Πνεύματι ὁ Χριστὸς μετὰ τὴν ἀνάστασιν τὸν φθαρέντα τῇ παρακοῇ ἄνθρωπον ἀνακτίζων καὶ ἁγιάζων ἐνεφύσα εἰς τὰ πρόσωπα τῶν μαθητῶν καὶ ἔλεγεν· «Λάβετε Πνεῦμα Ἅγιον»[5]· πληρῶν τοῦ Ναοὺμ προφητείαν, τὴν ὑπὸ ἀκατασχέτου πόθου, τοῦ πρὸς τὸ ἄμετρον καλὸν τοῦ πράγματος, τὸ γενησόμενον ὡς ἤδη πραττόμενον διηγουμένην· «Ἀνέβη ἐκ τῆς γῆς ὁ ἐμφυσῶν εἰς τὸ πρόσωπόν σου καὶ ἐξαιρούμενός σε ἐκ θλίψεως»[6]. Ὅτι δὲ κτίσαι ἐστὶ καὶ τὸ ἁγιάσαι, ὅπερ ποιεῖν πέφυκε τὸ θεϊκὸν Πνεῦμα, Δαυῒδ μαρτυρεῖ, ψάλλων· «Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός»[7]· τοῦτ' ἔστιν, Ἁγίασόν με, ἵν' ἀνακαινισθείην, καταφθαρεὶς τῇ ἁμαρτίᾳ· ἐπεὶ πῶς ἂν αὐτῷ ἑτέρα ἐκτίσθη καρδία; Συμφράζει τε τούτῳ· «Καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου»[8]· ἀντὶ τοῦ, Τὸ πάντα ὑπερφέρον σεβάσμιόν σου Πνεῦμα παράσχου μοι. Ἵνα, φησίν, τῷ ἁγιασμῷ αὐτοῦ καθαρὸς ἀναφανείς, γένωμαι ναὸς αὐτοῦ ἄξιος. Ἐκ γὰρ δὴ μόνης τῆς αὐτοῦ καὶ τοῦ Υἱοῦ σου ἐπιστασίας καὶ αὐτός, Δέσποτα, κατασημαίνῃ ἡμῖν, καὶ πάντων ἄκος δεχόμεθα κακῶν, καὶ ἐν ἐλπίσιν βεβαίαις παντὸς αἰωνίου γινόμεθα ἀγαθοῦ. Ἐμφανὲς γὰρ ἡμῖν, ὅτι Δαυῒδ αὐτὸ ἐξαιτεῖ ἐγκαινισθῆναι αὐτῷ· ἐπεὶ πῶς ἂν τὸ ἤδη ὂν αὐτῷ Πνεῦμα, ὡς ἄρτι ἐπ' αὐτὸν ἐρχόμενον ἐνεκαινίζετο; Ἀλλὰ καὶ μεῖζον καὶ ἀναγκαιότερον τὸ ἁγιάσαι τοῦ δημιουργῆσαι εἰδυῖα ἡ Γραφή, περὶ τοῦ ἀπολέσαντος τὸν ἁγιασμὸν ἐλεεινοῦ Ἰούδα εἶπεν· «Καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος»[9]. Ἐπειδή, φησίν, ἁπάντων ἀσυμφορώτατον ἔπραξε, καὶ τὸν Δεσπότην ἀντ' οὐδενὸς κακοῦ ἀπέδοτο, καὶ τὴν ζωὴν ἀργυρίων ἠλλάξατο. Καὶ δὴ καὶ περὶ τῆς ἐν τῇ ἀρρήτῳ οἰκονομίᾳ δουλικῆς μορφῆς, περὶ ἧς λέγει Ἰωάννης μέν· «Καὶ ὁ Λόγος σὰρξ ἐγένετο»[10]· Παῦλος δέ· «Ἑαυτὸν ἐκένωσεν, μορφὴν δούλου λαβών»[11]· ὁ μὲν Σολομὼν εἶπεν· «Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον»[12]·

Πρβλ. Β' Τιμ. 3,17. 2. Πρβλ. Κολ. 3,10. 3. Ψαλ. 101,19. 4. Πρβλ. Ἰω. 1,3. 5. Ἰω. 20,22. 6. Πρβλ. Ναούμ 2,2. 7. Ψαλ. 50,12. 8. Ἔνθ' ἀν. 9. Ματθ. 26,24. 10. Ἰω. 1,14. 11. Φιλιπ. 2,7. 12. Παρμ. 9,1.

ὁ δὲ Ματθαῖος διὰ τὸ ταὐτὸν τῆς θεϊκῆς φύσεως καὶ ἐνεργείας ἐξέθετο ὡδί· «Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γέννησις οὕτως ἦν· μνηστευθείσης τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσήφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος Ἁγίου»[1]. Καὶ ὁ ἀρχάγγελος δὲ ἔφη· «Τὸ γὰρ ἐν αὐτῇ γεννηθέν, ἐκ Πνεύματός ἐστιν [572] Ἁγίου»[2]· καὶ πάλιν· «Πνεῦμα Ἅγιον ἐλεύσεται ἐπὶ σέ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, Υἱὸς Ὑψίστου κληθήσεται»[3]. Μνημονευτέον οὖν ὅτι διὰ τὰς αἱρετικὰς ἀδολεσχίας γένεσιν προανέταξεν τῆς ἐνανθρωπήσεως ὁ εὐαγγελιστής, εἶτα γέννησιν. Διασύροντες γὰρ ἡμῶν τὰς γραφικὰς ἀποδείξεις, λέγουσι πευστικῶς καθ' ὑπόκρισιν· Υἱὸς οὖν τοῦ Πνεύματός ἐστιν ὁ Χριστός; πιστῶς οὐδὲ ταῦτα ἀκούοντες, οὐδὲ τὸ παρ' αὐτοῦ τοῖς ἀποστόλοις εἰρημένον· «Οὐκ οἴδατε, οἵου Πνεύματός ἐστιν ὁ Υἱὸς τοῦ ἀνθρώπου»[4]. Εἰ οὖν, ἐπειδὴ ὁ Πατὴρ Θεὸς ἀληθινός, διὰ τοῦτο καὶ ἡ ἐνέργεια αὐτοῦ θεία ἐστὶ πάντη τε καὶ πάντως, ἐπειδὴ ταύτη ἴση καὶ ὁμοία ἡ ἐνέργεια τοῦ Ἁγίου Πνεύματος φαίνεται· διὰ τοῦτο καὶ αὐτὸ Θεὸς ἀληθινὸς τυγχάνει. Πρέποι δὲ ἂν καὶ περὶ τοῦ Υἱοῦ ὡσαύτως εἰπεῖν. Ἐπεὶ μή γε εἰ ἡ τοῦ Πατρὸς ἐνέργεια τῆς τοῦ Υἱοῦ ἢ τοῦ Πνεύματος ἀμείνων, τί γὰρ καὶ ὅλως ἐνήργει τὸ Πνεῦμα ἢ ὁ Υἱὸς εἰς ἡμᾶς; καίτοι τὴν χείρω ἐπάγοντες δύναμιν, εἴπερ ἀνομοίως ἔχουσιν, ὡς οἱ αἱρετικοί φασιν. Εἰ δὲ δὴ χρήσιμος καὶ σωτηριώδης ἡ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος πλήρωσις κατ' οὐδὲν ἔσται ἀνόμοιος ὁ Υἱὸς ἢ τὸ Πνεῦμα. Οὔτε γὰρ ἂν ὁ ὑπέρτατος καὶ πλούσιος ἐν ἐλέει παρὰ τοῦ χείρονος καὶ πενεστέρου ἐδανείσατο οὔτε ἡμεῖς διττῶς καὶ ἀνομοίως ἐνηργήμεθα. Καὶ μέντοι ποῖον ἔχει λόγον, ἄνθρωπον μὲν καλῶν, φέρε εἰπεῖν, ἢ κακῶν εἶναι ποιητὴν καὶ δημιουργόν, τὸ δὲ Πνεῦμα μὴ εἶναι τοῦτο; Ἀλλ' ὁ ἄνθρωπος, κατὰ συγχώρησιν μὲν τοῦ Θεοῦ πράττει τοῦτο, ἢ ἐκεῖνο· ἀπὸ οὐσίας δὲ τῆς ὑπὸ τοῦ Θεοῦ προοισθείσης, ἄψυχον δημιουργεῖ ὃ δ' ἂν θέλοι, οὐ μὴν καὶ οὐσίαν αὐτήν, ὡς ἔφαμεν ἤδη. Τὸ δέ γε Πνεῦμα καὶ αὐθεντικῶς ποιεῖ, καὶ οὐσίαν ἐκ μὴ ὄντων ὑφίστησιν, ἅτε συνεργὸν καὶ πνοὴ τοῦ Παντοκράτορος. Διόπερ ὁ Θεὸς ἐν τῷ Ἰεζεκιήλ, τὸ μὲν ἡμέτερον πνεῦμα ἀνακαινίζεσθαι, τὸ δὲ Ἅγιον Πνεῦμα ἀνακαινίζειν καὶ οὐχ ἁπλῶς Πνεῦμα εἶναι, ἀλλ' ἑαυτοῦ κυρίως ὑποδεικνύς, τοιάδε θεσπίζει· «Καὶ δώσω ὑμῖν καρδίαν καινὴν καὶ Πνεῦμα καινόν· καὶ ἀφελῶ τὴν καρδίαν τὴν λιθίνην ἐκ τῆς σαρκὸς ὑμῶν καὶ δώσω ὑμῖν καρδίαν σαρκίνην, καὶ τὸ Πνεῦμά μου δώσω ἐν ὑμῖν»[5]. Οἱ δὲ καὶ τῶν θείων φωνῶν τούτων ὀλιγωροῦντες καὶ ἐν ἀπορίᾳ πάσῃ τῶν δικαίων καθεστῶτες, λοιπὸν ταῖς [573] ἔξωθεν τέχναις ἀποκέχρηνται, καὶ ἐπ' ἄλλα καὶ ἄλλα μεταφέρειν ἐπιχειροῦσιν τὰ οὕτως σαφῶς εἰρημένα. Φάσκουσι γὰρ λέξεσιν αὐταῖς· Νεκροὺς ὁ δημιουργήσας, τοὺς

---

1. Ματθ. 1,18. 2. Ματθ. 1,20. 3. Πρβλ. Λουκ. 1,35. 4. Πρβλ. Λουκ. 9,55-56. 5. Ἰεζ. 36,26-27.

νεκρουμένους ἐγείρει μόνος. Ἀρχιτέκτονος γὰρ ἔργον φθειρόμενον ζωγράφος οὐκ ἂν διορθώσαιτο, ἀλλ' οὐδὲ ναυπηγοῦ θηρευτής, ἀλλ' οὐδέ γε οἰκοδόμου δρομεύς· ἀλλὰ γὰρ ἀρχιτέκτονος ἀρχιτέκτων, καὶ ναυπηγοῦ ναυπηγός. Τὸ δὲ Ἅγιον Πνεῦμα, φησίν, οὔτε νεκροὺς ἤγειρεν, οὔτε ἐδημιούργησεν· ἅπαξ γάρ, φησίν, ἐπὶ τοῦ Ἀδὰμ δεδημιούργηται ἡ ἀνθρώπων φύσις· καὶ οὔτε ἑτέρα παρ' ἐκείνην οὔτε πολλάκις. Ἀλλὰ καὶ ἡ Εὔα συνεκτίσθη μὲν τῷ Ἀδὰμ τῷ κοινῷ τῆς φύσεως λόγῳ, μετὰ ταῦτα δὲ διεμορφώθη. Ἡμεῖς δὲ οἱ ὀρθόδοξοι, ἐπειδὴ μάλιστα θεϊκῆς δυνάμεως γνώρισμα τὸ δημιουργῆσαι καὶ νεκροὺς ἐγεῖραι, ὁμολογοῦμεν τὸ Ἅγιον Πνεῦμα ταῦτα πεποιηκὸς εἶναι Θεόν· «Τῷ Λόγῳ» γὰρ «Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσαι αἱ δυνάμεις αὐτῶν»[1]· καὶ ἐπειδὴ ἀρχῆθεν, δημιουργουμένων πάντων, συμπαρῆν καὶ ἀχωρίστως εἶχε τῇ θεότητι καὶ τῇ ἐνεργείᾳ, διὰ τοῦτο καὶ ἀνακαινιζομένων αὐτῶν συμπάρεστιν καὶ συμμνημονεύεται. Ὅπερ γὰρ εἰρήκασιν αὐτοὶ οὗτοι, οὐκ ἦν ἑτέρας οὐσίας, ὅ ἐστιν φύσεως, τὸ ἀνακαινίσαι εἰ μὴ τῆς τοῦ κτίσαντος. Περὶ οὖν τῶν ὄντων καὶ πολιτευομένων, ὡς μὴ ὄντων, ἀλλὰ νῦν πνευματικῶς καὶ θειοτέρως κτιζομένων, ὁ Δαυΐδ καὶ ὁ Παῦλος κηρύσσει, ὡς προελέχθη, καὶ ὡς πολλαχοῦ εὑρήσομεν. Ἐπιλείψει με γὰρ ἂν ὁ πᾶς χρόνος, εἰ πάντων πανταχοῦ μνημονεύειν ἐθελήσω. Εἰ μὴ οὖν ἑτέρως μὲν ταῖς Γραφαῖς, ἑτέρως δὲ αὐτοῖς ἐκείνοις ἐδόκει, πρῶτον μὲν οὖν κἄν ποτε παρενεθυμήθησαν τὰ θεῖα γραφία, τὰ ἐν τῷ βιβλίῳ τῷδε καὶ τῷ πρὸ αὐτοῦ μνημονευθέντα· τί γὰρ ἄν, ἀκούοντες ταῦτα, φήσαιεν τὸν χρήσαντα αὐτὰ διδάσκειν; Δεύτερον δὲ ἐλογίσαντο ἄν, ὅτιπερ, ὃν τρόπον τοῦ Υἱοῦ κτίσαντος συμποιητὴς ὁ Πατήρ ἐστι τῇ εὐδοκήσει, οὕτω καὶ τὸ Πνεῦμα αὐτοῦ· καὶ οὐκ εἰς τὴν τῶν οὐχ ὁμοίων ἐξέτασιν, τῶν συνάρσεως τῆς ἀλλήλων καὶ τῆς ἀπὸ τοῦ χρόνου δεομένων καὶ μηδὲ πληρούντων ἑτοίμως καὶ πανταχόθεν ἀμέμπτως τὴν ἐνθύμησιν, τὰ τῆς ἀμείκτου ἅπασιν μακαρίας Τριάδος, τῆς καὶ ἡμᾶς ἀπολεσάσης δημιουργοὺς λόγων τε καὶ ὑλῶν ἐπισκευῆς, ἤγαγον, λέγοντες, ἅπερ μήποτ' ἔφασαν. Τί γὰρ ἢ ὡς πηλίκοι εἴποιμεν τῷ ἅπαξ θελήσαντι Θεῷ Πατρὶ διὰ τοῦ Υἱοῦ Λόγου πάντα ὑποστῆναι; Ἀμέλει τοι περὶ τοῦ ἐκ σπέρματος Δαυΐδ[2] καὶ Ἀβραὰμ[3] καὶ ἐκ ῥίζης Ἰεσσαὶ[4] κατὰ σάρκα, κεκήρυκται ὡς ἀρτίως εἴρηται· «Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν ἁγίου»[5]· ἵνα κἀντεῦθεν ὁμόλογον ᾖ, ὡς συνεργὸν ἦν τῷ ἀγαθουργῷ Δημιουργῷ τὸ ἁγιαστικὸν Πνεῦμα. Διὸ καὶ αὖθις γέγραπται· «Ἤγετο ὁ Ἰησοῦς ἐν Πνεύματι ἐπὶ τὴν ἔρημον»[6]· ἐπειδὴ συνῆν αὐτῷ τὸ ἡγεμονικὸν Πνεῦμα, ὡς Θεὸς Θεῷ καὶ ὡς πάντα συνέχων καὶ πανταχοῦ παρών, τῷ ἐφ' ὃν πάντα ἐστήρικται καὶ ἐν πᾶσιν ὄντι, καὶ πληροῦντι τὰ **[576]** πάντα. Ἐπεὶ μή γε, τῷ ἐκείνων λόγῳ καὶ τῷ τρόπῳ οὔτε ὁ Πατὴρ δημιουργὸς ἢ νεκροὺς

1. Πρβλ. Ψαλ. 32,6. 2. Πρβλ. Ἰω. 7,42. 3. Πρβλ. Γαλ. 3,16
4. Πρβλ. Ρωμ. 15,12. Ἡσ. 11,1,10. 5. Ματθ. 1,20. 6. Πρβλ. Λουκ. 4,1.

ἐγείρων· Πάντα γὰρ διὰ τοῦ Υἱοῦ ἐγένετο[1] ἀπόνως. Πόνος γὰρ πάθος ἐστί· πάθος δὲ ὁδὸς ἐπὶ φθοράν. Οὐκ ἀρνούμενοι δὲ τὸν Δεσπότην σεσαρκῶσθαι δίχα ἁμαρτίας ἐκ τῆς φύσεως τοῦ Ἀδάμ, ὅ ἐστιν ἐκ τῆς Παρθένου ἢ τῆς ἡμετέρας· ταῦτά φαμεν, μᾶλλον δὲ καὶ βεβαιοῦμεν τοῦτο διὰ τοῦ λέγειν ἐκ Πνεύματος Ἁγίου γεγεννῆσθαι. Ἐπειδή, ὡς εἴρηται καὶ τὴν ἀρχὴν συμπαρῆν τὸ προαιώνιον καὶ προκόσμιον Πνεῦμα τοῦ Θεοῦ τῷ ποιητῇ τῆς ἡμετέρας φύσεως, οὐχ ὡς χρῄζοντι βοηθείας, ἀλλὰ σὺν ταυτότητι καὶ ἰσότητι θεότητος καὶ θελήσεως καὶ οἷον μὴ ἀποτετμημένον τοῦ φωτὸς τὸ φῶς. Ἢ σύστηθι οὖν, Μακεδόνιε, τοῖς ἁγίοις κτίσμα τὸ θεῖον Πνεῦμα μὴ ὀνομάζουσιν, ἀλλ' ἐκπεπορεῦσθαι ἐκ τοῦ Θεοῦ[2], ὡς Πνεῦμα αὐτοῦ κατὰ φύσιν· ἤ, ὡς ἔθος σοι φάσκειν, ὅτι Θεοῦ μὲν ἥττων τῇ φύσει, ἀγγέλων δὲ κρείττων ἐστίν, μέσην τινὰ φύσιν καὶ τάξιν εἰληχὸς κεχρησμῳδηκότας (τὰ γὰρ ἐκείνων δικαίως προτετίμηται παρὰ τῷ Θεῷ τῶν σῶν καὶ τῶν Ἀρείου)· καὶ οὐχ ὡς δίδωσιν ὁ τῆς τέχνης καὶ τῆς σοφιστείας νόμος, ἐξόν σοι, θαρρήσαντι, ἀφεῖναι κατὰ τοῦ θείου Πνεύματος ἰδίους λόγους· οὗ τὴν θείαν φύσιν οὐδ' ἄν, εἰ τοὺς τῆς διανοίας ὀφθαλμοὺς τοσούτους καὶ τοιούτους εἶχες, ὅσους καὶ οἵους ἔδωκεν ἡ Γραφὴ τοῖς χερουβίμ· ἠδυνήθης ἄν, κἂν ποσῶς γοῦν θεωρῆσαι (τίς γὰρ ἐπιδράττεται τῆς ἀφανοῦς καὶ ἀχωρήτου θεότητος;) ἢ καταγνοὺς τῆς ἑαυτοῦ ἀσεβείας ἢ ἑκὼν ἡμῖν τῶν πρωτείων ἀφίστασο.

[577] Δ'. Ἀλλ' ἐπανίωμεν πάλιν ἐπὶ τὴν ἐξ ἀρχῆς ὑπόθεσιν, ὅτι ἁγιάζει καὶ δικαιοῖ, καθὰ προείπομεν.

Ε'. Ὅτι σωτηρίαν καὶ τοῖς ἀποσφαλεῖσιν χορηγεῖ· ὃ μόνης ἐστὶ τῆς παγκρατορικῆς οὐσίας. Ἄνευ γὰρ Θεοῦ πρᾶξαί τι κτιστόν, ἀμήχανον.

«Οὐδ' ὅσον ἀμπετάσαι βλεφάρων περιφαέα κύκλα»[α].

Ἔλεγε γὰρ ὁ Ἀπόστολος Φιλιππησίοις τοιάδε· «Οἶδα γάρ, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν, διὰ τῆς ὑμῶν δεήσεως καὶ ἐπιχορηγίας τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ»[3]. Καθὰ ὕμνηται περὶ μὲν τοῦ Πατρὸς ἐν Ὡσηέ· «Πλὴν ἐμοῦ οὐ γνώσῃ· καὶ σῴζων οὐκ ἔστι πάρεξ ἐμοῦ»[4]· περὶ δὲ τοῦ Υἱοῦ ἐν ταῖς Πράξεσιν· «Καὶ οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία. Οὐδὲ γὰρ ἄλλο ὄνομά ἐστιν ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι»[5].

Ϛ'. Ὅτι θανάτου ἐλευθεροῖ καὶ ἁμαρτίας συγχωρεῖ, ἅτε δὴ ἐκ τῆς πατρικῆς ῥίζης οὐσίας καρπὸν φέρον τὸ ἀθάνατον καὶ ἵλεω. Κτίσματι δὲ οὐ δυνατὸν ἢ ἀναμάρτητον εἶναι ἢ ἓν τούτων οἴκοθεν ποιῆσαι. Οὐδὲ γὰρ οὐδὲν τῶν πνευμάτων, ὡς προεδείχθη, ἀναμάρτητον·

---

1. Πρβλ. Ἰω. 1,3. 2. Πρβλ. Ἰω. 15,26. 3. Φιλιπ. 1,19. 4. Ὡσ. 13,4. 5. Πράξ. 4,12.
α. Πρβλ. Ἰλιάδος Σ 375.

οὐδὲ τάχα, καθ' ὑπερβολὴν λόγου, ἡ μὴ οὖσα λογική. Καὶ γὰρ ὁ οὐρανὸς αὐτὸς καὶ ὁ ἥλιος πρὸς τὴν τοῦ Θεοῦ καθαρότητα οὐκ ἄμεμπτοι. Εἰ γὰρ καὶ φαίνονται ἀπόστολοί ποτε τοιοῦτόν τι πράξαντες, οὐκ ἰδίᾳ δυνάμει περιεγένοντο ἀλλὰ τῇ τοῦ εἰπόντος· «Ἐν τῷ ἐμῷ ὀνόματι μείζονα τούτων ποιήσετε»[1]· καὶ τῇ τοῦ Πνεύματος τοῦ Πατρὸς τοῦ λαλήσαντος ἐν αὐτοῖς, καθὰ Ῥωμαίους Παῦλος διδάσκει· «Ὁ γὰρ νόμος τοῦ Πνεύματος ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου»[2]. Καὶ ὁ Δεσπότης δὲ παρ' Ἰωάννῃ ἀποδιδοὺς ἡμῖν τὸ Ἅγιον Πνεῦμα, ὃ ἀπολέσαντες ἦμεν διὰ τῆς ἀρχαίας παρακοῆς, ἐνεφύσησεν εἰς τὰ πρόσωπα τῶν μαθητῶν, καὶ εἶπεν· «Λάβετε Πνεῦμα Ἅγιον. Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται· ἄν τινων κρατῆτε, κεκράτηνται»[3]. Ἐνταῦθα τοσοῦτον τοῦ ἀειμνήστου Πνεύματος τὸ αὐτεξούσιον, ὅτι αὐτός τε δι' ἑαυτοῦ ἁμαρτίας συγχωρεῖ, καὶ ἐν τῷ ὀνόματι καὶ τῇ δυνάμει αὐτοῦ, οἱ ἀπόστολοι καὶ πάντες οἱ πιστεύοντες αὐτῷ ἄφεσιν ἁμαρτιῶν παρέχουσιν. Ὅτι δὲ Θεοῦ μόνου τὸ ἱλάσκεσθαι ἁμαρτάνουσιν, ἔνδοξοι Θεοῦ ῥήσεις σημαίνουσιν· «Ἐγώ» γάρ, φησίν, «εἰμὶ ὁ ἐξαλείφων τὰς ἁμαρ**[580]**τίας σου»[4]· καὶ «Ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡσεὶ ἔριον λευκανῶ»[5]. Καὶ ὁ Σωτὴρ δέ, ὡς Παῖς Θεοῦ, τῷ παραλύτῳ ἔφη· «Τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι»[6]· καὶ «Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου»[7].

Ζ'. Ὅτι τῷ ἀπροσδεεῖ καὶ παντοδότῃ Θεῷ Πατρὶ καὶ τῷ Υἱῷ αὐτοῦ συνεργεῖ καὶ συμπαρέχει πάντα πᾶσιν, οὐκ εἰς αὔριον ἀναβαλλόμενον, ἅτε δὴ ξύγγνωμον καὶ ὁμόγνωμον Πνεῦμα τοῦ Πατρός, ἀνεκποίητον ἔχον τὸ εἶναι καὶ συμβασιλεύειν αὐτῷ καὶ τὴν αὐτοῦ, ὅθεν καὶ συνυφεστώτως ἐξῆλθεν διακληρωσάμενον θεότητα. Καὶ ὅτι ὁ παντεξούσιος καὶ παντοδύναμος Χριστὸς σὺν τῇ δυνάμει τοῦ αὐτοῦ σεμνοτάτου Πνεύματος, τὰ σημεῖα καὶ τὰ τέρατα ἐποίησε καὶ δαίμονας ἐξέβαλεν, ὡς ἐξηγήσαντο οἱ ἱεροφάνται· Μιχαίας μέν· «Τάδε», φησίν, «λέγει Κύριος, τοὺς προφήτας τοὺς πλανῶντας τὸν λαόν μου»[8]. Καὶ μετ' ὀλίγον ἐπιφέρει· «Διότι οὐκ ἔσται ὁ εἰσακούων αὐτῶν, ἐὰν μὴ ἐγὼ ἐμπλήσω ἰσχὺν ἐν Πνεύματι Κυρίου καὶ κρίσεως καὶ δυναστείας»[9]. Εἶπε τοίνυν ποιεῖν ἰσχὺν Κύριον ἐν Πνεύματι Κυρίου, διὰ τὸ καὶ τὴν Τριάδα καὶ τὸν σύνδεσμον τῆς φύσεως αὐτῆς δηλῶσαι. Αἰνίττεται δὲ τὴν κρίσιν, ἐν ᾗ οὐκ ἔτι λοιπὸν μετάνοια καὶ ὁ εἰσακούων· «Ἐν» γὰρ «τῷ ᾅδῃ,» φησίν, «τίς ἐξομολογήσεταί σοι»[10]; Τὸ δέ, «Ἐμπλήσω ἰσχὺν»[11] ἀντὶ τοῦ Μεγάλην ἀνταπόδοσιν ποιήσω μετὰ τοῦ θείου Πνεύματος. Παῦλος δὲ ὁ δοκιμώτατος ἀποστόλων πρὸς Ἐφεσίους μέν· «Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Θεὸν Πατέρα, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται, ἵνα δῷ

---

1. Πρβλ. Ἰω. 14,12. 2. Ρωμ. 8,2. 3. Ἰω. 20,22-23. 4. Ἠσ. 43,25 5. Ἠσ. 1,18. 6. Ματθ. 9,2,5. 7. Ἰω. 1,29. 8. Μιχ. 3,5. 9. Μιχ. 3,7-8, 10. Ψαλ. 6,6. 11. Μιχ. 3,8.

ὑμῖν, κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ, δυνάμει κραταιωθῆναι, διὰ τοῦ Πνεύματος αὐτοῦ, εἰς τὸν ἔσω ἄνθρωπον κατοικῆσαι τὸν Χριστόν»[1]· πρὸς Ῥωμαίους δέ· «Ἔχω οὖν πεποίθησιν ἐν Χριστῷ Ἰησοῦ πρὸς τὸν Θεόν. Οὐ γὰρ τολμῶ τι λαλεῖν, ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ, λόγῳ καὶ ἔργῳ, εἰς ὑπακοὴν ἐθνῶν, ἐν δυνάμει σημείων καὶ τεράτων, ἐν δυνάμει Πνεύματος Ἁγίου»[2]. Αἱ ὅμοιαι τῇ φύσει ὑποστάσεις ὁμοίας τιμῆς ἄξιαι· ὅθεν παραπλήσιον καὶ τὸ λόγιον τόδε τῷ «Χριστὸς **[581]** Θεοῦ δύναμις καὶ Θεοῦ σοφία»[3]. Ματθαῖος ἀπὸ τοῦ Σωτῆρος· «Εἰ δὲ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ»[4]. Καὶ ὡς ἐν τῷ φωτίσματι συμπράττει, ἀδύνατον τοίνυν τῇ συμφωνίᾳ καὶ τῇ ἐνεργείᾳ ὑπάρχειν ἕν, μὴ οὔσης τῆς οὐσίας μιᾶς· καὶ διὰ τοῦτο λέγει ὁ Δεσπότης ποτὲ μέν· «Ὁ Πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα»[5]· ποτὲ δέ, ὡς νῦν εἴρηται· «Ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια»[6]. Διὰ τοῦτο δὲ καὶ Παῦλος εἶπεν· «Ἐν δυνάμει Πνεύματος Ἁγίου»[7]· ὁμολογῶν ὅτι τῇ θείᾳ τῆς Τριάδος ἐνεργείᾳ τεθνεῶτας ἤγειραν, αὐτὸς μὲν τὸν Εὔτυχον, Πέτρος δὲ τὴν Ταβήθαν.

Η'. Ὅτι ὥσπερ ὁ Θεὸς καὶ Πατήρ, οὕτω καὶ τὸ Ἅγιον Πνεῦμα χρηματίζει, σημαινόμενον Θεὸς καὶ Δεσπότης, καθὰ φράζει Λουκᾶς· «Ἦν ἄνθρωπος ἐν Ἱερουσαλήμ, ᾧ ὄνομα Συμεών· καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβὴς προσδεχόμενος παράκλησιν τῷ Ἰσραήλ· καὶ Πνεῦμα Ἅγιον ἦν ἐπ' αὐτῷ καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου, μὴ ἰδεῖν θάνατον, ἕως ἂν ἴδῃ τὸν Χριστὸν Κυρίου. Καὶ ἤγετο ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν. Καὶ ἐγένετο ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ· καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας καὶ εὐλόγησε τὸν Θεὸν καὶ εἶπεν· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ Σωτήριόν σου»[8]. Ἐχρημάτισε τοίνυν τὸ Ἅγιον Πνεῦμα· ἐδέξατο Συμεὼν τὸν Χριστὸν εἰς τὰς ἀγκάλας κατὰ τὸν χρηματισμόν· εὐλόγησε τὸν χρηματίσαντα, τουτ' ἔστιν ἐδόξασε τὸ Ἅγιον Πνεῦμα, ἑωρακὼς τὸ σωτήριον τοῦ χρησμοῦ δεξάμενον πέρας· Θεόν τε καὶ Δεσπότην αὐτὸν τὸν χρηματίσαντα ἐκάλεσεν. Ἐχρημάτισε δὲ ὁ Θεὸς Πατὴρ τῷ Ἰὼβ φάνας· «Οἴει με ἄλλως σοι κεχρηματικέναι ἢ ἵνα ἀναφανῇς δίκαιος»[9]; Οἱ δέ, τῷ ἀληθινῷ Πνεύματι τοῦ Θεοῦ μάχεσθαι ἠσκηκότες, πανταχοῦ τῆς ὑποθέσεως τὰ ἐν ἄλλοις πράγμασιν, καὶ οὐκ εἰς θεολογίαν, συντελοῦντα πρὸς τὸ συσκιάσαι τὴν ἀλήθειαν συλλέγοντες καὶ οὐ τὰ πρέποντα τῷ θείῳ μυστηρίῳ ἀτρεκέως ἐκδεχόμενοι καὶ τῇ ὑποθέσει ἁρμόζοντες καὶ πρὸς τὸ κεφάλαιον τοῦτο ἄδεκτα τοῦ

1. Ἐφ. 3,14-17. 2. Πρβλ. Ρωμ. 15,17-19. 3. Πρβλ. Α' Κορ. 1,24. 4. Ματθ. 12,28. 5. Ἰω. 14,10. 6. Πρβλ. Ματθ. 12,28. 7. Ρωμ. 15,19. 8. Λουκ. 2,25-30. 9. Ἰὼβ 40,8.

θείου προφέρουσι ῥήματα, ἄνω καὶ κάτω ὡς μέγα καὶ ἐναργὲς κεφάλαιον, τὸ ψυχρὸν ἐκεῖνο καὶ ἀπατηλὸν ῥῆμα λέγοντες· Ὅτι, φησίν, κατάγεται ἐκ τῶν τοιούτων μαρτυριῶν τὸ Ἅγιον Πνεῦμα εἰς ἀγγέλου φύσιν, ᾗ καὶ αὐτοὶ φαίνονται χρηματίσαντες. Καὶ οὕτω τὰς ὀρθὰς τῶν Γραφῶν ἐννοίας, ἐξ ἀτόπων ἰδίων λόγων εἰς περιπετείας ἐξ[584]έλκουσιν. Γέγραπται γάρ, φησίν, ἐν ταῖς ἀποστολικαῖς Πράξεσιν· «Κορνήλιος ἑκατοντάρχης ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν Θεόν, μαρτυρούμενός τε ὑπὸ παντὸς ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου, μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ»[1]. Ὑμεῖς μὲν οὖν, εἰ ἐσιωπήσατε, καὶ ἀπερράψατε συκοφαντίας τὰ στόματα, ἐπράττετε ἂν πολλῷ λυσιτελέστερον. Ἡμεῖς δέ, ἐπὶ τὸν τελειότερον σκοπὸν ἀναπέμποντες καὶ τὸ κεφάλαιον τοῦτο καὶ εὐθυμίαν τοῖς ἐντευξομένοις παρέχοντες καὶ πλείονα τὸν ὀρθόδοξον ζῆλον ἐμβάλλοντες, φαμέν, ὅτι Ὡς οὐδεμία κοινωνία φύσεως κτίσματι πρὸς τὴν ἄκτιστον φύσιν ἐστίν, οὕτως οὐδὲ χρηματισμοῦ. Ὁ μὲν γὰρ ἀγγέλλει, ὃ δ' ἂν οὐκ εἰδὼς ὑπὸ τοῦ Ἁγίου Πνεύματος εἰπεῖν ἐνεργηθείη· καὶ ἐντεῦθεν αὐτῷ ἄγγελος τοὔνομα· τὸ δὲ Ἅγιον Πνεῦμα, ἅτε πάντα εἰδὸς τὰ τοῦ Θεοῦ, ὡς διαβεβαιοῦται ὁ Παῦλος[2], χρηματίζει θεϊκῶς, ὡς ὁ Πατήρ, ἅπερ ἂν τοῖς τῆς θεότητος ἀκοιμήτοις ὄμμασιν ὁρᾷ βουλόμενον καὶ τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ οὐ διακονικῶς, καθάπερ ὁ δορυφόρος ἄγγελος. «Ὁ γὰρ δοῦλος οὐκ οἶδεν, τί ποιεῖ ὁ Κύριος αὐτοῦ»[3] οὐδέ γε ὁ ἑτεροούσιος τὴν αὐτὴν τῷ ἑτέρας ὄντι οὐσίας κεκτῆσθαι δύναται γνῶσιν· φύσει γὰρ ἑκάστῃ ἡ ἀνήκουσα γνῶσις καὶ μνήμη συμπαρομαρτεῖ· ἀλλὰ καὶ τὸ γνωσθὲν τῇ γενητῇ φύσει ἔσθ' ὅτε τῷ χρόνῳ ἀφίπταται. Ὅθεν κἀνταῦθα τὴν ἀρχὴν τοῦ χωρίου ἑκόντες ἐν τῇ διαμάχῃ τοῦ λόγου παραλελοίπασιν οἱ ἀγνώμονες. Ἔχει γάρ· «Τοῦ δὲ Πέτρου διενθυμουμένου περὶ τοῦ ῥήματος εἶπεν αὐτῷ τὸ Ἅγιον Πνεῦμα· Ἰδοὺ ἄνδρες τρεῖς ζητοῦσί σε. Ἀλλὰ ἀναστὰς πορεύθητι σὺν αὐτοῖς, μηδὲν διακρινόμενος· διότι ἐγὼ ἀπέσταλκα αὐτούς. Καταβὰς δὲ Πέτρος πρὸς τοὺς ἄνδρας εἶπεν· Ἰδοὺ ἐγώ, ὃν ζητεῖτε· τίς ἡ αἰτία, δι' ἣν πάρεστε; Οἱ δὲ εἶπαν· Κορνήλιος ἑκατοντάρχης, ἀνὴρ δίκαιος»[4] καὶ τὰ ἑξῆς, ὡς πρόκειται. Ὥστε παρὰ κριταῖς ἀγαθοῖς, κἀνταῦθα παρὰ τοῦ Ἁγίου Πνεύματος φαίνεται τὸν χρησμὸν ὁ ἄγγελος μαθών. Θεότητος γὰρ ἔκκριτον γνώρισμα, τὸ προλέγειν ἀσφάλτως· καὶ τοῦτο ἐπ' ἀγαθῷ τῶν ἀκουόντων, ἵν' ἀσφαλισάμενοι σωθῶσιν. Εἶτα οὐ νομίζετε, τοιαῦτα εἰσηγούμενοι, βασκαίνειν μέν πως τῇ κτίσει, μέμφεσθαι δὲ οἷον τῷ δι' ἀφθονίαν ταῖς περὶ αὐτοῦ εἰρημέναις λέξεσι κοσμήσαντι τὰ ἑαυτοῦ ποιήματα; ὡς ἑπομένου πάντως τῷ τοιούτῳ πράγματι καὶ τῆς αὐτοῦ χάριτος. Ἐκ γὰρ καὶ τούτου, ὕβρισε μὲν ἑαυτὸν **[585]** οὐδαμῶς, μᾶλλον δὲ καὶ ἐπαινετὸν ἔδειξεν, τὰ δὲ ἔργα αὐτοῦ συνήθως ἐφαίδρυνεν. Ἡμεῖς δέ, εἰ καὶ σεμνό-

1. Πράξ. 10,22. 2. Πρβλ. Α' Κορ. 2,10-11. 3. Ἰω. 15,15. 4. Πράξ. 10,19-22.

τητά τινα θείαν τῇ πάσῃ ὑποθέσει φέρει τὸ χρηματίζειν τὸ Ἅγιον Πνεῦμα, καὶ ἀρκεῖ καθ' ἑαυτὸ παραλαμβανόμενον εἰς μαρτυρίαν· ὅμως οὐ μόνον αὐτό, ἀλλὰ γὰρ καὶ πλῆθος ἄλλο ὑψηλῶν καὶ ἀναμφισβητήτων ἀποδείξεων παρηγάγομεν· οἷς εἰ προσέχετε ἀντιπαθείας ἄνευ, ἀφωνότεροι πάντως ἔσεσθε τῶν ἰχθύων. Διελέγχει τοίνυν τὴν πειθανουργίαν ὑμῶν σαφέστατα καὶ ὁ Παῦλος, Ἐφεσίοις γράψας· «Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, τῷ τὰ πάντα κτίσαντι· ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς Ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ»[1]. Κατανοεῖτε οὖν, πόσον ἐξήρηται ἡ ἀγγέλων φύσις τοῦ ἀφ' ἑαυτῆς εἰδέναι τι τῶν ἐσομένων καὶ τοῦ χρηματίζειν· ὅτι καὶ διὰ τῆς ἐν τῷδε τῷ κόσμῳ Ἐκκλησίας τοῦ Θεοῦ, ἥτις ἐσμὲν ἡμεῖς, τὰ μεγαλεῖα μανθάνει. Πρὸς πειθὼ δὲ τὴν περὶ τοῦτο, δύναταί τι συλλαμβάνειν καὶ ἅπερ Κολοσσαεῦσιν ἔγραψε τοιῶσδε· «Τὸ μυστήριον τοῦτο τὸ ἀποκεκρυμμένον πρὸ τῶν αἰώνων καὶ ἀπὸ τῶν γενεῶν, ὃ νῦν ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ»[2]. Πρὸ τούτου γάρ, φησί, τῷ Θεῷ ἔγνωστο μόνῳ. Πρὸς τούτοις, καὶ ἅπερ περὶ τῶν ἐνεγκόντων πᾶσιν ἀνθρώποις ὄφελος, τῶν περὶ τὴν ἄλεκτον οἰκονομίαν φημί, τοῖσδε παρὰ Πέτρου ἀνείρηται τοῖς ῥητοῖς, ὡς προελέχθη· «Εἰς ἅ», φησίν, «ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι»[3]. Εἰ δέ τινα ἔμφυτον γνῶσιν εἶχον, οὐκ ἂν ἱμείροντο τοῦ κἂν διακύψαι εἰς αὐτά. Ἀλλ' ἐπειδὴ μὴ ἔχουσιν, εἰς ὑπερβάλλοντα, ὡς οἱ ἄνθρωποι, τρόπον τινὰ ἐκπίπτουσιν ἔρωτα ἐκείνων, ὧν τῆς γνώσεως τυχεῖν αὐτοῖς μὴ ὕπεστιν. Πέφυκε γὰρ καὶ τὴν ἄλλως, ὑπερορᾶσθαι μὲν τὰ εὑρεθῆναι ῥᾴδια, ποιεῖσθαι δὲ τὰ σπανιώτερα. Καὶ μέντοι καὶ τοῦτο οὐ κατὰ γνώμην οἰκείαν, τῷ κοινῷ δὲ τῆς φύσεως αὐτῶν λόγῳ (οὐ πάντας φημί) ὑπόχρεοι ὄντες τινές. «Εἰ γάρ», φησίν, «ἀγγέλων ἁμαρτησάντων ὁ Θεὸς οὐκ ἐφείσατο»[4], ποίαν ἔμφυτον γνῶσιν τῶν μελλόντων ἢ αὐθεντείαν τοῦ χρηματίζειν, ὡς ὁ Θεός, ἔχειν δύναται; Εἰ δὲ οὐκ ἴσασι μὲν οὗτοι ἀφ' ἑαυτῶν, οὐδὲ κατ' ἐξουσίαν ἰδίαν χρηματίζουσιν, ὥς ἐστι καὶ δίχα συστάσεώς τινος τὸ πρᾶγμα αὐταπόδεικτον, διὰ δὲ τὸ τὴν λέξιν μόνην κατὰ κοινοῦ κατηγορεῖσθαι ἐπὶ τὴν μέμψιν καὶ τὴν κατηγορίαν παρηγγείλατε· προπετῶς καὶ ἀδιασκέπτως ἐπράξατε καὶ οὐδὲν πρὸς τὸ **[588]** πρᾶγμα. Οὐδὲ γὰρ εἰ τὸν Θεὸν Πατέρα φαῖεν τυχὸν ἄλλοι τινές, ὅτι χρηματίζει καὶ ἀγαθός ἐστιν, ἡμᾶς τὸ ἐναντίον λέγειν πρέπον. Εἴπω τι ὑμῖν καὶ ἕτερον; Βλέπετε μὴ τὸν χρηματίσαντα τῷ ἑκατοντάρχῃ ἄγγελον, τὸν ἅγιον τῶν ἁγίων Σωτῆρα εἶπεν. Τῷ γὰρ ὀνόματι τούτῳ προσχρησαμένη ἐπικεκρυμμένως σὺν ἐμφάσει πολλῇ καὶ θείᾳ περὶ αὐτοῦ φαίνεται ἡ Γραφὴ διὰ τὸ ἀγγεῖλαι ἐν τῇ οἰκονομίᾳ

1. Ἐφ. 3,8-10. 2. Κολ. 1,26. 3. Α' Πέτρ. 1,12. 4. Β' Πέτρ. 2,4.

ὡς Υἱὸν Λόγον τὸ πατρικὸν βούλημα. Οὐ γὰρ εἶπεν ὀνομαστί, ὡς εἴωθε λέγειν· Μιχαήλ, Γαβριὴλ ἢ ὁ δεῖνα. Τί τοίνυν ἐξ ἁπάντων τῶν ἡμετέρων λόγων αἰτιάσαιτ' ἄν τις εὐλόγως; τί δὲ μέμψαιτο τῇ οὐδαμόθεν ἐχούσῃ τὸ εὐθύνεσθαι ὀρθοδόξων πίστει; πῶς δὲ οὐ πιστεύειν ἄξιον, ὡς τὸ Ἅγιον Πνεῦμα βασιλικῶς, ἤτοι θεϊκῶς χρηματίζει· οἱ δ' ἄγγελοι λειτουργικῶς, ἤτουν διακονικῶς; ὡς χαλεπὸν οὖν, καθά φησιν, οἰάκων ἔχεσθαι, ὅτῳ κυβερνητικῆς οὐχ ὕπεστιν· οὕτω χαλεπὸν καὶ διδάσκειν, ὅτῳ ἡ χάρις τοῦ θείου Πνεύματος, ἡ τῶν ἀνθρώπων σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἐργαζομένη τὴν σωτηρίαν, οὐ πάρεστιν, οὔτε ἐστὶ τὸ εἰδέναι τὴν καὶ ἐν τοῖς αἰνίγμασιν τῶν λογίων εὑρισκομένην ἀσφάλειαν καὶ τὴν ἀπὸ τῆς ἐπιστήμης τῶν πιστῶν ἀνδρῶν διδομένην ἀπόκρισιν· καὶ ὅτῳ ἐριστικῆς καὶ ἀντιλογικῆς καὶ ποικίλης προαιρέσεως ἄνευ οὐκ ἔστι λόγου προφορά. Οἶδα δὲ σαφῶς, ὦ εὐδόκιμοι, καὶ τὸ οὐράνιον φῶς κατοικοῦντες ἄγγελοι τοῦ Θεοῦ, ὅτιπερ ὑμεῖς, ὡς ἄμεμπτοι καὶ τέλειοι, οὐκ ἠχθέσθητε ἐπὶ τοῖς λεχθεῖσι παρ' ἐμοῦ, ἕνεκα τῶν κατὰ τὴν φύσιν, οὐ κατὰ τὸ ἐπαινετὸν τῆς γνώμης ὁμοίων ὑμῖν ἀγγέλων· οἷς ἐξ ἀρχῆς μέμψις παρηκολούθησεν, ὡς καὶ αἱρετικοῖς, τοῖς εἰς μέσον ἄγουσιν, ὡς οὐκ ἐχρῆν, τὰ ἄρτι μνημονευθέντα· οἵτινες ὑμῖν μάλιστα ἀπίθανοί τινες πρὸς τὸν κατὰ τῆς ἀληθείας ἀγῶνα φαίνονται. Ὁ γὰρ λόγος μοί ἐστιν ὑπὲρ τοῦ θεϊκοῦ Πνεύματος τοῦ φωτίζοντος ἅπαντα καὶ φιλοτιμουμένου τὰ θεϊκὰ τοῖς κτίσμασι· τοῦ Πατρὸς καὶ τοῦ Μονογενοῦς αὐτοῦ ἐφάμιλλα τοῦ ἁγιάσαντος καὶ ὑμᾶς καὶ συνδοξαζομένου παρ' ὑμῶν, ἅμα τῷ Πατρὶ καὶ τῷ Υἱῷ διὰ τοῦ τρισαγίου αἴνου. Μᾶλλον δὲ καὶ συνεπενεύσατε, Πνεῦμα τοῦτο τῆς ὑποστάσεως τοῦ Θεοῦ, ἓν καὶ μόνον καὶ Θεὸν ἀνευφημήσαντί μοι· καὶ ἐβούλεσθε ἂν τάχα (πανηγυρίζει δέ μοι ἐν τῷ μέρει τούτῳ τὸ βιβλίον), δι' ὑπερβολὴν εὐνοίας ὑμῶν τῆς περὶ τὴν σεπτὴν καὶ ὁμοούσιον Τριάδα, ὑμέτερά τε εἶναι ῥήματα τὰ ἐκ τῆς τῶν Γραφῶν διανοίας λεχθέντα παρὰ πολλῶν καὶ νῦν παρ' ἐμοῦ καὶ μηδέποτε σιωπὴν τούτοις ἐπιβληθῆναι καὶ πάντας δὲ τοὺς ἀνθρώπους τὴν ἀπὸ τῶν πραγμάτων σχολὴν δαπανᾶν εἰς ὑπόθεσιν τοιαύτην. Τοιγαροῦν διὰ τοῦτο, κρίσει τῇ ὑπερτάτῃ, σὺ μέν, **[589]** ὦ ἅγιε Μιχαήλ, ἄρχειν τῶν ἀσωμάτων στρατιῶν προεχειρίσθης καὶ ζώνῃ οἷον νοερᾷ ἐτιμήθης καὶ εὐωδία τις τῆς πάντων δεσποζούσης παναγοῦς καὶ οἰκτίρμονος Τριάδος ὑπάρχεις· σὺ δέ, ὦ ἅγιε Γαβριήλ, διακονήσασθαι τῷ μυστηρίῳ τῆς ἀφράστου οἰκονομίας, ὡς ἐχέμυθος καὶ πιστός, ἐξελέγης· ἄλλος δὲ ἄλλῳ, οὐδὲ αἰτήσας, θεοσδότῳ χαρίσματι τετίμηται, οἵῳ μὴ καὶ ἕτεροι καὶ οἵῳ μὴ καὶ ἡμεῖς· ἀλλὰ καὶ ἡμεῖς, οἵῳ μὴ καὶ ὑμεῖς. Ὁ γὰρ Θεὸς Λόγος, οὐ διὰ τοὺς ἁμαρτήσαντας ἀγγέλους ἄγγελος, ἀλλὰ διὰ τοὺς ἐν ἁμαρτίᾳ ἀνθρώπους ἄνθρωπος, ἄτρεπτος, ἀσυγχύτως ἀναμαρτήτως, ἀφράστως, ὡς οἶδε καὶ ἠβουλήθη, ἐκ τῆς Παρθένου, καὶ κατὰ τὴν σάρκα αὐτῆς καὶ πάντων ἡμῶν ἐγένετο, μείνας ὃ ἦν, καὶ ἔστι καὶ ἔσται, εἷς καὶ ὁ αὐτός. «Εἷς γάρ, φησίν, ἅγιος, εἷς Κύριος

Ἰησοῦς Χριστός[1], εἰς δόξαν Θεοῦ Πατρός»[2]. Καὶ οὕτως, ὡς ἀπὸ γῆς εἰς οὐρανοὺς ἀνέβη, ἥξει τὸ δεύτερον, διακονουμένων αὐτῷ ἀγγελικῶν εὐδοκίμων φαλάγγων μυρίων μυριάδων καὶ ἔτι καὶ κρινεῖ καὶ ποιήσει κατὰ τὴν φιλανθρωπίαν αὐτοῦ. Διὸ μετὰ τὰς Ἐκκλησίας καὶ οἶκοι εὐκτήριοι τῷ Θεῷ, τῆς προσηγορίας ὑμῶν ἐπώνυμοι, ὦ εὐάρεστος ξυνωρὶς ἀρχαγγέλων, οὐκ ἐν μόναις ταῖς πόλεσιν, ἀλλὰ καὶ στενωποῖς ἰδίᾳ καὶ οἰκίαις καὶ ἀγροῖς ἱδρύνθησαν χρυσῷ καὶ ἀργύρῳ ἢ καὶ ἐλέφαντι κοσμηθέντες· ἴασίν τε οἱ ἄνθρωποι καὶ εἰς τὰ ἀπωτέρω τῆς ἐνεγκαμένης αὐτοὺς χωρία τὰ ἔχοντα οἷον ὡς πρυτάνια ἐπιτευγμάτων τὰ εὐκτήρια προβεβλημένα, οὐκ ὀκνοῦντες καὶ πέλαγος διαλαβεῖν, ἣν δέοι, μακρὸν καὶ πολλῶν ἐφεξῆς ἡμερῶν ὁδὸν ἔσθ' ὅτε καὶ ἀργαλέαν ἐξανῦσαι, ὡς πειραθησόμενοι πλείονος εὐνοίας μὲν τῆς περὶ τὴν πρεσβείαν ἀπὸ ὑμῶν, μετουσίας δὲ τῆς τῶν φιλοτιμουμένων ὑπὲρ τοῦ εὖ ἀγαθῶν παρὰ τοῦ Θεοῦ. Ἐν γὰρ ταῖς ἁγίαις αὐτοῦ ἐκκλησίαις καὶ τοῖς εὐκτηρίοις καὶ μαρτυρίοις, ὡς ἐν ἄλλοις οὐρανοῖς, τὰ ἀνέκλειπτα αὐτοῦ προὔθηκεν ἀγαθά· καὶ ἀφ' ὧν οὗτος αὐτὸς «ὁ Βασιλεὺς τῶν βασιλευόντων καὶ Κύριος τῶν κυριευόντων»[3], δέδωκέ τε καὶ ὁσημέραι δίδωσιν ἑκάστοις, ἀπὸ τούτων εὐσεβῶς καὶ ὁσίως προσφερομένην, δέχεται ἀναίμακτον θυσίαν καὶ πάντα ἔχει τὰ παρὰ ἀνθρώπων γέρα. Νομίζω δὲ εἰς τὰ κατὰ αἱρετικῶν καὶ εἰς τὰ περὶ θεολογίας καὶ τὰ ἄλογα ζῷα, μενοῦνγε τοὺς λίθους αὐτούς, τῇ προθυμίᾳ συμφθέγγεσθαι ἡμῖν. Τί γὰρ οὐ ποιεῖ ὁ περὶ Θεὸν ἔρως; ἢ τίνι παραχωρεῖ φίλτρον ἀληθὲς καρδίας; Ἴστε γὰρ (σὺν Θεῷ δὲ πάντα εἰρήσθω), οὕτω μεθ' ὑμῶν τε καὶ τῶν ἐκ τῆς ἡμετέρας φύσεως γεγονότων ἁγίων πρεσβευόντων πεπραχέναι, ὡς μηδένα πω μέχρι καὶ σήμερον, οἷον δίκην τινά μοι καὶ κακηγορίας ἑλέσθαι λαχεῖν ὑπὲρ ὑμῶν τῶν ἡμετέρων πρέσβεων, τῶν τιμὰς τὰς πρὸς τὸ μέτρον ὑμῶν παρὰ πᾶσιν ἐχόντων· μηδὲ ὀνόματι καλέσαι με εἰς ἀγῶνα τὸν περὶ τούτου καὶ κρίσιν, καίτοι εὑρισκομένων τῶν τὰ μὴ ὄντα κατηγορούντων· ἀλλὰ μηδέ τινα πειραθῆναι διελέγξαι με, ὡς εἴην λόγους ἀκούσας **[592]** κατὰ τοῦ Θεοῦ Λόγου καὶ τοῦ Ἁγίου Πνεύματος καὶ δι' αἰδῶ τυχὸν ἢ φόβον τοῦ λέγοντος ἐπινεύσας καὶ τὰ μὴ καλὰ ἐπαινέσας· ἢ ὅλως ὀλιγωρήσας ποτὲ καὶ ἐν ῥᾳθυμίᾳ τῇ οὐκ ἐνδέοντι θέμενος τὸ πρὸς δύναμιν ἀντιτάξασθαι· μενοῦνγε ἐκ τοῦ ἐναντίου φάναι πολλούς, ὡς ἀεὶ παρῆλθον εὔτονος καὶ ἤρεμος εἰς τὰ τοιαῦτα ἢ δώσων δίκην ἢ ληψόμενος. Κέρδος γὰρ μέγιστον καὶ αἰώνιον ἐμαυτοῦ καὶ τῶν ἐξ ἐμοῦ καὶ τῶν σὺν ἡμῖν ἡγοῦμαι καλῶς, τὸ πάντα πόνον, εἰ δεήσοι, καὶ κίνδυνον ἑλέσθαι ὑπὲρ τοῦ ποιήσαντος ἡμᾶς καὶ σῴζοντος καὶ κρῖναι καὶ φιλανθρωπεύσασθαι αὐτοῦ ἕνεκα ἔχοντος Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος. Εἰδότες οὖν, ὡς ἐκλεκτοὶ λατρευταὶ μὲν τῆς παναγοῦς Τριάδος, πρεσβευταὶ δὲ τοῦ ἀνθρώπων γένους, μηδὲν μετ' αὐτήν, τὴν

1. Α' Κορ. 8,6. 2. Πρβλ. Γαλ. 1,4-5. Φιλιπ. 4,20 3. Α' Τιμ. 6,15.

πάντων αἴτιον καὶ ζωοποιόν, αἰδοῦς εἰς ὑμᾶς ἐλλελεῖφθαί μοι, τῆς ὀφειλομένης εἰς τοὺς συναγορεύοντάς με ταύτῃ, τῇ χορηγούσῃ ἐνθυμήσεις καὶ φράσεις σοφάς, αὐτῇ τε ἀρεσκούσας καὶ ἡμᾶς εὐεργετούσας· ἔπειτα καὶ ὑμῖν· καὶ τοσούτῳ «ἔπειτα», ὅσῳ πρέπει, μετὰ τὴν ἄκτιστον κτιστῆς εὐπρεπῶς μνημονεύειν φύσεως τάξαντας· ἱκετεύσατε ἰδικῶς ὑπὲρ ἐμοῦ καὶ τῶν ἐξ ἐμοῦ καὶ σὺν ἐμοὶ καὶ πάντων (τούτου γὰρ πλέον παρέχειν ἡμῖν οὐκ ἐπετράπητε), τήν τε ἐπὶ τούτῳ γνώμην διατηρηθῆναί μοι ἀκίνητον, τήν τε εὐχήν **[593]** μου πᾶσαν, ἣν οἶδεν αὐτὴ ἡ τὰ πάντα μόνη εἰδυῖα καὶ εἰς αἴσιον καὶ ἐπ' ἄπειρον κατορθοῦσα ἀγαθωτάτη καὶ αὐτοτελὴς καὶ ἀδιαίρετος Τριὰς προσδεχθῆναι· καὶ καταξιωθῆναι ἡμᾶς παντεκνεί, πανοικεί, παγγενεί καὶ παμφιλεί (φίλοι δὲ ἡμῖν οἱ ὀρθόδοξοι), σὺν ὑμῖν τε καὶ πᾶσι τοῖς ἁγίοις, ἁγιοτρισσολογῆσαι αὐτὴν ἐν οὐρανοῖς εἰς τοὺς ἀπεράντους αἰῶνας τῶν αἰώνων· καὶ τῆς ἐπηγγελμένης καὶ πρὸς ἡμῶν πιστευομένης ἀτελευτήτου καὶ ἀδιαιρέτου αὐτῆς βασιλείας, χάριν αὐτῆς, τυχεῖν. Ἀμήν. Ἀμήν. Ἀμήν.

[596] Θ.' Ἀλλ' ὥρα γὰρ εἰς τὴν ἀρχθεῖσαν ὑπόθεσιν αὖθις οὖν τείνεσθαι. Ὅτι σὺν τῷ Χριστῷ, ἅτε Θεὸς καὶ Δημιουργός, τὸ Ἅγιον Πνεῦμα κρίνειν μέλλει τὰ πάντα. Τίνος γὰρ καὶ ἔστιν κρῖναι ἢ τοῦ κοινωνίαν ἔχοντος πρὸς τὸν ποιήσαντα αὐτὰ θεότητος καὶ βασιλείας; ὡς προφητεύει Ἡσαΐας μέν· «Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται καὶ ἀναπαύσεται ἐπ' αὐτὸν Πνεῦμα τοῦ Θεοῦ, Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος Πνεῦμα γνώσεως καὶ εὐσεβείας· καὶ ἐμπλήσει αὐτὸν Πνεῦμα φόβου Θεοῦ. Οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει· ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν καὶ ἐλέγξει τοὺς ὑπερηφάνους καὶ ἐξελεῖται τοὺς ταπεινοὺς τῆς γῆς καὶ πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ καὶ ἐν Πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβεῖς»[1]. Ῥάβδον καὶ ἄνθος ἐκ τῆς ῥίζης Ἰεσσαὶ λέγει τὸν ἐξ αὐτῆς ἐν τῇ ἐνανθρωπήσει βλαστήσαντα καὶ τῇ ἑαυτοῦ εὐωδίᾳ τὴν ὑφήλιον ῥώσαντα, ἐφ' ὃν εἴδομεν ἐν Εὐαγγελίοις ἀναπαυσάμενον τὸ Ἅγιον Πνεῦμα· κριτὴν **[597]** δὲ αὐτὸν σὺν τῷ Ἁγίῳ Πνεύματι ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ ἰδεῖν περιμένομεν. Τοῦτο γὰρ σημαίνει τό τε «Ἐν Πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβεῖς»[1] καὶ τὸ ἀλλαχοῦ εἰρημένον τῷ αὐτῷ προφήτῃ· «Ἐν Πνεύματι κρίσεως καὶ ἐν Πνεύματι καύσεως»[2]. Δαυὶδ δὲ ἐν ρλη' ψαλμῷ φησιν· «Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου; καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω»[3]; Τὸ «Ποῦ πορευθῶ» καὶ «Ποῦ φύγω» πλατεῖαν ἔχει ἔμφασιν· σημαίνει γὰρ πανταχοῦ παρεῖναι καὶ κριτὴν ὑπάρχειν τὸ Ἅγιον Πνεῦμα. «Φοβερὸν» γὰρ ὡς ἀληθῶς, κατὰ τὸν Ἀπόστολον, «ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος»[4] τοῦ λέγοντος ἐν μθ' ψαλμῷ· «Ἐλέγξω καὶ παραστήσω κατὰ πρόσωπόν σου τὰς

1. Ἡσ. 11,1-4. 2. Ἡσ. 4,4. 3. Ψαλ. 138,7. 4. Ἑβρ. 10,31.

ἁμαρτίας σου»[1]. Καὶ τοῦ Μιχαίου δὲ ἡ μικρῷ πρόσθεν λεχθεῖσα προφητεία καὶ εἰς τόδε συντελεῖ τὸ κεφάλαιον. Ποίαν δὲ ἀπόδειξιν ἂν εἴποι τις ἰσχυροτέραν εἰς τοῦτο τοῦ καὶ τὸν Σωτῆρα παρ' Ἰωάννῃ λέγειν περὶ τοῦ Ἁγίου Πνεύματος· «Ἐλθὼν ἐκεῖνος ἐλέγξει τὸν κόσμον περὶ ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως»[2];

Ι'. Ὅτι ἐν τῇ ὑπερβαλλούσῃ δυνάμει τοῦ Ἁγίου Πνεύματος ὁ Παῦλος ἐν Κύπρῳ Ἐλύμαν τὸν μάγον, ἐπιστρατεύοντα τοῖς ἁγίοις καὶ λυμαινόμενον τῇ ἀληθείᾳ, ἐξετύφλωσε λόγῳ. Τοῦ Πνεύματος γὰρ εἶναι τὴν δύναμιν δεικνῦσα ἡ Γραφὴ λέγει αὐτοῖς ὀνόμασιν οὕτως· «Τότε ὁ Παῦλος πλησθεὶς Πνεύματος Ἁγίου», «εἶπε»[3] πρὸς αὐτόν· «Ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σὲ καὶ ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον»[4]. Ἀληθῶς γὰρ οὐκ ἦν αὐτόν, μὴ ἔχοντα τοῦ Πνεύματος τὴν πάντα ἐνεργοῦσαν δύναμιν, ἀνθρώπου μαγγανείαις συζῶντος καὶ δαίμοσι πεποιθότος τὸ βλέπειν ῥήματι ἀποσβέσαι.

ΙΑ'. Ὅτι τῇ δυνάμει καὶ χάριτι τοῦ Ἁγίου Πνεύματος ἀναπτυχθέντες οἱ οὐρανοὶ ὤφθησαν τῷ διπλοῦς στεφάνους ἀναδησαμένῳ ἀποστολῆς καὶ μαρτυρίου. Φησὶ γάρ· «Στέφανος πλησθεὶς Πνεύματος Ἁγίου εἶδε τοὺς οὐρανοὺς ἀνεῳγμένους»[5]. Ὥστε εἶναι τὸ ὑπὸ ἀρχαίου εἰρημένον·

Οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ[α].

ΙΒ'. Ὅτι προγινώσκει, ὡς ὁ Πατὴρ καὶ ὁ Υἱός· μόνης δὲ θεϊκῆς φύσεώς ἐστιν, ἀκριβῶς εἰδέναι τὰ μέλλοντα. Ἡ γὰρ κτίσις, πάντα μὲν τὰ ἀφ' ἑαυτῆς στοχαστικὰ προφέρει, ἐκεῖνο δὲ μόνον ἀπλανῶς καὶ ἀπαραβάτως προβλέπει, ὃ αὐτὴν διδάξῃ τὸ Ἅγιον Πνεῦμα. Ταῖς γὰρ θείαις ἀκτῖσιν αὐτοῦ μονονουχὶ τὰς ἐν οὐρανῷ καταλάμπον δυνάμεις, ἀλλὰ καὶ τῶν ἡμετέρων ψυχῶν ἀπολαμπρύνον τὰ ὄμματα, ὑποδείκνυσί [600] τε πολλάκις διαφόρως τὰ μέλλοντα καὶ συγχωρεῖ δι' οἰκείαν ἀγαθότητα καὶ φιλανθρωπίαν, τὰ πρὸς τὸ χρήσιμον συντελοῦντα τῇ ἀνθρωπείᾳ φύσει ἐκλέγειν ποτὲ τὴν κτίσιν· ἅπερ ἔσθ' ὅτε ἡ ἔνυλος ἡμῶν φύσις, οὐ τῷ χορηγήσαντι διὰ μέσης τῆς κτίσεως, ἀλλ' αὐτῇ ἐπιγράφει. Αἱ δὲ περὶ τῆς προγνώσεως τοῦ Πνεύματος ἀπὸ τῶν ἀποστολικῶν Πράξεων μαρτυρίαι εἰσὶν ἐν τούτοις. Ἀπὸ τοῦ Πέτρου πρὸς τοὺς Ἰουδαίους· «Ἄνδρες ἀδελφοί, ἔδει πληρωθῆναι τὴν Γραφήν, ἣν προεῖπε τὸ Πνεῦμα τὸ Ἅγιον διὰ στόματος Δαυῒδ περὶ Ἰούδα, τοῦ γενομένου ὁδηγοῦ τῶν συλλαβόντων Ἰησοῦν»[6]. Εὖ τοίνυν εἶπε τὸ «ἔδει»· Θεοῦ γὰρ μόνου πᾶς λόγος οὐκ ἀτελεύτητος. Καὶ ἀπὸ τοῦ Παύλου· «Τὸ Πνεῦμα τὸ Ἅγιον κατὰ πόλιν διαμαρτύρεταί με λέγον, ὅτι δεσμὰ καὶ θλίψεις με μένουσιν»[7]. Καὶ διὰ τοῦ προφήτου δὲ Ἀγάβου, σιτοδείαν ἐσομένην τῇ ὑπ' οὐρανὸν[8], διὰ τὰς ἀνθρώπων πλημμελείας,

1. Πρβλ. Ψαλ. 49,21. 2. Ἰω. 16,8. 3. Πράξ. 13,9. 4. Πράξ. 13,11. 5. Πρβλ. Πράξ. 7,55-56. 6. Πράξ. 1,16. 7. Πράξ. 20,23. 8. Πρβλ. Πράξ. 11,28.
α. Πρβλ. Ἰλιάδος Θ 554.

προεμήνυσεν, ὡς ἀγαθός, καθὰ καὶ ἐπὶ τῆς Νινευΐ· ὡς ἂν εὐλαβηθέντες μετανοίᾳ φύγοιεν τὸ κακόν. Ἥτις καὶ συνέβη πολλοῖς ὕστερον χρόνοις ἐπὶ Κλαυδίου[1]. Καὶ ἐν Εὐαγγελίῳ δὲ ὁ Χριστὸς περὶ τοῦ Πνεύματός φησιν· «Καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν»[2]· τοῦτ' ἔστι τὰ μέλλοντα.

ΚΕΦΑΛΑΙΟΝ Η'.

Περὶ τῆς προγνώσεως καὶ αὐτεξουσιότητος τοῦ Ἁγίου Πνεύματος.

Μετὰ δὴ τὴν θείαν φύσιν καὶ ἐνέργειαν τοῦ Πνεύματος τοῦ Θεοῦ, τρανέστατα κομιδῇ περὶ τῆς αὐτεξουσιότητος αὐτοῦ καὶ ἐθελουσίου διανομῆς τὰ λόγια διαλέγονται.

Α'. Ὅτι οὐ διακονικῶς, ἀλλ' αὐθεντικῶς, πάντα ποιεῖ καὶ παρέχει, καθὼς βούλεται, τὰ χαρίσματα[3], ὅσαπερ ἂν ἡ ἄφραστος καὶ ὑπερούσιος καὶ μόνη χαρίσαιτο φύσις· καὶ ἐνεργεῖ ὅσα ἐθέλει[4], καὶ πνεῖ **[601]** ὅπου προήρηται[5]· βούλεται δέ, ὅπερ ὁ Πατὴρ καὶ Υἱός· καὶ πνεῖ ὁμοίως ἔνθα θέλει καὶ ὁ Πατὴρ καὶ ὁ Υἱός· πληροῦν τὴν ἄφθονον τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ ἑαυτοῦ μίαν βούλησιν· καὶ μηδέν, μηδὲ αὐτῶν τῶν ἀμυδρὰν ἐχόντων ζωήν, ἔρημον ἀπολιμπάνον τῆς ἑαυτοῦ προνοίας. Προϊστάμενον γὰρ τῆς ἑαυτοῦ ποιήσεως, ἅτε ὂν αὐτοάγαθον καὶ ἅτε συνεργὸν τοῦ ἀγαθοῦ Δημιουργοῦ, πάντα ἐφορᾷ καὶ οὐδὲν παραβλέπει, πανταρκὲς ὑπάρχον καὶ θεϊκὰ δωρήματα διανέμον. Τῷ γὰρ «ἑνὶ ἀγαθῷ» οὐδεὶς περὶ οὐδενὸς οὐδέποτε ἐγγίνεται φθόνος· ἀλλ' εὐεργεσίαις μᾶλλον δείκνυσι τὴν ἐξουσίαν. Καὶ διὰ τοῦτο ἓν θέλημα καὶ μίαν ἐξουσίαν καὶ δύναμιν τῆς Τριάδος εἶναι λέγομεν. Ὧν δὲ θέλησις καὶ ἐξουσία καὶ ἐνέργεια μία, ἄρα μία καὶ ἡ θεότης. Τὸ γὰρ πάντα ἐνεργοῦν κατ' ἐξουσίαν ἰδίαν καὶ παρὸν ἐν τοῖς καθ' ἕκαστον, τῆς ἐπὶ πάντων ἐστὶ μιᾶς καὶ ἀκηράτου φύσεως, οὐκ ἔχον ἔν τινι τὸ ἐλλεῖπον, οὐδὲ ποιοῦν ὃ μὴ θέλει· ἀλλ' οὐδὲ ποιοῦν ὃ μὴ θυμῆρες τῷ Πατρὶ καὶ τῷ Υἱῷ. Καὶ ὃν τρόπον ἀπαράλλακτον πρὸς τὸν Πατέρα μετὰ τῶν ἄλλων ἀποδείξεων δείκνυσι τὸν Υἱὸν καὶ τό· «Ὅσα ἂν ποιῇ ὁ Πατήρ, ταῦτα καὶ ὁ Υἱὸς ὁμοίως ποιεῖ»[6]. Οὕτω καὶ τὸ Ἅγιον Πνεῦμα, σὺν τοῖς ἄλλοις καὶ τὸ πάντα ἐνεργεῖν[7] καὶ δωρεῖσθαι, καθὼς βούλεται καὶ πνεῖν ἔνθα προήρηται[8]. Τοῦτο γὰρ παριστῶν καὶ τρανῶς θεολογῶν τὸ Πνεῦμα, ἔγραφεν ὁ Ἀπόστολος· «Ἵνα ἴδωμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν»[9]. Γένοιτο δ' ἂν πάντων τούτων καὶ αὖθις μάρτυς πιστὸς γράφων ὁ αὐτὸς Κορινθίοις ἐν τῇ πρώτῃ Ἐπιστολῇ· «Διαιρέσεις δὲ χαρισμάτων εἰσίν, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσι καὶ ὁ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσί,

---

1. Πρβλ. Πράξ. 11,28. 2. Ἰω. 16,13. 3. Πρβλ. Α' Κορ. 12,4. 4. Πρβλ. Α' Κορ. 12,11. 5. Πρβλ. Ἰω. 3,8. 6. Πρβλ. Ἰω. 5,19. 7. Πρβλ. Α' Κορ. 12,11. 8. Πρβλ. Ἰω. 3,18. 9. Α' Κορ. 2,12.

ὁ δὲ αὐτὸς Θεός ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. Ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον. Ὧ μὲν γὰρ δίδοται διὰ τοῦ Πνεύματος λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ Πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ ἑνὶ Πνεύματι, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διάκρισις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν. Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»[1]. Χρὴ δὲ μὴ **[604]** παραδραμεῖν ἓν μέν, ὅτι διὰ τὴν πρὸς τὸν Πατέρα περὶ πάντα ἰσότητα τοῦ Ἁγίου Πνεύματος, πρώτου μέμνηται αὐτοῦ, εἶτα τοῦ Υἱοῦ καὶ μετέπειτα τοῦ Θεοῦ καὶ Πατρὸς ἐνεργοῦντος τὰ πάντα ἐν πᾶσιν· δεύτερον δέ, ὅτι ἀνωτέρω εἰπὼν τὸν Θεὸν ἐνεργεῖν τὰ πάντα ἐν πᾶσιν, ἐπάγει μίαν ἁρμονίαν μαρτυρίας ἐκτιθέμενος περὶ τοῦ Πατρὸς καὶ τοῦ Πνεύματος αὐτοῦ· «Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»[2]· ἵν' ἐκ τούτου Θεὸν αὐτεξούσιον δηλώσῃ τὸ Ἅγιον Πνεῦμα· οὐκ ἀπροσήκῳ πράγματι ἐγχειρήσας οὐδὲ τὴν τάξιν καινοτομήσας, οὐδὲ διαμαρτὼν τοῦ καλῶς ἔχοντος· ἀλλ' ἄτρωτον φυλάττων τὴν γνῶσιν τῆς πίστεως καὶ τῆς θεολογίας τὴν καθαρότητα· καὶ οὐχ ὑβρίζων τὴν ἀμέριστον φύσιν καὶ ἀξίαν, ὡς οἱ μὴ συναριθμοῦντες, ἀλλ' ὑπαριθμοῦντες τῷ Πατρὶ τὸν Υἱὸν καὶ τὸ Ἅγιον Πνεῦμα. Οὐδὲ γὰρ ἁπλῶς καὶ ἀφ' ἑαυτοῦ ἀνέστρεφε τῶν ὀνομάτων τὴν ἀκολουθίαν· ἀλλ' ὁ λαλῶν ἐν αὐτῷ Χριστός, τῶν κακοήθων καὶ ἀδιαστρόφων καρδιῶν ἀφανίζων τὴν ὑπόληψιν, διαφόρως τὴν ἀλήθειαν τῆς ἰσοδυνάμου καὶ ὁμοτίμου καὶ ὁμοουσίου διδάσκει Τριάδος, ἄλλοτε μὲν παρὰ τῷ αὐτῷ Παύλῳ εἰρηκώς· «Ὁ δὲ αὐτὸς Θεός ἐστιν ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν»[3], ἄλλοτε δὲ παρὰ τῷ Εὐαγγελιστῇ λέγων· «Βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος»[4]· νῦν δὲ παρὰ Παύλῳ, ὡς προείρηται· «Ταῦτα δὲ πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»[5]. Συνηγορεῖ δὲ καὶ ἐν τῇ πρὸς Ἑβραίους Ἐπιστολῇ τῷ κεφαλαίῳ τούτῳ, ἐχούσῃ ὧδε· «Συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι καὶ Πνεύματος Ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν»[6]. Καὶ δεσποτικαὶ δὲ φάσεις παρ' Ἰωάννῃ ἔχουσιν· «Τὸ Πνεῦμα ὅπου θέλει πνεῖ»[7]· καί· «Τὸ Πνεῦμά ἐστιν ἡ ἀλήθεια»[8]. Καὶ ἐμπρεπές, φησί, πρωτείοις θεότητος, ἀλλὰ μὴ ἐπὶ δευτερείοις ὑμνεῖν αὐτό· ἵν' ἐπὶ τῇ ζωῇ τὴν ἀσφάλειαν ἔχητε. Τὸ γὰρ εὐεργετοῦν, εὐχαριστεῖσθαι καὶ θεραπεύεσθαι φιλεῖ· ὅπερ εὗρον εἰπεῖν ἀδόλως καὶ οἱ ἔξω· «Τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς ἀποτίννυσθε»[α]. Εἰ γάρ, φησίν, ἀμείνων ὁ αὐτεξούσιος ὑπεξουσίου, ἤδη

---

1. Α' Κορ. 12,4-11. 2. Α' Κορ. 12,11. 3. Α' Κορ. 12,6. 4. Ματθ. 28,19. 5. Α' Κορ. 12,11. 6. Ἑβρ. 2,4. 7. Ἰω. 3,8. 8. Α' Ἰω. 5,6.
α. Πίνδαρος;

καὶ ὁ ἄνθρωπος αὐτεξούσιος ὤν, κρείττων παρ' ὑμῖν ἀποφανθείη τοῦ Ἁγίου Πνεύματος. Φεῦ τῶν δεινῶν! Τὰ τῆς θεϊκῆς δυνάμεως καὶ φύσεως σύμβολα ὡς ἐπὶ κτιστῆς ἐκδεχόμενοι Μακεδονιανοί, περινενοήκασιν ἀπάτας καὶ ἔγραψαν εἰσάγοντες πρόσωπα ὀρθοδόξου καὶ Μακεδονιανοῦ· καὶ τοῦ μὲν ὀρθοδόξου νῦν περικόπτοντες τῶν ἀποδείξεων, νῦν οὐδὲ προφέροντες ὅσας ἐχρῆν· ἄλλοτε ἀποροῦντα ποιοῦντες αὐτὸν περὶ τὴν ἀντιλογικὴν καὶ ἀποδεικτικὴν ἀπόκρισιν· ἢ καὶ διαχέοντες καὶ ἀνιέντες δῆθεν πιθανοῖς ῥή**[605]**μασι τὴν ἀλήθειαν καὶ τὸ ἐμμελές· καὶ ἁπλῶς ἐν οὐδενὶ τὰ λόγια, ἃ μετ' ἀξιώματος τοῦ πρέποντος ἐχρήσθη, τιθέμενοι· εἰς ὃ δὲ αὐτοῖς δοκεῖ περιάγοντες τὸν λόγον καὶ ἑαυτοὺς ἀνθοῦντας περὶ τὸν οἰκεῖον σκοπὸν καὶ ἀπνευστὶ τὸν λόγον εἴροντας καὶ νικητὰς πάντων μετὰ εὐλαβοφανοῦς εἰρωνείας εἰσφέροντες· διασύρουσιν, ὥς γε νομίζουσι, τὴν ὀρθοδοξίαν. Ἔχει δὲ ἡ τοῦ Μακεδονιανοῦ φωνὴ δῆθεν γενομένη πρὸς ὀρθόδοξον, τόνδε τὸν τρόπον· Ἔλεγες· Ἐνεργεῖ Θεός· ἐνεργεῖ καὶ Ἅγιον Πνεῦμα· καὶ ἐκ τοῦ ἐνεργεῖν καὶ ἐνεργεῖν ἐβούλου τὸ ἰσότιμόν τε καὶ ἰσοδύναμον Ἁγίῳ Πνεύματι καὶ Θεῷ ὑπάρχειν. Ἐγὼ δὲ ὅτι ἐπὶ ἑτεροειδῶν τε καὶ διαφερόντων τῇ φύσει καὶ τοῖς ὁρισμοῖς, τὸ ἐνεργεῖν ἰατροί τε καὶ πάντες ἄνθρωποι λαμβάνουσιν, εἴτε ἐπὶ ὑδάτων θερμῶν, εἴτε ἐπὶ τῶν ἐσθιομένων, εἴτε ἐπὶ βοτανῶν. ἐῶ· τοῦτο δὲ μόνον δείκνυμι, ὅτι καὶ ἐπὶ τῆς ἐναντίας δυνάμεως ὁ θεῖος εἴληφε λόγος, εἰρηκότος τοῦ Ἀποστόλου περὶ τοῦ Ἀντιχρίστου· «Οὗ ἐστιν ἡ παρουσία κατ' ἐνέργειαν τοῦ Σατανᾶ ἐν πᾶσι σημείοις καὶ τέρασι ψεύδους»[1]. Ὅρα οὖν, φησί, τοῦ ἐνεργεῖν ὀνόματος ὁμωνύμως ἢ συνωνύμως λαμβανομένου ἐπὶ πολλῶν, εἰς τί κατήγαγες τὸ Ἅγιον Πνεῦμα· καὶ οὐκ ἐλογίζου, ὅτι Θεὸς μὲν κόσμον ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι πεποίηκέ τε καὶ ἐνήργηκεν· Ἅγιον δὲ Πνεῦμα διαίρεσιν χαρισμάτων ἐν τοῖς ὑπὸ Θεοῦ κτισθεῖσιν. Γέγραπται γάρ· «Διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»[2]· οὐ μὲν δωρούμενον. Καὶ πῶς, ὦ Μακεδονιανέ, οὐχὶ ταῦτα παρὰ τὰς ἐννοίας ἐστὶ τὰς θεολογικάς; Πῶς δὲ αὐτόφωρος οὐκ ἔστιν αὐτόθεν ἡ ὑπόκρισις; Πρῶτον μὲν γὰρ ἐπειδὴ πᾶσιν ὁμόλογον, ὅτι τὸ «ἐνεργεῖ» ῥῆμα ἐπὶ διαφόρων οὐσιῶν τε καὶ πραγμάτων κατηγορεῖται, τίνος εἵνεκα τοῦ κινουμένου περὶ θείας καὶ ἐμφανοῦς ἐνεργείας τοῦ Ἁγίου Πνεύματος ὄντος, σὺ εἰς μέσον παρήγαγες ἃ παρήγαγες καὶ ἐκ τούτου ὕβρισας μᾶλλον ἢ ἐπῄνεσας τὸ Πνεῦμα τοῦ Θεοῦ; Ἔπειτα οὐ τῷ ὁμωνύμως ἢ συνωνύμως, ἐπί τε τοῦ Θείου, ἐπί τε βοτανῶν καὶ τοῦ Σατανᾶ λαμβάνεσθαι τὴν λέξιν τὴν «ἐνεργεῖ»· ἀλλὰ τοῖς προσώποις καὶ τῇ τῆς ἐνεργείας διαφορᾷ προσέχειν χρή· καὶ τὴν κρίσιν τῶν περὶ τοῦ Θεϊκοῦ Πνεύματος λόγων τε καὶ πραγμάτων πρὸς τὸν Θεόν, τὸν τῇ λέξει τοῦ ἐνεργεῖν ὑμνηθέντα, ὡς πρόκειται, ἀλλὰ μὴ πρὸς τὰ γήινα καὶ πρὸς τὸν ῥιφέντα δαίμονα ποιεῖσθαι. Ἐπειδὴ τὸ μὲν Πνεῦμα τὸ Ἅγιον μετὰ τοῦ Θεῷ πρέποντος σεβάσματος

1. Β' Θεσσ. 2,9. 2. Α' Κορ. 12,11.

μνημονεύεται ἐν ὅλῃ τῇ περὶ αὐτοῦ εὑρισκομένῃ ἐν ἑκάστῳ χωρίῳ συμφράσει· τὰ δὲ κτίσματα καὶ ὁ δαίμων, ἑαυτῶν ἀξίως. Ὅπερ μὴ φυλάττων σὺ ὁ Μακεδονιανός, μηδὲ διαγινώσκων, τοῦ μὲν δαίμονος τὸ δυσμενές, τοῦ δὲ Ἁγίου Πνεύματος [608] τὸ φίλιον, εἰς ἅπερ ἐκ τοῦ περισσεύματός σου λέγεις καταφέρεις τό γε ἐπὶ σοί, τὴν ἀσύγκριτον δόξαν τοῦ Θεοῦ Πατρός, τοῦ ὁμοιολεξίαις ἐπὶ θείων πραγμάτων ἀνευφημηθέντος καὶ τοῦ Πνεύματος αὐτοῦ· καὶ ἔλαθες εἰκότως τάξας ἑαυτὸν ἐν τοῖς ὑγιῶς φρονοῦσι. Πρόσεχε δὲ μᾶλλον, ὅτι ἐν τοῖς προκειμένοις, πρὸ τοῦ Θεοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, τὸ Ἅγιον Πνεῦμα πρῶτον θεοπρεπῶς ἐμνημονεύθη· καὶ λογίζου ἐκ τούτου, ὅτι διαφορὰν ἡ ἐν μονάδι σεπτὴ Τριὰς οὐκ ἔχει καὶ ὅτι ἀρρήτως συνεργεῖ ἑαυτῇ. Εἶτα σὺ σκόπησον, ὅτι ἑκάστῳ διὰ τοῦ Ἁγίου Πνεύματος καὶ παρὰ τοῦ Ἁγίου Πνεύματος δίδοται τὰ μνημονευθέντα θεϊκὰ χαρίσματα, ὧν οὐδεμία ἔξωθεν ὑπολείπεται δόσις θεϊκῆς δωρεᾶς ἰδίᾳ καὶ ὧν ὁ μὴ τυγχάνων, ὡς παρὰ τοῦ Θεοῦ διδομένων, ἀθλίων ἐστὶν ἀθλιώτερος· καὶ ὁ μὴ οὕτω γράφων τε καὶ λέγων, ἀνίατος μένει, μήτ' αὐτὸς ὠφελούμενος, μητ' ἄλλους ὠφελῶν, ἀλλὰ καὶ βλάπτων· καὶ ὅτι ταῦτα πάντα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, τοῦτ' ἔστι ποιεῖ τε καὶ παρέχει· ὁ δὲ εἰς ταῦτα ἐνεργῶν καὶ εἰς πάντα ἐνεργήσει καὶ ἀνενδεής ἐστιν· ὁ δὲ ἀνενδεής, ἀπαθής· ὁ δὲ ἀπαθής, Θεός. Ἦ ἄρα ἐὰν λέγηται περὶ τοῦ Θεοῦ Πατρός· «Κύριος δυνατὸς ἐν πολέμῳ»[1]· καί, «Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός»[2]· καὶ ὅσα τοιαῦτα· ἐν ἄλλοις οὐ νοηθήσεται δυνατὸς καὶ ἐνεργητικὸς καὶ ἐπιφανής; Σκέψαι δὲ ὁμοίως, ὅτι πᾶσαν μὲν ἀπαμφιέννυσιν αἱρετικὴν πιθανολογίαν, διεγγυῶνται δὲ διαφόρως τὴν θεϊκὴν αὐτοῦ αὐτεξουσιότητα, τὴν ὁμόφρονα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, αἱ οὕτω διαλαλοῦσαι λέξεις· «Κατὰ τὴν αὐτοῦ θέλησιν»[3]· καί· «Διαιρεῖ ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»[4]· καὶ ὅτι συνεπιμαρτυρεῖ τούτοις, ὅ τε Θεὸς Πατὴρ σημείοις καὶ τέρασιν, ὅ τε Σωτὴρ λέγων· «Τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται»[5]· καὶ «Τὸ Πνεῦμά ἐστιν ἡ ἀλήθεια»[6]· ὅ τε Πέτρος, Θεὸν τὸ Ἅγιον Πνεῦμα διαρρήδην τῷ Ἀνανίᾳ καταγγέλλων τοιῶσδε· «Τί ὅτι συνεφωνήθη ὑμῖν ψεύσασθαι τὸ Πνεῦμα τὸ Ἅγιον; Οὐκ ἐψεύσω ἀνθρώπῳ, ἀλλὰ τῷ Θεῷ»[7]. Κἀκεῖνο δὲ εἰδὼς ἔσο, ὅτι οὐκ ἔλαθες πανούργως παραλείψας ἐν τῷ ματαίῳ καὶ καταβλαβεῖ πονηματίῳ σου, μᾶλλον δὲ βλασφημητηρίῳ σου, τὸ προηγούμενον τοῦ θείου γραφίου. Περιέχει γὰρ ὧδε· «Τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα»[8]· καὶ οὕτως ἐπιφέρει, ὃ μόνον σὺ ἐνδιαστρόφως ἐπήγαγες· «Διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»[9]· ἀντὶ τοῦ, δωρούμενον καὶ διανέμον καὶ ἐκκαλύπτον αὐθεντικῶς τὰ οὐράνια ἀγαθά. Οὐκ ὀρθῆς δὲ γνώμης καὶ πίστεως μετὰ τοῦ παρερμηνεύειν ἔτι καὶ ἀκρωτηριάζειν τὰ λόγια. Τὸ γὰρ περιέχειν «Ἓν καὶ τὸ αὐτὸ

1. Ψαλ. 23,8. 2. Ψαλ. 75,1. 3. Ἑβρ. 2,4. 4. Πρβλ. Α' Κορ. 12,11. 5. Ἰω. 15,26. 6. Α' Ἰω. 5,6. 7. Πρβλ. Πράξ. 5,3,4. 8. Α' Κορ. 12,11. 9. Ἔνθ. ἀν.

Πνεῦμα»[1] ἀποκλείει σοι τοῦ τε χωρίζειν αὐτὸ τῆς πρὸς τὸν ἕνα καὶ ἀνώτατον καὶ πάντα πηδαλιουχοῦντα ταυτότητος (διαφέρει γὰρ οὗτος ὁ ἀθεωρητότατος καὶ ἀπεριληπτότατος τῇ θεότητι οὔτι γε σμικρόν, πλὴν μόνῳ τῷ τῆς πατρότητος λόγῳ· ὅτι ἐξεπορεύθη φύσει ἐξ αὐτοῦ καὶ οὐ δημιουργικῇ ἐνεργείᾳ), τοῦ τε λέγειν· Εἰ Πνεῦμα Θεοῦ καὶ Πνεῦμα Χριστοῦ γέγραπται, δύο νοηθήσεται **[609]** Πνεύματα. Προείρηται δὲ οὐ πολλῷ ἀνωτέρω, δι' ἣν αἰτίαν οὕτω κεχρησμῴδηται. Μὴ ἀγνόει δὲ καὶ τὸ ὅτι τὰ ἐκκείμενα λόγια, οὐκ ἄλλο σημαίνει πρόσωπον εἶναι τὸ χαριζόμενον καὶ ἄλλο τὸ διανέμον, ὡς ἐπὶ τῶν ὅλα μήτε εἰδέναι δυναμένων, μήτε ἀπόνως πραττόντων ἀνθρώπων καὶ διὰ τοῦτο διδόντων μὲν ἀποκρίτως τούτων, ἑτέρων δὲ κατὰ δοκιμασίαν ἀκριβῆ διανεμόντων, μήπως ἢ οἱ χορηγοῦντες οὐκ ἐπαρκέσωσιν ἢ οἱ διακονούμενοι αὐτοὶ οὐ κερδάνωσιν. Ὁ γὰρ ἀναίτιος καὶ ἀπαθὴς καὶ ἀεικίνητος παντάρκης τε καὶ ἄφθονος Θεός, ὁ μὴ πρὸς ὃ ἄξιοι λαβεῖν ἡμεῖς (οὐδὲ γὰρ οὐδὲ ἄξιοι ἐξ ἔργων ἀγαθοῦ οὐδενός), ἀλλὰ πρὸς ὃ αὐτῷ δοῦναι πρέπον ἐστὶ παρέχων· πάντα εἰδὼς καὶ πάντα δυνάμενος, ὡς καὶ παρ' Ἕλλησιν εἴρηται·

[612] Οὐ γάρ τις νόον ἄλλον ἀμείνονα τοῦδε νοήσει, οἷον ἐγὼ νοέω·

ἐπινεύσει μόνῃ καὶ οὐ χειρουργίᾳ ἢ κακοπαθείᾳ ἑκάστοις τὰς ἀγαθὰς καὶ ἀφθόνους δόσεις δαψιλῶς ἀεὶ χορηγεῖ· καὶ οὐ νῦν μέν, νῦν δ' οὔ· οὐδὲ ποτὲ μὲν μᾶλλον, ἄλλοτε δὲ ἧττον· ἀλλὰ διηνεκῶς κατὰ ταὐτὰ καὶ ὡσαύτως ἐν ἁπάσῃ συμπνοίᾳ (πῶς γὰρ οὔ;) τοῦ τε ἰδίου Υἱοῦ Λόγου καὶ τοῦ ἑνὸς Ἁγίου αὐτοῦ Πνεύματος. Οὐδὲ γὰρ τῶν ὄντων οὐδεὶς αὐτῷ ἀπόβλητός ἐστιν· ὅπου γε ἀνατέλλει τὸν ἥλιον ἐπὶ δικαίους καὶ ἁμαρτωλοὺς[2] ὁμοίως καὶ τοῖς εἰς τὴν ἐνδεκάτην ὥραν ἐργασαμένοις τὸν αὐτὸν μισθόν, ὃν τοῖς ἀπὸ ὄρθρου σκάπτουσι καὶ ἀμπελουργοῦσι συνεφώνησε, χορηγεῖ[3]· οὐδὲ ἐπίφοβος αὐτῷ ἐστιν, ἵνα διὰ τῆς ἐνδείας ἢ τοῦ μὴ πλουσίως δοῦναι πολεμήσει αὐτῷ· οὐδὲ ἄλλος τις κατὰ δεσποτείαν διαφέρων εὑρίσκεται, ἵνα βασκάνῃ τούτῳ τὸ ἐξισωθῆναι τοῖς **[613]** αὐτῷ προσήκουσιν (ὃ μηδ' εἰπεῖν εὐαγές, εἰ μὴ ὑποθέσεων καὶ ὑποστάσεων μοχθηρῶν)· οὐδὲ ἀνῆκεν ᾧ ὀργισθήσεται· «Φείδῃ» γάρ, φησί, «πάντων ὅτι πάντα σά ἐστι, Δέσποτα φιλόψυχε· καὶ τὸ ἄφθαρτόν σου Πνεῦμά ἐστιν ἐν πᾶσιν»[4]. Τούτων δὲ μὴ ὄντων, τί σοι ὑπολείπεται σοφίζεσθαι; Ὡς πάλιν ὅταν λέγηται ὁ Υἱὸς ἢ τὸ Ἅγιον Πνεῦμα, παρέχειν θεϊκὰ δωρήματα, εὔδηλον, ὡς εὐδοκίᾳ πατρικῇ· πῶς γὰρ οὐχ οὕτως; Τοιγαροῦν ἀκρόασαι Παύλου Ῥωμαίους διδάξαντος· «Ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος Ἁγίου τοῦ δοθέντος ἡμῖν»[5]· καί· «Ὅσοι Πνεύματι

---

1. Α' Κορ. 12,11. 2. Πρβλ. Ματθ. 5,45. 3. Πρβλ. Ματθ. 20,9. 4. Σ. Σολ. 11,26-12,1. 5. Ρωμ. 5,5.

Θεοῦ ἄγονται, οὗτοι υἱοὶ Θεοῦ εἰσιν»[1]· καὶ πάλιν· «Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ Πνεῦμα καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν»[2]· καὶ Κορινθίοις τὸ πρῶτον· «Εἰ δὲ Πνεύματι ἄγεσθε, οὐκ ἔτι ἐστὲ ὑπὸ νόμον»[3]· καὶ Γαλάταις· «Ὁ γὰρ καρπὸς τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια. Κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος[4]». Διὸ κἀνταῦθα προεῖπε· «Διαιρέσεις δὲ χαρισμάτων εἰσί, τὸ δὲ αὐτὸ Πνεῦμα»[5]· τοῦτ' ἔστι (κατὰ ἔλλειψιν λόγου καὶ συγκοπὴν) τὸ χαριζόμενον Πνεῦμα· καὶ οὕτως ἐπήγαγεν· «Τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται»[6], ὥστε ἀποδεῖξαι, ὅτι αὐτὸ καὶ χαρίζεται, καὶ διαιρεῖ, ὁμοφρόνως δῆλον ὅτι τῷ ἑνί, οὗ Πνεῦμά ἐστι, καὶ εἰς ὃν πάντα ἀνάγεται, ὡς Ῥωμαίοις ἐγράφη· «Ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα»[7]. Πρόσεχε δὲ καὶ τοῖς ἄλλοις πᾶσιν, ἃ προσείρηκε τὰ λόγια περὶ αὐτοῦ. Εἰ δ' ἂν γὰρ πᾶσι προσεῖχες καὶ εἰ ἐπίστευες αὐτῷ τῷ Θεῷ Πατρὶ καὶ τῷ μονογενεῖ αὐτοῦ Υἱῷ, ἔτι δὲ καὶ τοῖς τοσούτοις ἁγίοις, ὧν οἱ ὀφθαλμοὶ τῆς διανοίας οὕτως ἐγρηγόρουν, ὡς οἱ Χερουβικοί, οὓς ἡμεῖς, ὅσῳ πλέον αἰσχυνόμεθα καὶ τιμῶμεν, τοσούτῳ μᾶλλον τὴν ἔργῳ γενομένην τε παρ' αὐτῶν συμβολὴν καὶ διδαχὴν καὶ τὴν ἐπιδειχθεῖσαν πίστιν ὀρθῶς δεχόμεθα· εἰ δ' ἂν δὲ καὶ μὴ τὴν ἀρχὴν ἠκολούθησας ἐν μέρει τοῖς Ἀρείου ὑπασπισταῖς, οὓς μηδὲ λέγειν ἡμᾶς εἴη, μηδὲ μανθάνειν ἐρυθριῶν αὐτούς ὡς περιτεθεικότας σοι ὄνομα ἐπισκόπου, διακόνῳ πρὸ τούτου τῆς ὀρθοδόξου καὶ ἀποστολικῆς Ἐκκλησίας τυγχάνοντι· οὐκ ἂν μὲν τὴν παρεξέτασιν τῶν περὶ τοῦ Ἁγίου Πνεύματος εἰρημένων πρὸς τὰ περὶ τῶν κτισμάτων λεχθέντα ἐποιήσω καὶ τὴν ὑπόνοιαν τοῖς συνασεβοῦσί σοι πλείονα ἔδωκας, οὐδὲ ἐχρήσω ἂν λοιδορίᾳ, ἵνα μὴ εἴπω βλασφημίᾳ, νικώσῃ τὸ μέτριον· εἰδέναι δὲ εἶχες ἄν, ὅτι συμπαρῆν καὶ συνήργει ἀρρήτως πάν[616]των δημιουργουμένων, ἅτε Πνεῦμα τοῦ Θεοῦ ἐνυπόστατον· εὐδόκησε δὲ ἅπαξ ὁ Θεὸς καὶ Πατήρ, καθὰ ἀνωτέρω εἴρηται, διὰ τοῦ Υἱοῦ Λόγου πάντα ἐκ μὴ ὄντων παροισθῆναι, συνεπινοουμένου (πῶς γὰρ οὔ;) αὐτοῦ τε τοῦ Πατρὸς καὶ τοῦ ἁγιαστικοῦ Πνεύματος αὐτοῦ εἰς τὸ δημιουργῆσαι· ἐπὶ ἀνθρώπων δὲ ἢ καὶ ἀγγέλων, χρεία πολλῶν προσώπων καὶ χειρῶν εἰς τὸ τελείως καὶ περιγεγονότως ὁτιοῦν πρᾶξαι. Διεγγυᾶται δὲ ταῦτα ὁ θεσπίσας συμμνημονεύεσθαι αὐτὸ ἐν τῇ τοῦ βαπτίσματος ἀναγεννήσει ἡμῶν· ὡς συμπαρὸν γὰρ καὶ συμπρᾶττον καὶ τῆς ἀρρήτου φύσεως οὐχ ὑποβιβαζόμενον μνημονεύεται καὶ αὐτό. Οὕτω μὲν οὖν ταῦτα, καὶ οὐκ ἄλλως, καὶ πλείω παρήσω λέγειν ὅμως. Ἀλλὰ καὶ διὰ τοῦ Πνεύματος διανέμει ὁ Θεός, ὡς διὰ τοῦ Λόγου αὐτοῦ κτίζει. Τοῦτο οὐκ ἐκβάλλει αὐτὸ τῆς θεότητος, ὡς οὐδὲ τὸν Υἱόν· μενοῦν γε καὶ ἀποφαίνει καὶ διὰ τούτων αὐτὸ Θεόν. Ἐπειδὴ τοῖς διὰ τοῦ Υἱοῦ κτισθεῖσι, διὰ τοῦ Ἁγίου Πνεύματος τὰ πρὸς σωτηρίαν καὶ πανταχοῦ λαλούμενα

1. Ρωμ. 8,14. 2. Γαλ. 3,5. 3. Γαλ. 5,18. 4. Γαλ. 5,22-23. 5. Α' Κορ. 12,4. 6. Α' Κορ. 12,11. 7. Ρωμ. 11,36.

παρέχεται ἀγαθά. Θάτερον γὰρ θατέρου ἤρτηται καὶ τῷ δημιουργηθέντι συμφορώτερον τοῦ δημιουργηθῆναι τὸ προνοεῖσθαι καὶ τοῦ ῥέοντος πλήθους τῶν ἐξ οὐρανοῦ θείων καταξιοῦσθαι δώρων· καὶ προτετίμηται πανταχοῦ τὸ μὴ γενέσθαι, τὸ γενόμενον ἀτευξίαν ἔχειν τῶν ἄνωθεν ἀδαπανήτων ἀγαθῶν· ἃ καὶ διδόμενα οὐχ ὁρᾶται, ὡς καὶ ὁ διδοὺς καὶ δι' αἰώνων ἐπαρκεῖ καὶ ἀγνοεῖταί πως. Οὐ γὰρ εἶδεν αὐτὰ ὄμμα, οὔτε ἤκουσεν οὖς ἢ εἰς ἐνθύμησιν ἦλθέ πω· καὶ πρόκειται τῇ γνώσει ἡμῶν πᾶν περὶ αὐτῶν ὕψος συλλογιζομένων, πᾶν τε κάλλος συλλεγόντων, ὅπως ποτ' οὖν πελάζῃ τῷ πρέποντι ἡ πίστις· ἔνθα γὰρ αὐτὸ τἀληθὲς ἢ τἀκριβές, τέως οὐχ ἁλώσιμον εἰς τὸ δυνατὸν δεῖ βλέπειν. Ἀπλανὴς οὖν ἔλεξε φωνὴ περὶ τοῦ γενομένου ἀμετόχου τούτων· «Καλὸν ἦν τῷ ἀνθρώπῳ ἐκείνῳ, εἰ οὐκ ἐγεννήθη»[1]. Αὐτὸς οὖν σεαυτὸν δι' αἰτίας ἤγαγες ἤδη καὶ εἰς ἑαυτὸν περιέτρεψας, ἣν εἴλω καθ' ἡμῶν κατηγορίαν· καὶ ἁπλῶς τῶν ἀέρα τυπτόντων οὐδὲν διαφέρειν ἔδοξας, προαχθεὶς εἰς τὸ ἀπορίας τινάς, τὸ δὴ λεγόμενον, καττύσαι, καὶ μεταξὺ θείων πραγμάτων καὶ διηγημάτων εἰς μέσον ἀσόφως φέρειν, τῆς χρείας οὐκ ἀπαιτούσης ἄλλα τέ τινα ὑλικὰ καὶ μέντοι τὸν ἀντικείμενον καὶ ἀποβεβλημένον καὶ οἷάπερ ἔλεξας ὑποβάλλοντα. Πολύ τε ἀπέχεις τῶν ἐπιεικές τι καὶ χρηστὸν πεποιηκότων καὶ οὐδείς σε Χριστιανῶν τῶν τὰς Γραφὰς ὀρθῶς καὶ ἀπροσπαθῶς ἐκμελετησάντων, καὶ οἷς εὐθὺς τὸ διαπρέπειν ἐπὶ τῇ δοθείσῃ παρὰ τοῦ θείου Πνεύματος χάριτι ὑπῆρξεν, ἀποδέξαιτο ἂν εἰς τὰ ψυχοβλαβῶς σοι ἐκπονηθέντα. Κατὰ γὰρ τὴν σὴν ἐγχείρησιν ἐκβληθήσεται τάχα πᾶσα Γραφὴ θεολογίας ἔνδειξιν ἔχουσα. Καὶ φέρε, εἰ μὴ ταῦτα ἀληθῆ, **[617]** οὑτωσὶ πράως καὶ μετρίως σκοπήσωμεν. Ἐγώ τε γὰρ ἀναφανῶ ἀκριβῶς καὶ οὐχ ἁπλῶς ἐξ ἀμφιδόξων ἀποδείξεων, ἀλλ' ὁμολογουμένων, διδάξω τε ῥᾳδίως καὶ ὑμεῖς μαθήσεσθε. Παῦλος, ὁ τὸν δὴ λεγόμενον πυρὸς θερμότερον τὸν περὶ τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μακαριστὸν ζῆλον ἔχων, γράφει Χριστὸν διάκονον γεγενῆσθαι[2]. Καὶ αὐτὸς περὶ ἑαυτοῦ ὁ εὐεργέτης οὗτος ἐπιφανῶς ἔφη· «Ἐντολὴν ἔλαβον, τί εἴπω καὶ τί λαλήσω»[3]· καί· «Οὐδὲν ἀπ' ἐμαυτοῦ ποιῶ»[4]. Καὶ ἑτέρωθι εἴρηται· «Ὁ νόμος διὰ Μωϋσέως ἐδόθη· ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο»[5]. Καὶ ὅμως πιστῶς καὶ θεοπρεπῶς ταῦθ' οὕτως γεγράφθαι, διὰ τὸ ἓν θέλημα τῆς Ἁγίας Τριάδος καὶ διὰ τὸ εἰς τὸν Πατέρα πάντα ἀνάγεσθαι, νοοῦμεν. Ὡς τοίνυν οὐδεμία ἐπινοεῖται παραλλαγὴ θεότητος ἐπὶ τοῦ Υἱοῦ (οὔτε γὰρ διακονεῖ, ὡς ἀλλοῖος τῇ φύσει ἀλλοίῳ· οὔθ' ὑφέσει δυνάμεως, ἀλλ' ὡς Υἱὸς Λόγος γνησίῳ Πατρί· οὔτ' ἐντολὴν λαμβάνει, ὡς ἀγνοῶν τὸ δέον καὶ τὸ πατρικὸν βούλημα, ἀλλ' ὡς προείρηται), οὕτω καὶ τὸ θεϊκὸν Πνεῦμα. Καὶ ᾧ τρόπῳ τὰ τοῦ Θεοῦ Λόγου ἀναφέρεται εἰς τὸν Θεὸν Πατέρα, τούτῳ καὶ οὐκ ἄλλῳ, τὰ τοῦ Ἁγίου

1. Ματθ. 26,24. Μάρκ. 14,21. 2. Πρβλ. Ρωμ. 15,8. 3. Πρβλ. Ἰω. 12,49. 4. Ἰω. 8,28. 5. Ἰω. 1,17.

Πνεύματος. Ὥστε οἷς ἂν ἐπῆραν τὸ φρόνημα αὐτῶν αἱρετικοί, τούτοις ἂν καθ' ἑαυτῶν τὴν ἐπ' ἀλαζονείᾳ καὶ κακοδοξίᾳ διαβολὴν ἐκίνησαν. Οὐκ ἔστη αὐτοῖς ἄχρι τούτων τὰ τῆς ἀσεβοῦς καὶ ἀπροσήκου διαβολῆς. Θολοῦν γὰρ πειρώμενοι τὴν περὶ τῆς θεότητος τοῦ Ἁγίου Πνεύματος ἄχραντον δόξαν, ὡς οὐδενὸς αὐτοῖς ἀγαθοῦ ὑπάρχοντος παρ' αὐτοῦ, ἅμα δὲ καὶ ἡμᾶς εἰς ἔγκλημα βαλεῖν, αὐτοὶ οὗτοι οἱ χρησάμενοι διδασκάλοις ἀνθρώπων τισίν, οὐκ ὀκνοῦσι νεαλογεῖν καὶ τόδε αὐτολεξεί, ὅτι λαμβάνοντες ἡμεῖς εἰς θεϊκὴν ἀξίαν τὸ διαγορεῦον γραφίον· «Τὸ Πνεῦμα ὅπου θέλει πνεῖ»[1], εἰς ἀνθρωπείαν φύσιν κατάγομεν αὐτό· ἐπειδὴ μεθ' ἕτερα ἔχει· «Οὕτως ἔσται πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος»[2]. Αὐτοὶ δέ, φησίν, οὔτε εἰς θεϊκὴν ἀξίαν ἀνάγουσι τὸ Πνεῦμα οὔτε εἰς τὴν τῶν λοιπῶν φύσιν καθέλκουσιν· τὴν γὰρ μέσην τάξιν ἐπέχει, μήτε Θεὸς ὢν μήτε ἕν τι τῶν λοιπῶν. Καὶ τίς αὐτοὺς τῷ ὄντι τῆς τοσαύτης τόλμης οὐ γράψεται; Δεῦρο οὖν προσέχετε τὸν νοῦν· δι' ὀλίγων γὰρ φράσω. Μάλιστα μὲν οὐκ εἶπεν· Οὕτως ἐστὶν ὁ ἄνθρωπος, ὁ ἁπλῶς ἄνθρωπος, ἀλλ'· «Οὕτως ἔσται πᾶς ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος»[3]· ἀντὶ τοῦ, ὁ καταξιωθεὶς ἀναγεννηθῆναι ἐν τῇ θείᾳ κολυμβήθρᾳ καὶ γενέσθαι (ὡς **[620]** Καθολικοῖς ἐκπέφανται χαράγμασιν) θείας κοινωνὸς φύσεως. Καὶ παραπλήσιά ἐστι ταῦτα τῷ· «Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ ὁμοίωσιν ἡμετέραν»[4]· καὶ τῷ· «Ἵνα γένησθε κατ' εἰκόνα τοῦ κτίσαντος ἡμᾶς»[5]. Καὶ ὡς οὐ καθέλκεται ὁ ὕψιστος Πατὴρ καὶ ὁ Υἱὸς αὐτοῦ, ἐκ τῶνδε τῶν ἁγίων καὶ ὑπὲρ ἡμᾶς φωνῶν εἰς ἀνθρωπείαν φύσιν, οὕτως οὐδὲ τὸ Ἅγιον Πνεῦμα ἐκ τῶν προλεχθέντων ῥητῶν καὶ τῶν περὶ ἡμᾶς αὐτοῦ φιλανθρωπευμάτων. Ἔπειτα δοκεῖ αὐτοῖς, τό γε ἔτι χεῖρον, μήτε Θεὸν εἶναι τὸ Ἅγιον Πνεῦμα, μήτε ἕν τι τῶν λοιπῶν. Ὑπολείπεται τὸ ἀνύπαρκτον αὐτὸ νοεῖν. Καὶ ἄλλως· Εἰ μή ἐστιν, ὡς φάσκουσι, Θεός, τῷ κοινῷ λόγῳ τῶν κτισμάτων ὑπάγεται. Οὐδὲν δὲ τοιοῦτον τεκμήριον ἐν Γραφαῖς εὑρίσκεται, οὐδὲ μέσης φύσεως εἶναι κεχρησμῴδηται· πᾶν δὲ τοὐναντίον, ὅτι Πνεῦμα τοῦ Θεοῦ καὶ ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται καὶ Πνεῦμα θεῖον. Λείπεται τὸ Θεὸν εἶναι, ἀπό τε τῶν Πέτρου καὶ Παύλου φωνῶν, ἀπό τε πάσης ἐννοίας τῶν Γραφῶν καὶ τῆς «ἐκπορεύεται»[6] λέξεως. Ἀόριστος γὰρ οὖσα, τὸ ἀίδιον καὶ ἀχώριστον τῆς φύσεως αὐτοῦ τῆς πρὸς ἐκεῖνον, ἐξ οὗ ἀρρήτως προέρχεται, θειότατα ἐνδείκνυται. Καὶ μὲν δὴ καὶ τοῦτο· Εἰ μηδὲν τῶν ἄλλων ὑπάρχει, ὥσπερ οὖν τοῦτο αὐτῶν ἀληθές, Θεός ἐστιν. Πρὸς τούτοις· Εἰ οὐδὲν κτιστὸν ἐν μιᾷ ὑποστάσει εὑρίσκεται, ὡς ἐν τῷ πρώτῳ ἀπεδείχθη βιβλίῳ, τὸ δὲ Ἅγιον Πνεῦμα ἓν καὶ μόνον τῆς ἑνάδος, ἤτοι μονάδος οὐσίας ἐστίν· ὡς ἂν τοίνυν φενακίζοντες ἐξ αὐτῶν, ὧν ἔγραψαν, νοηθεῖεν, κἂν δοκοῦσιν εἶναι δεινοὶ εἰπεῖν, ὃ βούλοιντο καὶ μηδὲ ἓν αὐτοῖς τῆς

1. Ἰω. 3,8. 2. Ἔνθ' ἀν. 3. Αὐτόθι. 4. Γεν. 1,26. 5. Πρβλ. Κολ. 3,10. 6. Ἰω. 15,26.

καθ' ἡμῶν ὀφρύος ἐκπορισθείη· καυχήματα γὰρ ἀνθρώπινα ταχὺ ἐξελέγχεται. Σοφὸς περὶ ἑκάστου αὐτῶν ὧδε διείληφεν ἀνήρ· «Μὴ πολλὰ σοφίζου, ἵνα μὴ ἐκπλαγῇς»[1]. Καὶ ὁ Στέφανος δὲ ἐν ταῖς Πράξεσιν ὡδί πως ὀνειδίζει αὐτοῖς· «Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν, ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ Ἁγίῳ ἀντιπίπτετε· ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς»[2]. Πατέρας δὲ αὐτῶν ἔφη Ἄρειον, Μακεδόνιον, τὴν ὀλέθριον δυάδα. Ἔρχομαι οὖν ἐφ' ἕτερον κεφάλαιον.

[621] Β'. Ὅτι ἔθετο τοὺς προφήτας καὶ ἀποστόλους ποιμαίνειν τὴν λογικὴν ποίμνην καὶ ἐπιμελεῖσθαι αὐτῆς· καὶ αὐθεντικῶς ἀπέστειλε καὶ ἐποίησεν, ὡς ἠβουλήθη, φθέγξασθαι αὐτοὺς καθ' ὁμοιότητα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἅτε Πνεῦμα τοῦ Θεοῦ, δι' ἐκπορεύσεως, οὐ διὰ ποιήσεως ὑπάρχον, καὶ ἅτε Πνεῦμα ἄνωθεν σοφίας καὶ συνέσεως, συνδεσπόζον τῷ πάντων ἡγουμένῳ Πατρὶ καὶ Υἱῷ. Κτίσματος δὲ φύσις, οὐ ταύτης τῆς τάξεως. Εἶναι δὲ ἀληθῆ ταῦτα πείθουσι Μωϋσέως τε βίβλοι λέγουσαι· «Τίς δώσει πάντα τὸν λαὸν προφήτας ἐν τῷ δοῦναι Κύριον τὸ Πνεῦμα αὐτοῦ ἐπ' αὐτούς»[3]; Αἵ τε ἀποστολικαὶ Πράξεις, τοιαῦτα ἄττα διαλεγόμεναι· «Ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός· ἐκάθισέ τε ἐφ' ἕνα ἕκαστον αὐτῶν καὶ ἐπλήσθησαν ἅπαντες Πνεύματος Ἁγίου καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ Πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς»[4]· καὶ πάλιν ἀπὸ τοῦ θεσπεσίου Παύλου· «Καλῶς τὸ Πνεῦμα τὸ Ἅγιον ἐλάλησε πρὸς τοὺς πατέρας ὑμῶν διὰ τοῦ προφήτου»[5]. Αὖθίς τε αὖ, μεταπεμψάμενος ἐν Μιλήτῳ τοὺς Ἐφέσου πρεσβυτέρους φησίν· «Προσέχετε ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Κυρίου, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος»[6]. Καὶ πάλιν· «Διῆλθον δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ Ἁγίου Πνεύματος λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ· ἐλθόντες δὲ κατὰ τὴν Μυσίαν, ἐπείραζον εἰς τὴν Βιθυνίαν πορευθῆναι καὶ οὐκ εἴασεν αὐτοὺς τὸ Πνεῦμα Ἰησοῦ»[7]. Ὡς πάντα προγιγνώσκων καὶ αὐτεξούσιος Θεός, ὅπου μὲν λαλῆσαι, ὅπου δὲ πορευθῆναι αὐτοὺς οὐκ ἀφῆκε διὰ τὸ συμφέρον ἴσον ποιῶν τῷ Υἱῷ εἰπόντι· «Μὴ βαστάζετε πήραν ἢ ῥάβδον ἢ ὑποδήματα»[8]· καὶ αὖθις οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροί φασιν· «Ἔδοξε γὰρ τῷ Ἁγίῳ Πνεύματι καὶ ἡμῖν μηδὲν πλέον ἐπι**[624]**θέσθαι ὑμῖν βάρος, πλὴν τούτων, ὧν ἐπάναγκες ἀπέχεσθαι ὑμᾶς ἀπὸ εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτοῦ καὶ πορνείας· ἐξ ὧν διατηροῦντες ἑαυτούς, εὖ πράξετε»[9]. Τὸ δόξαν τῷ ὑπεξουσίῳ καὶ μὴ κυρίῳ οὐδεὶς προσίεται· πᾶν δὲ ὅ,τι ἂν δόξῃ βασιλεῖ καὶ τοῖς ὑπ' αὐτοῦ προχειρισθεῖσιν τοῦτο νόμος, τοῖς μὲν ὑπηκόοις ἔπαινον,

---

1. Πρβλ. Ἐκκλ. 7,16. 2. Πράξ. 7,51. 3. Πρβλ. Ἀριθ. 11,29. 4. Πράξ. 2,3-4. 5. Πρβλ. Πράξ. 28,25. 6. Πράξ. 20,28. 7. Πράξ. 16,6-7. 8. Πρβλ. Ματθ. 10,10. Λουκ. 10,4. 9. Πράξ. 15,28-29.

τοῖς δ' ἀπειθοῦσι κίνδυνον φέρων. «Ἡ» γὰρ «παρακοή», φησίν, «θάνατον κατεργάζεται· ἡ δὲ ὑπακοή, ζωὴν αἰώνιον»[1].

Κρείσσων γὰρ βασιλεύς, ὅτε χώσεται ἀνδρὶ χέρηι[α].

Καθὰ τοίνυν εἴωθε βασιλεὺς μὲν τὰς ἑαυτοῦ νομοθεσίας τοῖς ἔγγιστα μεγάλοις ἄρχουσι καταπέμπειν, οἷς τὰς ἡνίας τῶν ἀρχομένων δέδωκεν· ἐκείνους δὲ πάντων εἰς γνῶσιν φέρειν τυποῦντας ὑποκύπτειν τοῖς παρὰ βασιλέως θεσπισθεῖσιν καὶ ἀπειλοῦντας τοῖς παραβαίνουσιν κίνδυνον· οὕτω καὶ οἱ ἀπόστολοι, οὓς ἔθετο πρώτους ὁ Θεός, τὸ αὐτεξούσιον τοῦ Πνεύματος καὶ τὸ πρὸς τὸν Πατέρα ὁμοούσιον εἰδότες ἐπέστελλον· Ἔδοξε, φησί, τάδε καὶ τάδε τῷ Ἁγίῳ Πνεύματι ὡς βασιλεῖ καὶ ἐξουσιαστῇ καὶ κηδεμόνι τοῦ γένους· καὶ ἡμῖν δὲ ὡς προεστηκέναι ἀφορισθεῖσιν τῆς πίστεως καὶ τῶν Ἐκκλησιῶν. «Ἐξ ὧν διατηροῦντες ἑαυτούς, εὖ πράξετε»[2]· παρατρώσαντες δέ, φησίν, τὸ ἐναντίον πείσεσθε. Ἐμέμνηντο γὰρ τοῦ Σωτῆρος αὐτοῖς εἰρηκότος ἐν τῷ κατὰ Μᾶρκον Εὐαγγελλίῳ· «Οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τὸ Ἅγιον»[3]. Καὶ ὥστε μή τινα ὑπολαβεῖν μικρὸν εἶναι, ὃ μέτιμεν νῦν κεφάλαιον, πιστεύειν δὲ τὴν αὐτὴν εἶναι τῇ ἁγίᾳ Τριάδι θέλησιν, πρόσταξίν τε, ἐνέργειάν τε, οἷς ἕπεται τὸ καὶ τὴν αὐτὴν εἶναι αὐτῇ θεότητα. Παῦλος ὁ πρῶτον γενόμενος νομομαθὴς καὶ διώκτης, καὶ ὕστερον αὐτῆς τῆς ἀφθέγκτου οἰκονομίας ἀναδειχθεὶς μυσταγωγός, συνᾴδοντα περὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ διαγορεύει, **[625]** γράψας Κορινθίοις μὲν τὸ πρῶτον· «Ἀλλ' οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ Ἐκκλησίᾳ πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον διδασκάλους»[4]· καὶ ἀλλαχοῦ· «Λέγω δὲ οὐκ ἐγώ, ἀλλ' ὁ Κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι»[5]· Γαλάταις δέ· «Ὅτε εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν»[6]· καὶ ἑτέρωθι· «Καθὼς καὶ δεδοκιμάσμεθα ὑπὸ τοῦ Θεοῦ πιστευθῆναι τὸ Εὐαγγέλιον, οὕτως λαλοῦμεν, οὐχ ὡς ἀνθρώποις ἀρέσκοντες, ἀλλὰ τῷ Θεῷ τῷ δοκιμάζοντι τὰς καρδίας ἡμῶν»[7]. Οὐδὲν δὲ ἧττον καὶ ὁ Σωτὴρ τοῖς μαθηταῖς εἰπεῖν ἠξίωσεν· «Ἐγὼ ὑμᾶς ἐξελεξάμην»[8].

Γ'. Ὅτι νομοθετεῖ καὶ προστάττει ἀποφαντικῶς ἑκάστοις τῶν ἔργων τὸ πρόσφορον, ὡς βασιλεὺς ἥμερον καὶ νόμιμον ἀνημμένος ἡγεμονίαν, καὶ εἰρήνην ἄπειρον τῷ σύμπαντι οὐρανῷ τε καὶ κόσμῳ βραβεύων, καὶ τὸ ἡγεμονικὸν μετὰ τοῦ κηδεμονικοῦ ἁρμοσάμενος. Μόνης δὲ τῆς τῶν ὅλων βασιλίδος φύσεως, τὸ θεσμοθετεῖν καὶ κρίνειν· ποιήματος δὲ τὸ ὑπὸ νόμον καὶ κρίσιν τελεῖν. Διωρίσατο γὰρ Παῦλος

1. Πρβλ. Ρωμ. 5,19. Β' Κορ. 7,10. 2. Πράξ. 15,29. 3. Μάρκ. 13,11. 4. Α' Κορ. 12,28. 5. Πρβλ. Α' Κορ. 7,10. 6. Γαλ. 1,15-16. 7. Α' Θεσ. 2,4. 8. Ἰω. 15,16,19.

α. Ἰλιάδος Α 80.

μὲν τὸ σκεῦος τῆς ἐκλογῆς, ὡς ἔφαμεν ἤδη, γράψας· «Ὁ γὰρ νόμος τοῦ Πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου»[1]. Αἱ δὲ ἀποστολικαὶ Πράξεις, ἔχουσαι ὧδε· «Τοῦ Πέτρου διανοουμένου περὶ τοῦ ῥήματος εἶπεν αὐτῷ τὸ Πνεῦμα· Ἰδοὺ ἄνδρες τρεῖς ζητοῦσί σε. Ἀλλὰ ἀναστὰς κατάβηθι καὶ πορεύου σὺν αὐτοῖς μηδὲν διακρινόμενος· ὅτι ἐγὼ ἐπέσταλκα αὐτούς»[2]. Καὶ πάλιν· «Εἶπε τὸ Πνεῦμα τῷ Φιλίππῳ· Πρόσελθε καὶ κολλήθητι τῷ ἅρματι τούτῳ»[3]· καὶ αὖθις ἀπὸ Ἀγάβου προφήτου· «Τάδε λέγει τὸ Πνεῦμα τὸ Ἅγιον· Τὸν ἄνδρα, οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν»[4]· καὶ Παῦλος· «Ἰδοὺ νῦν ἐγὼ δεδεμένος τῷ Πνεύματι πορεύομαι»[5]· ὅπερ παραπλήσιον τυγχάνει **[628]** τοῦ «Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ»[6]· καὶ πάλιν· «Τάδε λέγει τὸ Πνεῦμα τὸ Ἅγιον· Ἀφορίσατέ μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν εἰς τὸ ἔργον, ὃ προσκέκλημαι αὐτούς»[7]· ὅμοιον τῷ «Ὁ δὲ Κύριος εἶπεν· Εἴσελθε εἰς τὴν πόλιν, κἀκεῖ λαληθήσεταί σοι, τί σε δεῖ ποιεῖν»[8]. Καὶ πάλιν τῷ Πέτρῳ εἶπε τὸ Πνεῦμα· «Ἀναστὰς πορεύθητι εἰς τὸν οἶκον Κορνηλίου»[9]. Καὶ δὴ ἐν Ἐπιστολαῖς Παῦλος Τιμοθέῳ γράφει· «Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει»[10]. Ὅρα οὖν, μὴ μόνον ὅτι διὰ τοῦ τοιούτου ῥήματος ὁ Παῦλος νομοθέτην αὖθις ἀπέφηνεν τὸ Πνεῦμα (τῇ γὰρ λέξει τοῦ «ῥητῶς» καὶ οἱ κοσμικῶς θεσμοθετήσαντες ἐχρήσαντο), ἀλλ' ὅτι καὶ ἄλλαι μαρτυρίαι τὸ ἴσον τῆς πρὸς τὸν Πατέρα φύσεως καὶ αὐθεντίας τοῦ Ἁγίου Πνεύματος δεικνύουσιν. Ὁμοιοτρόπως γὰρ περὶ τοῦ Θεοῦ καὶ Πατρὸς ἐν πολλοῖς γέγραπται· «Τάδε λέγει Κύριος παντοκράτωρ»[11]. Αἱρετικοὶ δέ, οἷς τἀληθῆ πάντα ἀντιλεγόμενα ὑπάρχει, οὐδὲν ἄξιον τῆς θείας ἐνεργείας ἐννοοῦντες, περὶ φαντασίας δὲ διακένους διατρίβοντες καὶ ὧν ἂν ἀπρὶξ ἐπιλάβωνται ταῦτα, ὥς τινες ἀντίτυποι, ὡς βέβαια προφέροντες ἀντιτιθέασιν. Εἶπε, φησίν, καὶ περὶ ἀγγέλου Ζαχαρίας, ὅτε τὴν ὀπτασίαν τὴν περὶ τῆς λυχνίας τεθέαται· «Ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοί»[12]. Δύνασθαι οὖν δῆθεν ἄγγελον νοεῖσθαι τὸ Ἅγιον Πνεῦμα. Ἀλλ' αὐτόθεν τὸ γλίσχρον αὐτῶν ἀποικονομεῖται. Ὁ γὰρ ἄγγελος οὐκ ἀφ' ἑαυτοῦ, οὔτε ῥήματα, ἅπερ δὲ προσετάττετο παρὰ τοῦ Θεοῦ καὶ τοῦ Πνεύματος αὐτοῦ, διακονῶν ἔλεγε. Περιέχει δὲ οὕτως· «Καὶ ἐπηρώτησα καὶ εἶπα πρὸς τὸν ἄγγελον τὸν λαλοῦντα ἐν ἐμοί, λέγων· Τί ἐστι ταῦτα; Καὶ ἀπεκρίθη ὁ ἄγγελος ὁ λαλῶν ἐν ἐμοὶ καὶ εἶπε πρός με»[13]· «Οὗτος ὁ λόγος Κυρίου πρὸς Ζοροβάβελ, λέγων· Οὐκ ἐν δυνάμει μεγάλῃ οὐδὲ ἐν ἰσχύϊ, ἀλλ' ἢ ἐν Πνεύματί μου, λέγει Κύριος παντοκράτωρ»[14]. Ἔπειτα ἄγγελος ἐκλήθη ὁ Υἱὸς καὶ τὸ Πνεῦμα ἐν τῇ δρυῒ τῇ Μαμβρῇ, ὅτε ἡ ἔνδοξος Τριὰς ὤφθη τῷ Ἀβραὰμ διὰ τὸ ἀγγεῖλαι τὰ ἄγνωστα[15]. Πρὸς οἷς

1. Ρωμ. 8,2. 2. Πρβλ. Πράξ. 10,19-20. 3. Πράξ. 8,29. 4. Πράξ. 21,11. 5. Πράξ. 20,22. 6. Φιλημ. 1,1. 7. Πρβλ. Πράξ. 13,2. 8. Πράξ, 9,6. 9. Πρβλ. Πράξ. 10,19,20. 10. Α' Τιμ. 4,1. 11. Πρβλ. Β' Κορ. 6,18. 12. Πρβλ. Ζαχ. 4,1,4. 13. Ζαχ. 4,4-5. 14. Ζαχ. 4,6. 15. Πρβλ. Γεν. 18,1-3.

ἐκ τῆς ἀγγελικῆς πληθύος οὐδεὶς αὐ[629]θεντικῶς ἐξ οἰκείας κινήσεως ἁγίους ἀπέστειλεν, οὐδὲ ἀγορεῦσαι λόγια ἢ νόμον διατάξασθαι ἢ ὅλως ἅπερ ἐβούλετο αὐτὸς λέξαι ἐποίησεν. Ἀλλ' οὐδὲ ἴσασιν ἄγγελοι τῆς ἀρρήτου καὶ εὐμενοῦςΤριάδος τὰ ὁμόφρονα βουλεύματα, οὐδὲ καταλαμβάνουσι τῆς θείας αὐτῆς ἀρωγῆς τὴν δύναμιν· τῷ δὲ αὐτῆς γαληνῷ νεύματι ὑπηρετοῦνται καὶ μειλίσσονται αὐτὴν λιταῖς, ἀσιγήτοις στόμασι καὶ φωνῇ ἀκαταλήκτῳ.

Δ'. Ὅτι μετὰ τοῦ Θεοῦ Πατρὸς τὸ Ἅγιον αὐτοῦ Πνεῦμα ἀποστέλλει καὶ ὁδηγεῖ αὐτεξουσίως· καὶ γάρ ἐστιν ἀληθῶς ἔργον φιλάνθρωπον τῆς πανσόφου καὶ ἀγαθωτάτης Τριάδος, ἡ εἰς εὐσεβῆ βίου τρίβον ἀποστολὴ καὶ ὁδηγία καὶ ἡ περὶ πάντας χρηστότης. Ὧν δὲ ἡ αὐτὴ ὁδηγία καὶ γαληνότης ἡ αὐτὴ καὶ οὐσία. Καὶ τοῦτο δὲ τὴν διὰ τῶν ἔργων ἀριδηλοτάτην λαμβάνει πίστιν. Τοῦ γὰρ Θεοῦ εἰρηκότος τῷ Μωϋσεῖ, «Συναποστέλλω πρὸ προσώπου σου τὸν ἄγγελόν μου καὶ ἐκβάλλει τὸν Χαναναῖον»[1]. Ὁ μέγας οὗτος Μωϋσῆς εὖ μάλα τοὺς μὲν ἀγγέλους κτίσματα, τὸ δὲ Ἅγιον Πνεῦμα Θεόν, παρεκάλει λέγων· «Εἰ μὴ αὐτὸς συμπορεύῃ μεθ' ἡμῶν, μὴ ἀναγάγῃς με ἐντεῦθεν»[2]. Ἀμειψαμένου δὲ αὐτὸν τοῦ Παντοκράτορος τοῖσδε τοῖς ῥητοῖς «Καὶ τοῦτόν σου τὸν λόγον, ὃν εἴρηκας, ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιόν μου καὶ οἶδά σε παρὰ πάντας»[3], ὁ Ἡσαΐας δηλῶν τὸ ταὐτὸν τῆς ἐν μιᾷ θεότητι συμφώνου Τριάδος, προηγήσασθαι αὐτῶν τὸ θεϊκὸν Πνεῦμα ἔφατο λέξεσιν αὐταῖς· «Ὁ ἀναβιβάσας ἐκ γῆς τὸν ποιμένα τῶν προβάτων. Ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ Πνεῦμα τὸ Ἅγιον[4], ὁ ἀναγαγὼν τῇ δεξιᾷ Μωϋσῆν»[5]; Μετ' οὐ πολύ τε ἐπάγει· «Κατέβη Πνεῦμα παρὰ Κυρίου, καὶ ὡδήγησεν αὐτούς· οὕτως ἤγαγες τὸν λαόν σου, ποιῆσαι σεαυτῷ ὄνομα δόξης»[6]. Θέα οὖν καὶ τοῦτο ἐνταυθοῖ, ὅτι οὐ πεπέμφθαι εἶπε τὸ Ἅγιον Πνεῦμα, ἀλλ' αὐθεντικῶς καὶ βασιλικῶς καταβεβηκέναι. Αὖθίς τε, ἀμφοῖν μεμνημένος τῶν θείων ὑποστάσεων, ὁμοτίμως ἀνείρηκεν· «Καὶ νῦν Κύριος ἀπέσταλκέ με καὶ τὸ Πνεῦμα αὐτοῦ»[7]. Ὅθεν πολλάκις ἀνευφημήσας εὑρίσκεται Μωϋσῆς· «Κύριος ὁ Θεὸς ὁ προπορευόμενος πρὸ προσώπου ὑμῶν»[8]. Καὶ εὐχαριστοῦντες δὲ ὕμνουν τρόπῳ τοιῷδε· «Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ, ὅτι εἰς τὸν αἰῶνα τὸ **[632]** ἔλεος αὐτοῦ»[9]. Ἀλλὰ καὶ ὁ Θεὸς Πατήρ, μηδέν τι διάφορον ἐν τῇ οὐσίᾳ καὶ δυνάμει καὶ θελήσει καὶ δόξῃ εἶναι δεικνὺς μεταξὺ αὐτοῦ τε καὶ τοῦ μονογενοῦς Λόγου καὶ τοῦ ἑνὸς Ἁγίου Πνεύματος αὐτοῦ, διὰ πάσης σχεδὸν τῆς Γραφῆς λέγει· «Ἐγὼ ἀνήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου[10]. Μάρτυρες ὑμεῖς ἐστε, εἰ Θεὸς ἦν ἀλλότριος ἐν ὑμῖν, πλὴν ἐμοῦ»[11]. Καὶ ὁ τῷ ὑψίστῳ δὲ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι αὐτοῦ ὁμοφυὴς καὶ ὁμόφρων, ὁ προσηνὴς ἡμῶν....

---

5 1. Πρβλ. Ἐξ. 33,2. 2. Ἐξ. 33,15. 3. Ἐξ. 33,17. 4. Ἡσ. 63,11.
. Πρβλ. Ἡσ. 63,12. 6. Ἡσ. 63,14. 7. Ἡσ. 48,16. 8. Δευτ. 1,30.
9. Ψαλ. 135,16. 10. Πρβλ. Β' Παρλ. 6,5. Λευϊτ. 11,45. 11. Πρβλ. Ἡσ. 43,10.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο'.

Π Ι Ν Α Ξ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Σεβασμιωτάτου Μητροπολίτου Κορινθίας κ. Παντελεήμονος)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) Ὅταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.

Ὑπεύθυνος διὰ τὴν ὕλην τοῦ τόμου ὁ κ. Ἠλίας Δ. Μουτσούλας, Δ. Θ. καὶ διὰ τὰς διορθώσεις ὁ φιλόλογος κ. Παναγιώτης Γ. Νικολόπουλος, ὁ ὁποῖος συνειργάσθη καὶ εἰς τὸν καταρτισμὸν τῶν Πινάκων μετὰ τοῦ Σεβ. Μητροπολίτου Κορινθίας κ. Παντελεήμονος.

Σημειωτέον, ὅτι κατὰ τὴν παράθεσιν τοῦ κειμένου οἱ ἐντὸς ἀγκυλῶν σημειούμενοι ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς σελίδας τῆς ἐκδόσεως τοῦ J.-P. Migne, οἱ δὲ ἄνευ ἀγκυλῶν εἰς τὰς σελίδας τῆς ἐξ ἧς ἐλήφθησαν κριτικῆς ἐκδόσεως.